θεοῦ μὲν ἐκτὸς οὐδεὶς εὐτυχεῖ βροτός.

ΚΑΤΗΧΗΣΙΣ

ΤΟΥ ΧΡΙΣΤΙΑΝΙΣΜΟΥ ΗΓΟΥΝ ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΥΓΙΟΥΣ ΔΙΔΑΧΗΣ ΧΡΙΣΤΟΥ ΤΕ ΑΥΤΟΥ ΚΑΙ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ.

Scripta a Ioach: Camerario Pabergensi.

Ἐν τῇ β΄. πρὸς τιμόθ. α.

Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων, ὧν παρ' ἐμοῦ ἤκουσας, ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν χριστοῦ ἰησοῦ. τὴν καλὴν παρακαταθήκην φύλαξον, διὰ πνεύματος ἁγίου, τοῦ ἐνοικοῦντος ἐν ἡμῖν.

Bernhardi

ΚΑΤΗΧΗΣΙΣ ΤΟΥ ΧΡΙΣΤΙΑΝΙΣΜΟΥ. ΠΡΟΟΙΜΙΟΝ.



Ἐκ στόματος νηπίων καὶ θηλαζόντων, φησὶν ἡ γραφὴ, κατηρτίσω αἶνον. Ὑπηρετείσθω γοῦν ἡ τῶν γραμμάτων καὶ γλωσσῶν ἁπασῶν ἑρμηνεία, τῇ τοῦ θεοῦ δόξῃ, καὶ τοῖς νέοις τὰ τῆς εὐσεβείας κεφάλαια διαγορευέτω, ὧν γνώσει τε καὶ ἀπομνημονεύσει αὐτοί τε ἀρεσκόντως τὸν θεὸν θρησκεύοντες διατελῶσι, καὶ πρὸς ἐντελῆ σύνεσιν τῶν θείων μυστηρίων ἀφίκωνται. Ἔστι δὲ δίκαια τὰ ἑλληνικὰ γράμματα ἐκτιθέναι καὶ ἐν τοῖς νυνὶ χρόνοις, τὴν τοῦ χριστιανισμοῦ ἀλήθειαν, ἣν καὶ πρῶτον ὥσπερ σκεῦος θεοποίητον πρὸς ταύτην τὴν χρείαν ἐδέξαντο, καὶ ἔτι τὸ πολὺ καθαράν τε καὶ ἀκεραίαν ἐτήρησαν. καὶ νυνὶ (θεοῦ ἐλεήσαντος τὴν ἀπορίαν ἡμῶν, καὶ τὰς οἷον ἀποθήκας οὐρανίων χρημάτων ἀνοίξαντος) ἐρευνῶσιν διὰ ἐκείνων ἀφθόνως λαβεῖν τε καὶ διανεῖμαι ὑπὲρ τῶν ἐσχά-

τῶν χρόνων διεγγύος. Ἐν δὲ τῷ παρόντι καιρῷ δοκοῦν οὕτως τῷ θεῷ, τῷ πατέρι τῶν οἰκτιρμῶν, οἱ πάλαι διεζευγνυμένοι καὶ μονονουχὶ ὡς ἄλογοί τινες ἄνθρωποι παρ' ἄλλοις τισὶν ἔθνεσι καταγνωσθέντες γερμανοί, ἐν τοῖσδε τοῖς γράμμασι πρῶτοι ἁπάντων, ὡς εἰπεῖν, τήν τε τοῦ θείου λόγου φωνὴν ἐνωτίσθησαν καὶ τὸν νοῦν κατέμαθον, ὥστε τοσοῦτον καὶ φύσει ἅμα καὶ προαιρέσει παραλλάττοντας, οὕς τε ἀπ' ἀλλήλων διακρίνει μάλα πολλά, κατὰ τὸν ὅμηρον, μεταξύ:

Οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα,


ὅμως πελάσαι ἀλλήλοις καὶ πλησιοχωρῆσαι τοῖς δόγμασιν, αὐτούς τε φημὶ γερμανούς, καὶ τοὺς λεγομένους ἕλληνας, ὅπου δή ποτε γῆς ἔτι διάγοντας, ὥστε μίαν ἤδη ἀμφοτέρων εἶναι καλλίστην πολιτείαν τῆς πίστεως, τῆς τῶν ἀποστόλων ἰησοῦ χριστοῦ τοῦ σωτῆρος ἡμῶν, ὡς ἱερομυστῶν φυτευσάντων τε καὶ ποτισάντων ἐκείνην, αὐξηθείσης θεόθεν, καὶ ἐς ἡμᾶς δὴ καρποφορησάσης ἐν κοινωνίᾳ τοῦ υἱοῦ τοῦ θεοῦ ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν, εἰς ἣν καὶ ἀπ' ἀρχῆς ἅπαντες τούτου τοῦ κόσμου ἔνοικοι ἐκλήθησαν, ἕλληνές τε καὶ βάρβαροι,

βαροι, μεγάλοι καὶ σμικροί. σοφοὶ καὶ ἀμαθεῖς. δυνατοὶ καὶ ἀσθενεῖς. πλούσιοι καὶ πένητες. ἄρχοντες καὶ ὑπήκοοι. δεσπόται καὶ δοῦλοι, ἅπαντες ὑπὲρ ἓν ὄνομα καὶ εἰς μίαν ὁδὸν σωτηρίας, καὶ ὁμοφρονοῦσαν διδαχὴν τῆς ἀληθείας ἐμαθητεύθησαν ὑπὸ γένος θεοπέμπτου πνεύματος. καὶ ταῦτα τακένου λόγια, διὰ τὴν τῆς ἑλληνικῆς γλώσσης ὑποφητείαν, θεσπισάντων τῶν ἁγίων ἱεραρχῶν καὶ μυσταγωγῶν τῆς ἐνσάρκου τοῦ θεοῦ οἰκονομίας, χρόνῳ ποτὲ καὶ ἡμεῖς νῦν, οἱ μακρὰν προτοῦ ἀπόντες κατηχήθημεν. ὦ μακαρίῳ καὶ οἰκτίρμονι θεῷ δόξα ἀεί, καὶ ἔπαινος διὰ ἰησοῦ χριστοῦ, υἱοῦ θεοῦ μονογενοῦς, τοῦ σὺν τῷ πατρὶ καὶ ἁγίῳ πνεύματι ζῶντος καὶ βασιλεύοντος εἰς αἰῶνας τῶν αἰώνων ἀμήν. Διὰ τοῦτο πᾶς νυνὶ γρηγορείτω, καὶ αἰρέτω τοὺς ὀφθαλμοὺς πρὸς ἔλλαμψιν τοῦ θείου φωτός. τὸ γὰρ σκότος ὑπὸ τοῦ ἀϊδίου ἡλίου διεσκεδάσθη. τὴν νύκτα ἡ τῆς ἡμέρας ἣν ἐποίησεν ὁ θεός, ἐπιφαῦσα κατηύγασεν. οὐχ ὑπὸ νέφος ἔτι ὄντες πλανώμεθα, ἀλλ' ἐν τῷ φαεὶ περιπατοῦμεν, παυθήτωσαν αἱ τῆς δεισιδαιμονίας τε καὶ ἐθελοθρησκείας παραστροφαὶ καὶ σχίσματα,

οὐδενὸς γὰρ ῥήματα ἔτι ἐξακουστέον ἡμῖν ἡγούμεθα ἢ τοῦ λαλοῦντος χριστὸν ἰησοῦν, ὅς, καθά φησιν ὁ ἅγιος παῦλος, ἐγενήθη ἡμῖν σοφία ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις, ὥστε, καθὼς γέγραπται, ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω. ταύτην οὖν λαλοῦντας τὴν μυστικὴν θεοῦ σοφίαν ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως μόνους προσδεχόμεθα. τὴν γὰρ καλοῦ ποιμένος φωνὴν τὰ προβάτια αὐτοῦ ἐπιγινώσκομεν, καὶ ἑπόμεθα καλοῦντι αὐτῷ, ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωμεν. Οὐκέτι γὰρ θύρας δεῦρο κἀκεῖσε πλανώμενοι ἀφαμαρτάνομεν, ἀλλὰ δι' αὐτῆς ἤδη ἀνεῳγμένης εἰς τὸ τοῦ χριστοῦ ποιμνίον συνελαυνόμεθα, καὶ ἐξερχόμενοι νομὴν εὑρίσκομεν τὴν καλὴν ἐκείνην καὶ πίειραν, ἐν ᾗ ποτε ἀναστρεφόμενοι οἱ ἅγιοι καὶ ἐν ὁσίοις πατέρες, εἰρηναῖός τε καὶ βασίλειος, γρηγόριοί τε καὶ ἀθανάσιος καὶ ἐπιφάνιος καὶ ἰωάννης, καὶ ἄλλοι ἀναρίθμητοι, κατέλιπον καὶ αὐτοὶ ἡμῖν τῶν ἰδίων ἰχνῶν σημεῖα, ὥστε ἧττον ἐν ἐκείνῃ ἤδη τῇ θεοφιλεστάτῃ ὁδῷ σφάλλεσθαι ἡμᾶς, ἃ καὶ διώκοντες ὠθεῖ τὸ αὐτὸ τοῦ ὑπ' ἐκείνοις ἐφιγμένου τέλους ἀποδίδομεν,

δομένων, τῆς παρὰ προπαραδότου οὐ πλάνης ἀλλὰ
ἐν ἁγίᾳ πίστει ὀρθῆς δόξης καὶ διδαχῆς ὑ-
γιοῦς. ἧς ἀστοχήσαντες οἱ πρὸ τοῦ οὐκ ὀλίγοι,
ἀντὶ χριστιανῶν ἀναμφισβητήτως ἐθνικοὶ
ἐγεγόνεισαν, ἄπιστοι, σκληροὶ, τυραννικοὶ,
ἀναιδεῖς, βέβηλοι, ἄθεοι, οὐχ᾽ ὥσπερ ἐχρῆν,
πιστοὶ, πρᾶοι, ἀρχικοὶ, αἰδήμονες, φοβούμε-
νοι τὸν θεὸν, εὐσεβεῖς ἐν πάσῃ ἀληθείᾳ καὶ
σεμνότητι καὶ καλοκαγαθίᾳ τῇ ἀρεσκούσῃ
τῷ μόνῳ καλῷ κἀγαθῷ θεῷ διὰ χριστοῦ.
ὑμεῖς οὖν, ὦ φίλοι παῖδες, οὓς ἡ θεία φωνὴ
προσιεμένη, ἄφετε, φησι, τὰ παιδία ἔρχε-
σθαι πρὸς με, μὴ κωλύετε αὐτὰ, τῶν γὰρ
τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ, ὑμεῖς δὴ
τὰ τῆς σωτηρίου πίστεως καὶ τοῦ ζωοποιοῦ ῥή-
ματος καὶ τῆς οὐρανίας διδασκαλίας, κε-
φάλαια, ἐντεῦθεν, εἰ τύχοι, ἐκμαθόντες,
τὴν ὑμετέραν ὑπακοὴν ἑτοιμάζετε πρὸς τὸν
λόγον τοῦ θεοῦ, ἵν᾽ αὐξανομένης τῆς πίστεως
ὑμῶν, οὕτω μεγαλυνθῇ ἐν ὑμῖν ἡ τῆς ἀληθεί-
ας γνῶσις, προβεβηκόσι τῇ τε ἡλικίᾳ καὶ
συνέσει εἰς ἄνδρα τέλειον, ὥστε καὶ ἐν τῷ
νυνὶ βίῳ καὶ ἐν τῇ αἰωνίᾳ ζωῇ ἐν τῷ κυ-
ρίῳ ἡμῶν ἰησοῦ χριστῷ κωωμένους εὑρεθῆ-
ναι, καὶ διαμεῖναι εὐλογοῦντας ἀεὶ καὶ δο

ξάζοντας θεὸν ἀΐδιον πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, μόνον, παντοδύναμον, δίκαιον, ἰσχυρὸν, ἀθάνατον, οἰκτίρμονα θεὸν, ἀμήν.






ἡ τοῦ



Η τοῦ χριστιανισμοῦ κατήχησις, τί ἐστι;



Διδασκαλία τῶν τοῦ θείου λόγου κηρύκων, ἐπιτηδευθεῖσα πρὸς τὴν τῶν νέων καὶ ἀνηκόων ἐπίγνοιαν, ἢ διὰ βραχέων συνοπτικῶς ἀνακεφαλαιοῦσα ἅπαντα τῆς ἀληθείας ῥήματα, καὶ ἐνηχοῦσα τοῖς ὠσὶ τῶν διδασκομένων τὴν τοῦ χριστιανισμοῦ εὐσέβειαν.

Ποῦ κεῖται τὸ ῥῆμα ἐν τῇ γραφῇ;

Καὶ ἄλλοθι γὲ, καὶ δὴ καὶ παρὰ λουκᾷ ἐν ἀρχῇ τῆς εὐαγγελικῆς διηγήσεως, καὶ ἐν τῇ πρὸς γαλάτας ς'. Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι, ἐν πᾶσιν ἀγαθοῖς.

Τί ὁ χριστιανισμός;

Ἐξομολόγησις πίστεως, ὅτι ἐν τῷ ὀνόματι ἰησοῦ χριστοῦ ἐλεηθέντες ὑπὸ θεοῦ ἀποκαταλλάσσονται αὐτῷ, πάντες οἱ τὰ τοῦ χριστοῦ φρονοῦντες, ὃν ἀπέστειλεν ὁ πατὴρ εἰς τὸν κόσμον, ἵνα διὰ αὐτοῦ νικηθεῖσα ἡ ἁμαρ

τία καὶ νεκρωθεὶς ὁ θάνατος, οὐδὲν ἔτι ἰσχύσῃ κατὰ τῶν ἐκλεκτῶν, τῶν πειθομένων ῥήματι τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ. οἱ μετανοήσαντες καὶ ἀποστρεφόμενοι ἀπὸ τῶν προτέρων διανοιῶν τε καὶ πράξεων ἐγεννήθησαν ἄνωθεν ἐξ ὕδατος καὶ πνεύματος, καὶ ἤδη καινὴ κτίσις ὄντες καλοῦνται χριστιανοί, καὶ πιστοὶ ἀγαπῶντες τὴν ἀλήθειαν καὶ φεύγοντες τὸ ψεῦδος κατὰ δύναμιν, καὶ μαθηταὶ τῆς ὑγιοῦς διδασκαλίας, καὶ κλητοὶ ἅγιοι ἐν τῷ εὐαγγελίῳ, καὶ κοινῶς ἐκκλησία τοῦ χριστοῦ.

Πόσα κεφάλαιά τινά ἐστι ταύτης τῆς διδασκαλίας;

Τρία μάλιστα τὰ πάντα, αἱ ἐντολαί, ἡ τῆς πίστεως ὁμολογία καὶ τὰ πρὸς ταύτην, καὶ ἡ προσευχή, ὅσαπερ ἀναγκαῖόν ἐστιν εἰδέναι ἅπαντας τοὺς σωθησομένους ἐν ἐπιγνώσει τοῦ θεοῦ καὶ ὁσιότητι τῆς εὐσεβείας.

Πρῶτον μὲν ἵνα εἰδῶσι τίνα διωκτέον καὶ τίνα φευκτέον. δεύτερον δέ, ἐπειδὴ κατανοήσας τις ἂν ταῦτα καὶ σκεψάμενος συνίῃ ποτὲ ὅτι οὐ δύναται ἀφ' ἑαυτοῦ ποιεῖν οὐδέν, ἵνα ζητήσειε τότε ὁπόθεν ληπτέον τὴν ἰσχὺν καὶ τὸ δύνασθαι ποιεῖν ἅπερ δεῖ,

καὶ

καὶ ἀπέχεσθαι ὧν χρή. Τὸ τρίτον δέ, ἵνα μὴ λάθῃ αὐτὸν ὅπως ζητήσας τε καὶ εὑρὼν κρατήσῃ τῆς περιουσίας ταύτης. ὥσπερ γὰρ ἀῤῥωστοῦντί τινι, καὶ κακῶς τὸ σῶμα διακειμένῳ, πρῶτον μὲν ἀνάγκη τὸ ἐπίστασθαι τίς ἡ νόσος καὶ ὅσων σωματικῶν χρειῶν ἐστερήθη, ἔπειτα δὲ καὶ τὸ τῆς θεραπείας καὶ τῶν φαρμάκων, οἷς χρώμενος ἂν βέλτιον ἕξῃ, εὐπορῆσαι αὐτόν, τέλος δὲ καὶ ἀναζητεῖν καὶ ἐξαιτῆσαι καὶ κομίσασθαι τὰ πρὸς τὴν ἴασιν χρήσιμα, οὕτω δὴ καὶ αἱ ἐντολαὶ διδάσκουσι τὸν ἄνθρωπον καταφωρᾶν τὸ αὐτοῦ νόσημα, ἐν τῷ αἰσθέσθαι τί ποιεῖν, τί δὲ μὴ ποιεῖν, καὶ τινῶν ἀπέχεσθαι τινῶν δὲ μή, οἷός τε ἐστί. ἐπειδὴ δ' ἂν ἐπέγνω τίς αὐτὸς αὑτόν, κακὸν ὄντα καὶ μοχθηρόν, καὶ ἁμαρτωλόν, τότε δὴ ἡ πίστις προσφέρουσα τὸ ἄκημα, καταδείκνυσι τὴν τοῦ ἐλεήμονος θεοῦ χάριν, δι' ἧς δικαιωθεὶς τηρεῖν ἤδη καὶ τὰς ἐντολὰς δυνατὸς ἔσται. αὕτη γὰρ καὶ τὸν θεὸν καὶ τοὺς οἰκτιρμοὺς τοῦ βουλήματος αὐτοῦ ἀποφαίνει θαυμαστῶς μὲν ἐν τῷ χριστῷ κεκρυμμένους, φανεροὺς δὲ διὰ τοῦ εὐαγγελίου καὶ δὴ καὶ κοινοὺς ἅπασι γεγενημένους, ὥστε μόνον δεῖσθαι τοῦ ἐπιθυμοῦντος καὶ ἐθέλοντος

λαβεῖν,

λαβεῖν, καὶ τοῦτο ἤδη διὰ προσευχῆς ἔργον, αὐτοῦ γὰρ παντὶ δοθήσεται, καὶ ὁ ζητῶν εὑρήσει, καὶ τῷ κρούοντι ἀνοιγήσεται ἡ θύρα σωτηρίας καὶ ζωῆς αἰωνίου.

Τί ἐστιν ἡ μετάνοια;

Μῖσος καὶ ἀποστροφὴ ψυχικῶν τε καὶ σαρκικῶν λογισμῶν ἅμα καὶ πράξεων. καὶ ἐπιθυμία ἐπανορθώσεως τοῦ βίου, ἐν ἀποθέσει πάσης ἀκαθαρσίας καὶ ἀνομίας, καὶ λύσει τῶν ἁμαρτηθέντων.

Περὶ τοῦ ἁμαρτήματος καὶ τοῦ νόμου.

Αμάρτημα λέγεται πᾶν σφάλμα ἐν τῷ βίῳ, ἁμαρτία δέ ἐστι τῶν νομίμων παράβασις. καλεῖται δὲ καὶ παράπτωμα. τῶν δὲ θείων νομίμων παραβάται κυρίως ἁμαρτωλοὶ ὀνομάζονται. πᾶς γὰρ ὁ ποιῶν τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν ποιεῖ, καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία, ὡς γέγραπται ἐν ἐπιστολῇ ἰωάννου, τουτέστιν, ὁ θεῖος νόμος κανών ἐστι τοῦ ὁσίως καὶ σεμνῶς καὶ θεοσεβῶς τὸν βίον διάγεσθαι, καὶ ὁ ἁμαρτάνων οὐδὲν ἄλλο ἢ τούτων τῶν ἀγαθῶν στερισκόμενος ἀταξίαις ἐκδίδωσιν αὐτὸν παντοίαις, καὶ ζῇ βίον

μήτε

μήτε τῷ θεῷ ἀρέσκοντα μήτε προσφιλῆ ὄντα τοῖς ἀνθρώποις.

Τίς ὁ θεῖος νόμος;

Οὗτος μὲν ὁ κοινὸς νόμος ὃς ἐφ᾽ ἅπαντας ἀνθρώπους κείμενός ἐστι. περὶ οὗ γράφει ὁ ἅγιος παῦλος, ὅτι καὶ ἔθνη τὰ νόμον μὴ ἔχοντα, φύσει ποιοῦντα τὰ τοῦ νόμου, ἐνδείκνυνται ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν. ἔχουσι δὴ τὰ ἔθνη ἔγγραφον μὲν νόμον οὔ, ἔμφυτον δὲ εἰς αὐτά. οὗτος γάρ ἐστιν ὁ λεγόμενος τῆς φύσεως νόμος, νομοθέτην ἔχων οὐδένα ἄλλον εἰμὴ τὸν θεόν. οὗτος φράζει ἃ μὲν αἱρεῖσθαι, ἃ δὲ φεύγειν χρή, κατὰ τὸ τοῦ ὀρθοῦ λόγου δόγμα. ὧν τὰ κεφάλαια ἐξέθηκεν ὁ θεὸς προαγορεύσας διὰ μωσέως, ἐγκεχαραγμένα ἐν πλαξὶ λιθίναις ταῖς τὸν δεκάλογον λεγόμενον περιεχούσαις. ἃ καί, καθ᾽ ἓν ἕκαστον, διεξιέναι νῦν καιρός.

Πρόῤῥησις τοῦ δεκαλόγου, ἔκ τε τῆς ἐξόδου κ΄. καὶ τοῦ δευτερονομίου ε΄. κεφαλ.

Ἐγώ εἰμι κύριος ὁ θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς αἰγύπτου, ἐξ οἴκου δουλείας. οὐκ

ας. οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πρὸ προσώπου μου. οὐ ποιήσεις σεαυτῷ γλυπτὸν, οὐδὲ παντὸς ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς. ὅτι ἐγώ εἰμι κύριος ὁ θεός σου, θεὸς ζηλωτὴς, ἀποδιδοὺς ἁμαρτίαν πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με. καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσι με καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου.

Οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σοῦ ἐπὶ ματαίῳ, οὐ γὰρ μὴ καθαρίσῃ κύριος ὁ θεός σου τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ. Φύλαξαι τὴν ἡμέραν τῶν σαββάτων ἁγιάζειν αὐτὴν, ὃν τρόπον ἐνετείλετό σοι κύριος ὁ θεός σου. ἓξ ἡμέρας ἐργᾷ, καὶ ποιήσεις τὰ ἔργα σου, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ, σάββατα κυρίῳ τῷ θεῷ σου. οὐ ποιήσεις ἐν αὐτῷ πᾶν ἔργον. σύ, καὶ ὁ υἱός σου, καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου, καὶ ἡ παιδίσκη σοῦ, ὁ βοῦς σου, καὶ τὸ ὑποζύγιόν σου, καὶ πᾶν κτῆνός σου, καὶ ὁ προσήλυτος ὁ ἐντὸς τῶν πυλῶν σου, ἵνα ἀναπαύσηται ὁ παῖς σου, καὶ ἡ παιδίσκη σοῦ, καὶ τὸ ὑποζύγιόν

ζύγιόν σου, ὥσπερ καὶ σύ, καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ αἰγύπτου, καὶ ἐξήγαγέ σε κύριος ὁ θεός σου ἐκεῖθεν ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ. διὰ τοῦτο συνέταξέ σοι κύριος ὁ θεός σου ὥστε φυλάσσεσθαι τὴν ἡμέραν τῶν σαββάτων καὶ ἁγιάζειν αὐτήν. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ὃν τρόπον ἐνετείλατό σοι κύριος ὁ θεός σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ θεός σου δίδωσί σοι. οὐ φονεύσεις. οὐ μοιχεύσεις. οὐ κλέψεις. οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ. οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὔτε τὸν ἀγρὸν αὐτοῦ, οὔτε τὸν παῖδα αὐτοῦ, οὔτε τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε παντὸς κτήνους αὐτοῦ.

Περὶ τοῦ δεκαλόγου κατὰ μέρος.

Ἐγώ εἰμι κύριος, καὶ τὰ λοιπά. αὐτὴ ἡ ἀρχὴ τῆς ἐξαγορεύσεως τῶν ἐντολῶν θεοῦ, οἷον προοίμιον νομικόν, δύο ἐμφαίνει, τὸ μὲν πρῶτον, ὅτι ὁ ταῦτα νομοθετῶν θεός ἐστιν. ἵνα πᾶσι δῆλον γένηται τὸ εἶναι ἀμετα-

κίνητα

κίνητα καὶ ἀΐδια τὰ νόμιμα, οὐχ ὥσπερ τὰ ὑπ' ἀνθρώπων τεθέντα πάντα, νῦν μὲν οὕτως ἔχοντα, μετ' ὀλίγον δ' αὖ μεταβαλλόμενα. καὶ ὅτι τιμωρίαι τοῖς παραβαίνουσι πρόκεινται θεόθεν. ὅτι τε οἱ παρανομήσαντες δίκην διδόασιν ἣν οὐδενὶ τρόπῳ διαφυγεῖν ἔστιν, οὔτε βιαζομένους οὔτε λανθάνοντας. Τὸ δεύτερον δ' ἐνδείκνυσι καὶ οἱονεὶ ἀφορίζει τὸ θεῖον, βεβαίαν τινὰ καὶ ἀκριβῆ ἔννοιαν ἐκείνου ἐμποιοῦν, καὶ δηλοῦν τὸν μόνον ἀληθινὸν θεόν, ἀπό τε τῆς δυνάμεως καὶ τῶν εὐεργεσιῶν αὐτοῦ, ἵνα τὸ φοβεῖσθαι ἅμα καὶ ἀγαπᾶν κατασκευάσῃ. Τῶν ἐντολῶν αἱ τρεῖς πρῶται, ἐν μιᾷ τῇ προτέρᾳ τῶν πλακῶν διδάσκουσι πάντας ὅσων ὀφείλεται εἰσὶ τῷ θεῷ, καταλέγουσαι τὰ εἰς τὸ θεῖον ἀνήκοντα.

Τίς ὁ νοῦς τῆς πρώτης ἐντολῆς;

ΟΤΙ ἀεὶ πᾶν ἀγαθὸν παρὰ θεῷ προσδοκητέον, καὶ ὅτι προσεκτέον τὴν γνώμην αὐτῷ καθάπερ πατρὶ ἡμετέρῳ, ἐν πάσῃ ἁπλότητι καὶ πίστει καὶ ἀγάπῃ καὶ φόβῳ. Εὐλαβουμένων ἡμῶν διαπαντός, τοῦ

μήποτε

μήποτε προσκρούσειν ἐκείνῳ ὥσπερ παίδων τῷ πατρί. φύσει δὲ πᾶσι τοῦτο ἐνδιάθετόν ἐστι τὲ καὶ μόνον, θεὸν εἶναι δοτῆρα τῶν ἀγαθῶν καὶ τῶν δεινῶν ἀλεξητῆρα, καὶ εἶναι μὲν τοῦτον θεωροῦντες εὑρίσκομεν, ὅντινα δὲ καὶ πῶς διακείμενον πρὸς ἡμᾶς, οὐκέτι, μὴ αὐτοῦ αὐτὸν φανερώσαντος. διόπερ ἡ ἀνθρωπίνη διάνοια ὑπὸ τῆς ἁμαρτίας φθαρεῖσα ποικίλως ἐνταῦθα παραπαίειν εἴωθε, σοφιζομένη καὶ μελετῶσα τὰ τοιαῦτα ἐκτὸς τοῦ τῆς ἀληθείας λόγου. λέγει δ' οὖν ἡ πρώτη ἐντολὴ τάδε.

ΟΥΚ ΕΣΟΝΤΑΙ ΣΟΙ ΘΕΟΙ ΕΤΕΡΟΙ.

Τί φησὶν ἡ δευτέρα;

Αὕτη διδάσκει πῶς χρὴ προσφέρεσθαι ἐν λόγοις ἄνθρωπον τῷ θεῷ, ἤτοι πρὸς ἄλλοις ἢ καὶ ἐντὸς ἑαυτοῦ λαλοῦντα καὶ ἐνθυμούμενον. κελεύει γοῦν τιμὴν νέμειν τῷ ὀνόματι τοῦ θεοῦ. οὐ γὰρ ἐστι κατανοῆσαι τὸν θεὸν οὐδὲ καταδεῖξαι αὐτῷ μὴ ὅτι γε ἑτέρῳ, ὅστις ἐστὶ κατὰ τὴν θείαν φύσιν αὐτοῦ, ἀλλὰ τοῦ ὀνόματος ἀνθεκτέον, καθὸ καὶ αὐτὸς

αὐτὸν ἐνδεικνύει ἡμῖν καὶ φανερὰ ποιεῖ ὅσα γνωρίσαι βούλεται. εἰσὶ δὲ ῥήματα τῆσδε αὐτά.

ΟΥ ΛΗΨΗ ΤΟ ΟΝΟΜΑ ΚΥΡΙΟΥ ΤΟΥ ΘΕΟΥ ΣΟΥ ΕΠΙ ΜΑΤΑΙΩ.

Τί δ᾽ ἐθέλει ἡ τρίτη;

Ἐκείνη τὰ ἔργα καὶ τὰς πράξεις τῆς εὐσεβείας καὶ πᾶσαν θεοάρεσκον θρησκείαν συνίστησιν. ἡ δὲ περὶ τῆς ἑβδόμης ἡμέρας διάταξις πρὸς τε τὸ ἔθνος καὶ τὸν καιρὸν ἐπιτηδείως εἶχεν. ὁμολογουμένου ὄντος τούτου πάντως, δεῖν ῥητοὺς τινας καθεστάναι χρόνους τῶν δημοσίων συνόδων καὶ πανηγύρεων, ἐν οἷς ἀκροᾶσθαι τοῦ λόγου, καὶ εὐχαριστήρια τῷ θεῷ ἱερὰ προσενεγκεῖν δυνησόμεθα, σχολάζοντες ἀπὸ τῶν ἄλλων ἐργασιῶν τε καὶ πραγματειῶν τοῦ βίου, καὶ ὑπὸ μηδεμιᾶς τῶν ἐγκυκλίων διατριβῶν ἐμποδιζόμενοι. τοῦτο γοῦν λέγει ὁ θεῖος νόμος, ἐν φόβῳ καὶ ἀγάπῃ τοῦ θεοῦ φευκτέον καὶ ἐκδιωκτέον ἅπαντα τὰ ἀπὸ τῆς εὐσεβείας ἡμᾶς ἀπάγοντα, ὥστε τὸ τοῦ λόγου κήρυγμα ἤτοι παντελῶς ἡμᾶς ἀποστρέφεσθαι, ἢ

μὴ συντρέχειν πρὸς αὐτὸ, καὶ πάσης σπου-
δῆς ἄξιον ἡγεῖσθαι, οὕτω δὲ διενήνεγκται.

ΦΥΛΑΞΑΙ ΤΗΝ ΗΜΕΡΑΝ ΤΩΝ ΣΑΒΒΑΤΩΝ ΑΓΙΑΖΕΙΝ ΑΥΤΗΝ.

Καὶ τάδε τοῦ ἐμπεριείληφεν ἡ πρώτη καὶ δεξιὰ πλὰξ τοῦ θείου νόμου.

περὶ τῶν ἐν τῇ δευτέρᾳ πλακὶ ἐντολῶν.

Η δευτέρα δὲ καὶ ἀριστερὰ νομικὴ πλὰξ ἐγγράφους περιέχει τὰς θείας ἐντολὰς περί τε τῶν ὀφειλομένων τοῦ πλησίον, καὶ πάντων ἐν τῷ βίῳ καλῶν τε καὶ δικαίων.

Τί κελεύει δὲ ἡ πρώτη;

Ταύτης μὲν τῆς πλακὸς πρώτη ἐντολὴ, ἁπασῶν δὲ τετάρτη, διδάσκει καὶ ὑποτίθησι, ποῖοί τινες γινόμενοι, πρὸς τοὺς προεστῶτας καὶ ὧν ἡμεῖς ὑπεξούσιοί ἐσμεν, φύσει ἢ νόμῳ, εὐλαβῶς τε καὶ θεοφιλῶς διάγοιμεν ἄν. τούτους οὖν τιμᾶν καὶ στέργειν καὶ πείθεσθαι καὶ ὑπακούειν αὐτοῖς προσαγγέλλει: καὶ μὴ καταφρονεῖν ἀρχῆς αἱρετῆς καὶ καθεστη-

κυρίας ὑπ' αὐτοῦ τοῦ θεοῦ. Μηδ' ἐξοργίζειν ἐπὶ τούτοις τὸν μόνον καὶ ἕνα πατέρα καὶ κύριον ἁπάντων. εἰσὶ δὲ οὓς ὁ νόμος τιμᾶσθαι καὶ οἷς ὑπηρετῆσαι κελεύει ἡμᾶς, οἱονεὶ ὕπαρχοί τινες τῆς θείας κυβερνήσεως ἐν τῇ γῇ, οἱ γονεῖς, οἱ ἄρχοντες, οἱ δεσπόται, οἱ διδάσκαλοι, καὶ ὅσοι δὴ ποτ' ἐξουσίαν ἔχουσιν τοῦ προστατεῖν καὶ καθηγεῖσθαι τοῖς ἄλλοις. καὶ διὰ τοῦτο πρωτεύει τῶν ἐντολῶν τῶν ἐν τῇ δευτέρᾳ πλακί. ἔστι γὰρ ὡς ὁ θεῖος παῦλός φησι, πρώτη αὐτὴ ἐν ἐπαγγελίᾳ. ὧδέ πως ἔχουσα.

ΤΙΜΑ ΤΟΝ ΠΑΤΕΡΑ ΣΟΥ ΚΑΙ ΤΗΝ ΜΗΤΕΡΑ ΣΟΥ ΙΝΑ ΕΥ ΣΟΙ ΓΕΝΗΤΑΙ.

Εἴπωμεν δὴ καὶ περὶ τῶν λοιπῶν.

Η δευτέρα ἐντολὴ κελεύει εὖ ποιεῖν τοὺς πέλας καὶ ὁμοιοπαγεῖς ἡμῖν, καὶ ὠφελίμους ἡμᾶς παρέχειν αὐτοῖς, ἐν δὲ τὰς χεῖρας ἡμετέρας ἀπείργειν ἀπὸ κακουργίας καὶ ὕβρεως καὶ αἰκίας, καὶ μὴ ἐᾶν βλάπτειν τινά. κωλύει δὲ μὴ μόνον τὸ τεύχειν ἔργῳ καὶ ἰδίαις χερσὶ κακὸν ἑτέρῳ, ἀλλὰ καὶ τὸ λέγειν καὶ νοεῖν καὶ βουλεύειν. φησὶ δὲ οὕτως.

Οὐ

ΟΥ ΦΟΝΕΥΣΕΙΣ.

Η τρίτη, ἀπαγόρευσίς ἐστι πάσης ἀκαθαρσίας τε καὶ αἰσχρουργίας καὶ πάθους, καὶ ἀσελγείας, καὶ ἐπιθυμίας ἀνόμου, καὶ λόγου ἀκολάστου. παραγγέλλει δὲ τοῖς ἀνδράσι μάλιστα φιλεῖν τὰς γαμετὰς αὐτῶν, καὶ ταῖς γυναιξὶ τοὺς ἑαυτῶν συζύγους, ἀπὸ δὲ τῶν ἀλλοτρίων παντάπασιν ἀπέχειν χεῖράς τε καὶ ὀφθαλμοὺς καὶ δὴ καὶ τὴν ἐπιθυμίαν ἑκάστους. ἔστι δὲ αὐτοῖς τοῖς ῥήμασιν οὕτως ἔχουσα.

ΟΥ ΜΟΙΧΕΥΣΕΙΣ.

Η τετάρτη πᾶσάν τε βίαν ἀποκλείει καὶ πάντα δόλον ἀπὸ τῶν τοῦ πλησίον χρημάτων καὶ κτημάτων, καὶ προτρέπει χεῖρά τε παρέχειν ἡμᾶς καὶ βοηθεῖν ταῖς ἐνδείαις αὐτῶν, μὴ δὲ ὑφαιρεῖσθαι τὴν ἀναγκαίαν χρῆσιν τῶν ἰδίων ὥστε μὴ ἐπαρκεῖν τοῖς δεομένοις ἐκ τῶν ὄντων, κατὰ δύναμιν ἑκάστους. ἔστι δὲ αὐτή.

ΟΥ ΚΛΕΨΕΙΣ.

Η πέμπτη τὴν τῆς γλώττης ἀκολασίαν καὶ λώβην ἀπαγορεύουσα, ἀσφαλίζει τὸ τῆς πλη=

πλησίον ἀξίωμα, καὶ ἅμα τὰς ἀδίκους συστάσεις τῶν συκοφαντῶν διακρούεται. μήτις τολμώη ψευδόμενος καὶ τεχνάζων διασύρειν ἑτέρους, μηδ' ὁπωσοῦν διαβάλλειν, ἢ καταλαλιαῖς καὶ ἐπηρείαις βλάπτειν, μᾶλλον δὲ ἵνα πᾶς τις τὸν ἕτερον εὖ τε εἴπῃ καὶ ἀμύνῃ πᾶσαν ὕβριν καὶ λοιδορίαν, περιέπων τὴν εὐδοκίμησιν αὐτοῦ καὶ πᾶσαν συκοφαντίαν ἐκτρεπόμενος. ἑρμηνεύεται δὲ ὧδε.

ΟΥ ΨΕΥΔΟΜΑΡΤΥΡΗΣΕΙΣ ΚΑΤΑ ΤΟΥ ΠΛΗΣΙΟΝ ΣΟΥ ΜΑΡΤΥΡΙΑΝ ΨΕΥΔΗ.

Οὕτω τοίνυν τὸν νόμον καταμάθωμεν, κωλύοντα μὲν ποιεῖν τε καὶ λέγειν, τὰ βλαβερὰ καὶ ὅσα λώβης καὶ λύμης τοῦ πλησίον κατασκευαστικὰ καὶ τοῖς αὐτοῦ ἅπασι, κελεύοντα δὲ τὰ ὠφέλιμα. αἱ λοιπαὶ δὲ δύο ἐντολαὶ καὶ αὐτὴν τὴν ἐπιθυμίαν πάντως συστέλλουσι, καὶ διαπλάττουσι τὴν καρδίαν, ἀπαιτοῦσαι τὸ καθαρὸν καὶ ἀναμάρτητον αὐτῆς, ὥστε μὴ μόνον τὰς χεῖρας ἀλλὰ καὶ τὰς φρένας ἡμῶν ἁγνεύειν. ἐνταῦθα κατιδεῖν τε ἔστιν ἐπιγνῶναι μάλιστά ἐστι, τὴν τοῦ

ἀνθρω-

ἀνθρωπίνης φύσεως παραφθοράν, καὶ ἄσβεστον ἐν ταύτῃ τῇ βιοτῇ κακίαν. ἄσπονδος γὰρ πόλεμος καὶ ἀδιάλειπτος μάχη διὰ παντὸς κατέχει ἡμᾶς πονοῦντας ἐνταυθοῖ, ἵνα τοῦ ψυχικοῦ τε καὶ σαρκικοῦ θελήματος κρατῶμεν. ἐπὶ τοῦτό ἐστι τὸ στάδιον τοῦ εὐσεβοῦς καὶ καλοῦ δρόμου, καὶ πίστης διαγωγῆς ἕως ἐν τῷ σώματι τούτῳ σκηνώσομεν περὶ ἐπιδημοῦντες τῆς γῆς. λέγουσι δὲ αὐταὶ αἱ δύο ἐντολαὶ τάδε.

ΟΥΚ ΕΠΙΘΥΜΗΣΕΙΣ ΤΗΣ ΓΥΝΑΙΚΟΣ ΤΟΥ ΠΛΗΣΙΟΝ ΣΟΥ. καὶ

ΟΥΚ ΕΠΙΘΥΜΗΣΕΙΣ ΤΗΣ ΟΙΚΙΑΣ, ΟΥΤΕ ΠΑΝΤΟΣ ΟΣΑ ΕΣΤΙ ΑΥΤΟΥ.

Ἐπὶ τοῦ νόμου καὶ τῆς τελειώσεως αὐτοῦ.

Καὶ αὐτὰ μὲν τοῦ θείου νόμου τοῦ διὰ μωσέως εἰσενεχθέντος κεφάλαιά ἐστιν. οἷς συμφωνεῖ ἡ φυσικὴ καὶ ἅπασιν ἐγγενὴς κρίσις, ἀλλ᾽ ἀδιόρθωτος πῶς οὖσα, καὶ ὥσπερ ἐν πηλῷ τινι βαθεῖ ἐμβεβηκυῖα ὀκλάζουσά τε καὶ ὑπολισθαίνουσα. ἐμποδίζεταί τε γὰρ

συχνῶς καὶ παρακρούεται ὑπὸ τῶν ἐκ πρώτης γενέσεως φθορικῶν τινῶν συμπαραφυομένων βλαστήσεων, ὥστε ἀναγκαῖον εἶναι, προκεῖσθαι καὶ ἔγγραφόν τινα τοῦ φυσικοῦ νόμου διασάφησιν, καὶ νουθετοῦσαν καὶ ὑποτιθεῖσαν καὶ διαμαρτυρομένην, καὶ προαγορεύουσαν διαῤῥήδην τὴν τοῦ θείου νομοθέτου γνώμην καὶ βούλησιν, ὥστε εἶναι ἀναπολογήτους πάντας ἀνθρώπους τοὺς μὴ πειθομένους αὐτῇ. διακοσμῆσαι γὰρ τοῦτον τὸν νόμον οὐδ᾽ γνὰς ἂν σοφία κάλλιον καὶ ἀκριβέστερον διαιροῦσά τε καὶ ἐκφράζουσα, ἤπερ ὁ θεῖος μωσῆς, μᾶλλον γὰρ αὐτοῦ τοῦ θεοῦ δάκτυλος ἐξειργάσατο. ταῦτ᾽ ἄρα τὰ κεφάλαια διεσκευάσθη μὲν οὕτως καὶ προὐτέθη τοῖς ἰουδαίοις ὑπὸ τοῦ μωσέως, ἐποιήθη δὲ ἅπασι τοῖς σώζεσθαι μέλλουσιν εὐσεβοῦσι περὶ τὸ θεῖον, γνωσόμενα ἔνδειξις κοινή, τῆς ὀφειλομένης καὶ ἐννόμου ὑπακοῆς, καὶ τῆς ἀσθενείας καὶ συγχύσεως τῶν φυσικῶν δυνάμεων. ὥστε εἰδότας τὰ τοῦ νόμου καὶ αἰσθομένους τοῦ ἐλλείποντος, ζητεῖν ἤδη αὐτοὺς τὸν καταδήσαντα ὡς ἰασόμενον τὰ τῆς ἁμαρτίας τραύματα ὡς ἕλκη, καὶ ἐκκλύζοντα τὸν ῥύπον, καὶ θεραπεύοντα τὸ τῆς συγγενοῦς μισαγαθίας

θίας τε καὶ φιλοκακίας νόσημα, καὶ περι-
βλέπειν φέγγος τὸ ἀποσκεδάσον τὰς νοε-
ρὰς σκοτώσεις τῆς ἀγνοίας. ὅτι δὲ ταῦτα
ἀμαυρότερα μὲν δήπως ὡμολογημένως δ'
ὅμως καὶ ἀνενδοιάστως ἐν ταῖς ἀνθρωπίναις
διανοίαις καὶ λογισμοῖς ἐντετύπωται, μαρ-
τυρεῖ καὶ ἡ συνείδησις, κατὰ τὸν ἅγιον παῦ-
λον, ἐν κατηγορίαις τε ἅμα καὶ ἀπολο-
γίαις. αὗται γάρ εἰσιν ὥσπερ εἰσαγόμεναι
δίκαι περὶ ὧν ἤτοι τιμὴ ἢ κόλασις τέτα-
κται, τοῦτο δὲ δεῖ τὸ εὖ ἢ κακῶς πρᾶξαι.
προσδοκῶσι γοῦν φυσικῶς ἅπαντες ἐκ
τούτων, ἂν γένηται τὰ δέοντα, ἀγαθόν τι
παρὰ τοῦ θεοῦ καὶ ἐκ τῶν ἐναντίων κακόν.
καὶ μὴν τοῖς παρανόμως πραχθεῖσιν ἰσχυρῶς
ἀνιῶνται καὶ ὀδύναις μεγάλαις συνέχον-
ται. ὅ, τε ἐν τραγῳδίᾳ ἐρωτηθεὶς μητρο-
κτόνος περὶ τοῦ ἀπολλύντος αὐτὸν κακοῦ,
ἀποκρίνεται, ὅτι ἀπόλλυσιν αὐτὸν ἡ σύνε-
σις συνειδότα δείν' εἰργασμένον. καὶ ἄλ-
λος τίς φησιν, οὐκ ἔστιν δεινὰ πάσχειν δεινὰ
τὸν εἰργασμένον; καὶ ἄλλος που, ὅτι δρά-
σαντι αἰσχρὰ δεινὰ τἀπιτίμια θεὸς δέδω-
κε. καὶ ὁ Σοφοκλέους κρέων λέγει, ὅτι φιλεῖ
ὁ θυμὸς πρόσθεν ᾑρῆσθαι κλοπεύς, τῶν μη-

δ' ἐν ὀρθῶς ἐν σκότει τεχνωμένων. καὶ μυρία τοιαῦτα παρά τε ποιηταῖς καὶ λογογράφοις εὑρεῖν ἐστιν, ἐξ ὧν τὸ τοῦ Πλάτωνος προσχρησαμένου τῷ Πινδάρῳ ἀπομνημονεῦσαι ἔτι καλῶς ἂν ἔχοι. φησὶ γὰρ οὕτως, ὅτι ὁ μὲν εὑρίσκων ἑαυτοῦ ἐν τῷ βίῳ πολλὰ ἀδικήματα, καὶ ἐκ τῶν ὕπνων ὥσπερ οἱ παῖδες θαμὰ ἐγειρόμενος δειμαίνει, καὶ ζῇ μετὰ κακῆς ἐλπίδος. τῷ δὲ μηδὲν ἑαυτῷ ἄδικον ξυνειδότι, ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι καὶ ἀγαθὴ γηροτρόφος, ὡς καὶ Πίνδαρος λέγει, ὅτι ὃς ἂν δικαίως καὶ ὁσίως τὸν βίον διαγάγοι, γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα ἡ γηροτρόφος συναορεῖ ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ. αὗται δὲ ἐλπίδες ἐκκρεμάννυνται τῆς πεποιθήσεως ἑκάστου καὶ τῶν περὶ τοῦ θείου λογισμῶν ὅπως αὐτὸ εὐνοίας ἢ ὀργῆς πρὸς ἡμᾶς ἔχειν ἡγούμεθα, πεπεισμένων δὴ πάντων ὅτι οἱ χρηστοὶ φιλανθρωπεύονται ὑπὸ τοῦ θεοῦ, οἱ δὲ πονηροὶ τοὐναντίον ἀπεχθάνονται αὐτῷ, καὶ ὁ τραγῳδός φησι, τοὺς μὲν σώφρονας θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς. καὶ οὐ μόνον διακρίνουσιν ἐπ' αὐτοῖς οἱ ἄνθρωποι τὰ πραττόμενά τε καὶ λεγόμενα,

να, ἀλλὰ καὶ αὐτὰς δὴ τὰς προαιρέσεις καὶ
ἐπιθυμήσεις. ὥστε τι τῶν μὴ καλῶν, εἰ ποιοῖ=
το καὶ λέγοιτο, καὶ τὸ ἐπιθυμεῖν ἢ διανοεῖ=
σθαι αἰσχρὸν νομίζεσθαι παρὰ τοῖς φρονίμοις
ἢ καὶ μὴ παντάπασιν ἀνοήτοις τῶν ἀνθρώ=
πων. καὶ ἐστί που τοῦτο παρ' Ἕλλησιν εἰρημένον ἐν
προοιμίας χώρᾳ, ὅτι οὐχ ὁ μὴ ἀδικῶν δίκαι
ος, ἀλλ' ὅστις δυνάμενος ἀδικεῖν μὴ βούλε=
ται, καὶ ὅτι (αὕτη τοι πρώτιστα κακῶν ἐπι=
θυμίη ἐστίν) παρῆκται δ' ἐντεῦθεν καὶ ὁ τοῦ
γύγου παρὰ πλάτωνι δακτύλιος, καὶ πλεῖ=
στα ὅσα τοιουτότροπ' ἄλλα τῶν ἑλλήνων τι=
νὲς ἐσοφίσαντο, πᾶσι δέ, ὡς οἶμαι καταφα
νὲς κἀκ τούτου γένοιτ' ἂν ὅτι ταῦτα οὕτως
ἔχει. ἐπεὶ τῶν αἰσχρῶν ἐνθυμηθεὶς ἢ καὶ ἐπι=
θυμήσας τις, μή γε παντάπασιν ἀναιδὴς
καὶ ἀναίσθητος ὤν, οὔποτ' ἂν καὶ ὁμολογή=
σειε. διὸ δὴ οἶδε μὴ νόμιμα εἶναι. καὶ τοὺς τὰ
τοιαῦτα τολμῶντας ἐξειπεῖν, καὶ σφῶν αὐ=
τῶν γενομένους τῶν μὴ καλῶν ἐννοημάτων
ἀναισχύντους κατηγόρους, ἅπαντες, ὡς
ἔπος εἰπεῖν, ἄνθρωποι βδελύττουσιν. εἰπόν
τος δὲ τοῦ θείου παύλου, ὅτι τὴν ἐπιθυμίαν
οὐκ ᾔδει, εἰ μὴ ὁ νόμος (τὸν θεῖον γὰρ σημαίνει
νόμον) ἔλεγεν, οὐκ ἐπιθυμήσεις, καὶ ἀπο=

δειχ=

διαχθέντος, καὶ ὑπὸ ἐμφύτου κρίσεως καταδικάζεσθαι τὰς μοχθηρὰς τῶν διανοιῶν τε καὶ ἐπιθυμιῶν, ἕπεται δὴ τοῦτο φανερῶς, ὅτι τὰ τῆς φύσεως νόμιμα παντάπασιν θεῖα ἡγητέον καὶ προσαγορευτέον.

Εἰ δὲ τοῦτ᾽ ἀληθές ἐστιν, ὥσπερ ἐστι, πύθοιτ᾽ ἴσως τις, εἰ καὶ διαφορὰν εἶναι οἰητέον τῆς τῶν νομίμων διατάξεως, θείας τε καὶ ἀνθρωπίνης. καὶ εἰ ἐστι, τίνα ταύτην λεκτέον; οὐ γάρ τι σχεδὸν ἁπάντων ἃ καλά τε καὶ νόμιμα καὶ δίκαιά ἐστί τε καὶ ὀνομάζεται, διέφυγε τοὺς ἁπανταχοῦ σοφοὺς πώποτε καὶ νομοθέτας, ποδηγηθέντας ὑπὸ τῆς φύσεως καὶ ἑπομένους τῷ ὀρθῷ λόγῳ. ὡς καὶ Πλάτων που ἀποδείκνυσι, τοὺς ἀγαθοὺς ἄνδρας τεθραμμένους ὡς δεῖ, οὐδ᾽ ἐθελῆσαι ποτὲ, οὔτε παρακαταθήκην χρυσίου ἢ ἀργυρίου δεξαμένους ἀποστερῆσαι ἄλλους. καὶ ἐκτὸς ἔσεσθαι ἱεροσυλιῶν καὶ κλοπῶν, καὶ προδοσιῶν, ἢ ἰδίᾳ ἑταίρων, ἢ δημοσίᾳ πόλεων, καὶ μὴν οὐδ᾽ ὁπωστιοῦν ἀπίστους, ἢ κατὰ τοὺς ὅρκους, ἢ κατὰ τὰς ἄλλας ὁμολογίας. προσηκουσῶν γε μοιχειῶν καὶ γονέων ἀμελείας, καὶ θεῶν ἀθεραπευσιῶν πᾶσιν ἄλλοις μᾶλλον ἢ τοῖς τοιούτοις. ἐν οἷς δὴ ῥηθεῖσιν οὕτω πῶς ὑπὸ

τοῦ

τοῦ πλάτωνος, ἅπαντα σχεδὸν τὰ τοῦ δεκαλόγου κεφάλαια ἐγκατείληπται. λέγομεν δὲ ὅτι εὖ εἴρηται ταῦτα καὶ ξυνδοκεῖ καὶ ἡμῖν. οὐδὲ μᾶλλον ἀναμάρτητοι γ' ἐγεγόνεισαν οἱ ἰουδαῖοι, διὰ τὸ τὴν τοῦ θεοῦ νόμου ἔγγραφον παράδοσιν παρειληφέναι αὐτούς. οὐ γὰρ ἀποδέχεται ὁ χριστὸς τὴν τῶν μαθητῶν δικαιοσύνην μὴ πλεονάζουσαν παρὰ τῶν φαρισαίων. ἔστιν ἄρα θεία τοῦ θεοῦ νόμου καὶ πρὸς τὴν σωτηρίαν ἀναγκαία παράδοσίς τε καὶ διδαχή, καὶ θεσμὸς δικαιοσύνης, ἡ τοῦ ἁγίου πνεύματος ἑρμηνεία, φῶς θεόπεμπτον, ὥστε μὴ μόνον τὰ ἐν ταῖς ἐντολαῖς ἁπλῶς καταλεχθέντα καὶ ἀπαριθμούμενα ἐπιγνῶναι, μήτε μόνον τὸ ἐπιπόλαιον τῶν παραγγελλομένων νοῆσαι, ἀλλὰ καὶ τὸ αἴτιον καὶ τὰ ἐνδότερα ὄντα καὶ λανθάνοντα τοὺς πολλοὺς καταμαθεῖν, καὶ τὸ τέλος αὐτὸ καθορᾶν ἡμᾶς δύνασθαι. ἅπερ οὐκ ἔτι γίνονται ἔργα οὔτε φυσικῆς τινὸς ὁμολογίας οὔτε λογικῆς θεωρήσεως, ἔστι δὲ θεῖα ὅλως, καὶ θείας χάριτος δωρήματα, διὰ δὴ τοῦ ἁγίου πνεύματος ἀπονεμόμενα τοῖς πιστοῖς τῶν ἀνθρώπων. οὗ κατηξιώθησαν πρῶτον μὲν ἰουδαῖοι μόνοι ἐμφανῶς, καὶ ὥσπερ ἐκ συνθή-

κης

κης τῶν ἐπαγγελιῶν, περὶ τοῦ εὐλογήτου σπέρματος ὅπερ ἐν ἐκείνῳ τῷ λαῷ χρόνοις ἰδίοις ἀναθαλῆσαι ἔμελλεν. οὕτω γὰρ φησὶν ἡ γραφή, οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. τοῦ δὲ θεοῦ υἱοῦ, κυρίου ἡμῶν ἰησοῦ χριστοῦ φανέντος ἐν σαρκὶ πᾶν ἔθνος κοινωνὸν ἐγενήθη τῆς χάριτος. ἐπισκεψόμεθα δὲ καὶ ἑξῆς περὶ τούτων ἀκριβέστερον.

Περὶ διαφθορᾶς τοῦ τῶν ἀνθρώπων γένους.

Φθάσαντες ἔφημεν, ὅτι τὰ τοῦ νόμου τοῦδε περὶ τοῦ νοῦ ὁ λόγος, οὐκ ὄντα δοξαστὰ οὐδὲ μετάβλητα, ἀλλὰ καθίσταται φύσει, ἀΐδιά τε ὑπάρχει καὶ ἀκαθαίρετα. οἱ δὲ καὶ σοφώτατοι γενόμενοι τε καὶ ὄντες τῶν ἀνθρώπων οὕτω διενοήθησαν καὶ νῦν ἔτι διανοοῦνται, ὅτι φυσικῶν τινῶν ἐφ' ἡμῖν καταβληθέντων σπερμάτων τοῦ ποιεῖν τὰ δέοντα, ἡμεῖς δὴ τὸ ἀπὸ τούτου ἐσμὲν ἡμῖν αἴτιοι αὐτοὶ τῆς τῶν καρπῶν ἀποκομιδῆς. καὶ ὅτι ἐν ἡμῖν αἱ τῆς εὐζωΐας ἀρχαί. καὶ τὰ ὅμοια. οἱ δὲ ταῦτα συλλογιζόμενοι ἀγνοοῦσιν ἐν τὸ μέγιστον, καὶ οὗ ἄνευ ἥκιστά τις ἀποφαίνει

τι περὶ τούτων καὶ τυχεῖν τῆς ἀληθείας οἷός τε γένοιτ' ἄν. τοῦτο δέ ἐστιν ἡ τοῦ πράγματος περὶ οὗ ὁ λόγος κατάστασις καὶ οὐσία. λαμβάνουσι γὰρ ἅπαντες τὴν τῶν ἀνθρώπων φύσιν ὡς αὐτὴν καθ' αὑτὴν εἰλικρινῆ καὶ ἀκεραίαν καὶ ἄμωμον ὑπάρχουσαν, ἔστι δὲ οὐχ οὕτως, ἀλλὰ περιέπεσέ τε ἐκείνη ἐκ τῆς πρωτοτύπου ἀρετῆς καὶ εὐκρασίας διὰ τῆς ἁμαρτίας εἰς κακίαν καὶ φθορὰν καὶ βλάβην καὶ νόσον ἁπάντων ψυχικῶν τε καὶ σωματικῶν δυνάμεων. ὁ μὲν γὰρ ἀδὰμ δῆλον ὅτι δίκαιος τε καὶ καθαρὸς ἁπάσης κακίας καὶ κατὰ πάντα ἄμεμπτος ἐπλάσθη, κατά τε τὸ σῶμα σύμμετρος καὶ διηρθρωμένος ἀκριβῶς, κατά τε τὴν ψυχὴν ἄκρος γενόμενος τῇ τε νοητικῇ καὶ αἰσθητικῇ δυνάμει, καὶ φρόνησιν ἔχων τελέαν καὶ λόγον γνωστικὸν ἅμα καὶ αἱρετικὸν τῶν καλῶν, ἀλλὰ τοσοῦτον ὥστε μηδὲ διακρίσεως περὶ τῶν καλῶν καὶ πονηρῶν δεῖσθαι, ἀλλὰ τῇ θεωρήσει καὶ γνώσει καὶ βουλήσει τοῦ καλοῦ ἐνδιατρίβειν διόλου. γυμνὸς δὲ ὢν ἐσθῆτος, ἐκεκόσμητο ἐνδύματι τιμιωτάτῳ τῆς θεοφιλίας, οὐδ' ὅτι γυμνὸς ἐτύγχανεν καθορῶν, τὸ εἰδέναι δηλαδὴ, ὅτι αἰσχρὸν ἦν

ἀγνο-

ἄσχημον. αἰσχύνη γάρ, ὃ μήποτ' ἂν ἅψαιτο τοῦ καλοῦ. ὁ δὲ εἰς τὸν θεὸν βλέπων τὸ καλὸν οἶδε μόνον. οὕτως μὲν οὖν ἐκεῖνος μακάριός τε ὢν διῆγε, καὶ θείας ὑπακοῆς ἡδονῇ ἐνδιατρίβων ἀμυθήτως ἐτέρπετο, ἀπατηθεὶς δὲ καὶ ὑπαχθεὶς ὑπὸ τῆς γυναικὸς διὰ τοῦ ὄφεως, καὶ παραβὰς τὴν τοῦ θεοῦ ἐντολήν, διεφθάρη κατά τε τὴν σωματικὴν ἕξιν καὶ τὴν ψυχικὴν διάθεσιν. καὶ ἄλλος τις γέγονεν ἄνθρωπος, ἄθλιος καὶ ταλαίπωρος, εἰς τοὔσχατον κακοδαίμων, ἀφυὴς πρὸς ἅπαντα τὰ ἀρέσκοντα τῷ θεῷ ὑφ' οὗ καὶ ἐφυγαδεύθη ἐξεληλαμένος ἐκ τοῦ παραδείσου, ἐπὶ τῆς γῆς ἐπικαταράτου δι' αὐτὸν γεγονυίας, αὐτοῦ δὲ ἐν ἐκείνης μοχθηρίᾳ, πόνοις καὶ καμάτοις ὑποβληθέντος. τούτου δὲ τοιούτου πατρός, ἡμεῖς ἔκγονοι ἅπαντες κατὰ φύσιν ὅμοιοι τῷ γεννήσαντι, κακουχικοὶ τό, τε σῶμα καὶ τὴν ψυχήν, προπετεῖς ἐπὶ τὰ πονηρά, νωθροὶ πρὸς τὰ καλὰ αὐθάδεις, σκαιοί, διεστραμμένοι τόν τε νοῦν καὶ τὸν θυμὸν καὶ τὰς ὀρέξεις, καὶ συνελόντι εἰπεῖν ἁμαρτωλοί, ἀνεπιτήδειοι πρὸς πᾶν ἔργον ἀγαθόν, καὶ πάσης δικαιοσύνης καὶ ἀρετῆς εὐδοκιμούσης παρὰ τῷ θεῷ, ἧς τε

ἐκεῖνος

ἐκεῖνος ἐφίεται καὶ στέργει, ἄμοιροι καὶ κε-
νοί. δι' ἑνὸς γὰρ ἀνθρώπου (φησὶν ὁ θεῖος
παῦλος) ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλ-
θε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ τέ-
κνα ὀργῆς, καὶ ἀντὶ θεοφιλῶν θεομισεῖς
ἐγεννήθημεν. ἐν ᾧ πάντα ἤδη κακὰ ἐστί.
ἔχρην οὖν γινώσκειν, ὅτι ἅπαντα τὰ κρινό-
μενα ὑπ' ἀνθρώπων καὶ συλλογιζόμενα καὶ
δὴ καὶ πραττόμενα μετὰ πολλῶν τε καὶ παν-
τοδαπῶν σφαλμάτων βαθέα τε καὶ φαῦ-
λά ἐστι. τῆς μὲν διανοίας φαντασίαις τισὶν
ἀτόπου ταρασσομένης, καὶ ὑφορωμένης μέν
τι περὶ τοῦ ὄντως ὄντος, διωκούσης δὲ ὥσπερ
ἐν ὀνείρῳ τὸ ὑποφεῦγον. τῆς δὲ βουλήσεως
καὶ τῆς προαιρέσεως ἄλλοσέ ποι πάντως
τεινούσης, καὶ οὐχ ἧπερ ἔχρην ὑφηγουμένῳ
τῷ λογισμῷ οἱῳδήποτε ὑπάρχοντι περιεπο-
μένων. εἰσὶ μὲν γὰρ ἔτι ὥσπερ αἰσθητικῶν
δυνάμεων, οὕτω καὶ γνωστικῶν τε καὶ πρα-
κτικῶν ἀρχαὶ ἐφ' ἡμῖν. ὁ γὰρ ἄνθρωπος
πρὸς ὁμοίωμα τοῦ θεοῦ ποιηθεὶς, οὐ παντελῶς
ἀπόλωλεν ἀϊστωθεὶς ὑπὸ τοῦ κτίσαντος,
ἀλλὰ περιεφθάρη καὶ τῆς εἰκόνος αὐτὸς ἑαυ-
τὸν ἠλλοτρίωσε, καὶ ἐστέρησε τῆς πρωτογενοῦς
ὀρθότητος, οἱονεὶ στρεβλὸς ἤδη καὶ χωλὸς καὶ

παραλυτικὸς γενόμενος, καὶ δὴ καὶ τυφλὸς, τὸν δὴ νοῦν εἰ μήγε τὰ ὄμματα. ἀρχαὶ δ' ὅμως οὖν ἐκεῖναι μένουσι μὲν, ἀνάπηροι δὲ καὶ ἀμαυραὶ καὶ συγκεχυμέναι εἰσίν, ὥστε περί τε τῆς ἀληθείας ὑπονοεῖν, μέν τι, σαφῶς δὲ καταδεῖν οὐδέν. καὶ ταῖς καλαῖς τῶν πράξεων, ὡς μὲν αὕτως ἐπιβάλλειν, οὐδὲν ἐξεργάζεσθαι δὲ τὴν προθυμίαν. καὶ αὐτῆς δὴ τῆς φρονήσεως ἐπὶ τὸ πλεῖστον ἀφρονεστέραν πως διακειμένης. οὔτ' ἄρα ἡ τοῦ νομοθέτου νοῦν ἡ ἀνθρωπίνη γνῶσις καταλαβεῖν τελέως, οὔτε τῶν παραγγελιῶν ἐπαΐειν, οὔτε τὰ προαγορευθέντα ἐκπονῆσαι δύναιτ' ἄν, οὕτω μακρὰν τῆς θείας ὁμιλίας ἀπελαθεῖσα. Ἐν δὲ τοῖς ἀμφὶ τὸ τέλος μάλιστα που σφαλλόμεθα, ἀστοχοῦντες ὅλως τοῦ βουλήματος τοῦ νομοθέτου. καὶ πάντων μᾶλλον σκοποῦντες ἢ οὗπερ ἕνεκεν ὁ νόμος ἐτέθη. Τί γὰρ ἄλλο ζητοῦσιν οἱ ἄνθρωποι, ἢ τὸ ἑαυτῶν, τό, τε εὖ πράττειν καὶ τὸ εὐδαιμονεῖν; ἢ τίνι μέλει τῆς τοῦ νομοθετήσαντος τιμῆς καὶ δόξης, ἁπλῶς γε καὶ ἀμέσως; ἢ τίς σπουδάζει περὶ τὸ ποιεῖν τι τῶν ἐπαινετῶν, ἢ μὴ ποιεῖν τῶν ψεκτῶν, διὰ τὸ πεπεισμένος εἶναι, ὅτι τοῦτό ἐστι τὸ θέλημα τοῦ θεοῦ; ὥστε γοῦν φόβῳ καὶ πίστει τούτου ἕνε-

κεν

κειν ἐξεργάζεσθαι τὰ ἐπιτεταλμένα, καὶ ἀπέχεσθαι τῶν ἀποῤῥήτων; συνελόντι γοῦν εἰπεῖν, τῶν τοῦ θείου νόμου εἴτ' ἐγγράφων εἴτ' ἀγράφων, τἀνθρώπινα λείπονται ἄπειρον ὅσον, κατὰ δὲ τρία τάδε μάλιστα. ὅτι οὐκ ἐφικνοῦνται τῆς τοῦ νομοθέτου γνώμης, ὅτι οὐ στοχάζονται τοῦ τέλους τῶν ἐντολῶν, καὶ ὅτι αὐτοῦ τοῦ νομοθέτου ἀμελῶς ἔχοντες, περιορῶνται τελείως αὐτὸν, καὶ ἐκ τῶν ἔργων αὐτοῦ, κατὰ τὸν ἅγιον παῦλον φανερωθέντα οὐ δοξάζουσι. πότε γὰρ ἡ ἀνθρωπίνη σύνεσις προσεκύνησε σεβομένη τε καὶ φοβουμένη, θεὸν ἕνα κοσμοκράτορα καὶ κτίστην καὶ κυβερνήτην ἁπάντων, τὸν εἰσενηνοχότα τὰ νόμιμα ταῦτα, ἐκ τῆς ἰδίας ἀγαθότητος καὶ σοφίας αὐτοῦ; πολλοῦ γε καὶ δεῖ. τίς δὲ τὸ τέλος ἐδίδαξε τῶν ἐννόμως πραττομένων, οὐ τὸ ἴδιον λυσιτελὲς ἢ συμφέρον ἢ ἀξίωμα, ἤτοι διὰ τοῦ καλοῦ ἢ δικαίου ἢ ἄλλῳ ὡτινιοῦν ὀνόματι καλλυνόμενος, καὶ τὸ κῦρος ἅπαν τῶν ἐντολῶν τοῦ θεοῦ θελήματι καὶ εὐδοξίᾳ προσεθήκατο; τὸ δὲ τρίτον ποῖον ἀνθρωπινὸν νόημα κατέδειξε, τὸ πάντ' ἀπηρτισμένα καὶ τέλεια ἀπαιτεῖν τὸν νόμον, τείνοντα καὶ προάγοντα πρὸς εὕρεσιν βοηθείας

τινος, ἀφ' ἧς ἐνισχύσας τις, ἐνθυμοῖτό τι περὶ τῶν ἐπιτεταγμένων ὀρθῶς, καὶ διαπράττοιτο ἅπαντα καθηκόντως;

Τίνα δέ τις αὖ βοήθειαν εὕροι πρὸς ταῦτα;

Προείρηται ὅτι βεβλαμμένων ἁπασῶν τῶν ἐν ἀνθρώπῳ δυνάμεων διὰ τῆς ἁμαρτίας, οὔτε φύσις ἔμεινεν ἀκεραία, οὔτε νοῦς ἀκραιφνής, οὔτε προαίρεσις καθαρά, οὔτε φρόνησις ἀσφαλής, ἀλλ' ἔμεινεν ὅμως καὶ φύσις καὶ νοῦς καὶ προαίρεσις καὶ φρόνησις. ὥστε καὶ ἐπιστάμεθα καὶ γινώσκομεν καὶ διανοούμεθα καὶ λογιζόμεθα καὶ φρονοῦμεν καὶ πράττομέν τι, ἀλλ' ἐστὶν ἀτελὲς τοῦτο καὶ ἀκατέργαστον, καὶ ἄμορφον, καὶ σεσινωμένον, διὰ τὴν ἁμαρτίαν. οὐδὲν δ' ἧττον ἥ τε περὶ τῆς πρὸς τὸν θεὸν εὐσεβείας καὶ παρ' ἀνθρώποις καλοκαγαθίας, καὶ ἁπάντων τῶν ὁσίων καὶ τιμίων λεγομένων, ὡς δ' αὔτως τῶν ἐναντίων τούτοις διάκρισις καὶ ἐπίσκεψις καὶ ἐπιστήμη καὶ ὁρμή τις προτρέπουσα καὶ ἀποτρέπουσα συνετηρήθη. ὑφ' ὧν ἁπάντων, ὅσον κατ' αὐτά, κερδαίνομεν ἄλλο οὐδὲν ἢ τὸ ἀεὶ πορρωτέρω ἀποχωρῆσαι τοῦ θεοῦ, ἅπαξ ἐν τῷ

πρώτῳ

πρωτοπάτορι ἡμῶν καὶ φυτουργῷ ἐκβληθέν-
τος τοῦ παραδείσου, ὑπό τε ὀργὴν καὶ ἐνό-
χους γενέσθαι τῷ θανάτῳ. οὐδεὶς γὰρ δι' αὐ-
τοῦ οἷός τε ἀποστρέψαι τε καὶ παρεισδῦναι
αὖθις ἐκεῖσε ὅθεν ἐξέπεσε τὸ ἀρχέτυπον
τῆς φύσεως. ἔταξε γάρ, φησι, τὰ χερουβὶμ
καὶ τὴν φλογίνην ῥομφαίαν φυλάσσειν τὴν
ὁδὸν τοῦ ξύλου τῆς ζωῆς. πᾶσα τοίνυν καὶ
διάνοια καὶ θέλησις καὶ πρᾶξις ἰδία ἡμῶν
σαρκίνη τε οὖσα καὶ τοῦ θείου πνεύματος ἐστε-
ρημένη, καὶ μεθοδευθεῖσα ὑπὸ διαβόλου,
πλανᾶται τε ἐν ἀθεότητι ἐν τῷ κόσμῳ τού-
τῳ, καὶ ἐν ἀπειθείᾳ καὶ πάσῃ κακίᾳ, καὶ φρό-
νημα ἔχουσα σαρκὸς καὶ οὐ δεχόμενον τὰ τοῦ θείου
πνεύματος, οὐ προσεγγίζει τῷ θεῷ. σαρκι-
κὸς γὰρ καὶ ψυχικὸς πᾶς ἄνθρωπος ἐκ φύ-
σεώς ἐστι, τὸ δὲ φρόνημα σαρκὸς ἔχθρα εἰς θε-
όν, τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται,
οὐ γὰρ δύναται, φησὶν ὁ παῦλος. καὶ τοι-
οῦτοι αἰχμάλωτοι ἄγονται ὑπὸ νόμου τῆς ἁμαρ-
τίας. οὕτως ἄρα τὸν θεὸν οἱ ἄνθρωποι καὶ γι-
νώσκουσι καὶ ἀγνοοῦσι. καὶ τὰ νόμιμα ἐπί-
στανται τε καὶ οὐκ ἐπίστανται. γινώσκουσι γὰρ
αὐτὸν κατὰ τὴν ἀΐδιον αὐτοῦ δύναμιν καὶ
θεότητα, οὐ δοξάζουσι δὲ ἐπιγνωσθέντα ἀλλὰ

ματαιοῦνται ἐν τοῖς διαλογισμοῖς αὐτῶν. οὐ γὰρ ἔγνω ἐν σοφίᾳ θεοῦ ὁ κόσμος διὰ σοφίας τὸν θεόν. καὶ τὰ τοῦ νόμου, πῶς οὐκ ἐπίσαιντ' ἂν ἔγγραφα ἔχοντες ἐν ταῖς καρδίαις; οὐ κατεργαζομένων ἢ τὸ ἀγαθὸν ἀλλὰ τὸ κακὸν μᾶλλον, φαίη τις ἂν. ἀνεπιστημοσύνην μὲν οὖν ταύτην, ἑκούσιον δέ. τὰ μὲν γὰρ τοῦ νόμου χρηστὰ ὑπάρχοντα ἐπιστάμεθα καὶ γινώσκομεν ἅπαντες, οὐκ ἐκπονοῦμεν δέ, οὐ μόνον ὑπ' ἀργίας ἢ ἡδονῆς, ὡς Εὐριπίδης φησίν, ἀλλὰ καὶ ὑπ' ἀγνοίας τινὸς αἰσχροτάτης γε καὶ πάσης τιμωρίας ἀξίας. ὅτι ἐν μεγίστῃ ὀλιγωρίᾳ περιπατοῦμεν, καὶ ζῶμεν βίον ἠλίθιον ἀφροντίστως ἔχοντες τῶν θείων ἐπιταγμάτων, καὶ μήτε τὰς τοῦ ἁγίου πνεύματος ὑπομνηματίσεις κατὰ τὰς ἱερὰς τῶν γραφῶν διερευνώντων, μήτε ἐν τῷ νόμῳ τοῦ θεοῦ μελετώντων ἡμέρας καὶ νυκτός, κατὰ τὸν ψαλμογράφον. ἀλλὰ προτιμῶντες ἄλλοι ἄλλην, ἤτοι σοφίαν καὶ γνῶσιν, ἢ δόξαν καὶ πίστιν. πλεῖστοι δὲ ὅσοι καὶ ἀπωθοῦνται τὴν τοῦ θείου πνεύματος παιδείαν, καὶ αὐτοῦ τὸ ἐν ταῖς διανοίαις ἀναπτόμενον πῦρ ἀποσβεννύουσι, καὶ τὴν ἀλήθειαν οὐδαμῶς προσίενται, ἤτοι διαπληκτιζόμενοι καὶ προ-

πηλα-

πηλακίζοντες καὶ μισοῦντες προφανῶς, ἢ φιλονεικοῦντες πρὸς αὐτὴν καὶ σοφιστικῶς ἐπιτωθάζοντες. ἀμφότεροι δὲ οὖν τῶν παρὰ λέγουσι τῷ κυρίῳ, ἀπόστα, τὰς ὁδοὺς σου εἰδέναι οὐ βουλόμεθα. ὥσπερ γὰρ τῶν πρὸς τὴν τοῦ σώματος ὑγίειαν ἐπιτηδευομένων, τοῖς ἀποστρεφομένοις ἢ καταφρονοῦσιν ἢ ἀκρατεύουσιν οὐδὲν ὄφελος, οὕτω καὶ τὰ πρὸς τὴν τῆς ψυχῆς θεραπείαν, ἄνευ τοῦ τε μαθεῖν καὶ ἀγαπῆσαι, καὶ προσαρμόσαι τῷ ἀεὶ πεπονθότι μορίῳ παντάπασιν ἄχρηστα καὶ ἀνόνητα εὑρίσκονται. ἡ δὲ διδασκαλία ὁλοσχερὴς ἐστὶν ἡ τῆς θείας ἐξηγήσεως καὶ διερμηνείας, αὐτοῦ τοῦ θεοῦ τοῖς ἁγίοις πατράσιν ἀπ' ἀρχῆς συνομιλήσαντος καὶ διασαφήσαντος ἕκαστα, καὶ ἐκείνων παραδιδόντων τοῖς ἐκγόνοις καὶ οἰκείοις τὰ θεῖα μαθήματα, καὶ κατηχησάντων αὐτοὺς περὶ τῆς ἀληθείας καὶ εὐσεβείας καὶ ὁλοκλήρου ἀρετῆς. αὐτὴ ἡ παιδεία τὸ πρῶτον ὀρθοτάτη οὖσα μετ' οὐ πολὺ ἐξ ἀφυλαξίας παρεγκλιθεῖσα διεστράφη, καὶ τῶν ἀνθρώπων ἤδη ἐπὶ τῆς γῆς πληθυνόντων, ἐπὶ πολλὴν ἀτοπίαν τε καὶ ἀπάτην προήχθη παρὰ πᾶσι σχεδὸν ἔθνεσι. καὶ οὐχ ἥκιστα διὰ τοῦτο ὁ κατακλυσμὸς ἐγγένηθη, καὶ

μετ' ἐκεῖνον αὖθις ὅτι τάχιστα ψευδεῖς τε δόξαι καὶ ἀποστασία καὶ πάντα κακὰ ἐπεπόλασαν πάλιν ἐν τῷ βίῳ. ὁ δὲ θεὸς οὐδ' ἐν ἐκείνῳ τῷ χρόνῳ ἠμέλησε τῆς διορθώσεως. ἀλλ' αὐτός τε καθηγητὴς τοῦ λόγου γενόμενος ἐλάλησε πρὸς τοὺς τότε πατέρας, καὶ μετὰ ταῦτα προφήτας τουτέστιν ἑρμηνεύοντας τῆς ἀϊδίου βουλήσεως καὶ διανοίας αὐτοῦ πέμψας, οὕτω δὴ ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐλάλησεν ἅπασιν ἀνθρώποις καὶ ὅλῃ τῇ κτίσει ἐν υἱῷ ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε, φησὶν ὁ γράψας τὴν πρὸς ἑβραίους ἐπιστολήν. καὶ νῦν ἴσμεν ὅτι ἡ τοῦ θεοῦ βουλὴ καὶ τὸ θέλημα, ἐφ' ὅσον γε ἤρεσεν αὐτῷ γνωρισθῆναι ἡμῖν, καὶ ὅσον ἀναγκαῖον πρὸς σωτηρίαν, καὶ οἷοί τ' ἐγενήθησαν οἱ λογισμοὶ τῶν ἀνθρώπων καταλαβεῖν, τοῦτο δῆλον ὅτι ἅπαν ταῖς ἱεραῖς γραφαῖς τῶν τοῦ τε μωσέως καὶ ἄλλων παρὰ τοῖς ἑβραίοις ἐλλογίμων καὶ θεοφόρων ἀνδρῶν, τῶν τῆς προφητικῆς χάριτος καὶ ἀξίας τετυχηκότων, βιβλῶν ἐγκατείληπται καὶ περιωρίσθη, καὶ μετέπειτα τελειότατα δὴ ταῖς ἀποστολικαῖς μεταχειρίσεσι τῶν διηγήσεων καὶ ἐπιστολῶν, ἃς κοινῇ τε καὶ ἰδίᾳ

πρός

πρός τινας ἐξεπόνησαν, διεσαφηνίσθη, καὶ τρανωτάτα διωρίσθη ἅπαντα, πρὸς ὧν τῆς οἰονεὶ κολοφὼν ἐπετέθη τῇ τοῦ θείου ῥήματος καὶ τῆς οὐρανίας διδαχῆς καὶ τῶν τῆς ἀληθείας ἑρμηνευμάτων ἐγγράφῳ τελείᾳ τε καὶ ἀκινήτῳ καὶ ἀμεταπτώτῳ παραδόσει καὶ κηρύξει καὶ ἐξαγορεύσει καὶ παραγγελίᾳ. ὥστε τῇ τῶν εὐσεβῶν καὶ φοβουμένων τὸν θεὸν αὐτοῦ δὴ ἅπαντα παρασκευάσθηναι καὶ πρόχειρα γεγενῆσθαι τὰ πρὸς τὴν σωτήριον τῆς θείας ἀληθείας τε καὶ σοφίας κατάληψιν καὶ γνῶσιν φέροντα. τοῖς δὲ ἐξ ἀπειθείας καὶ ἐριθείας οὐκ ἔστιν οὐδεμίαν πρόφασιν ὑπολείφθηναι ἀπολογίας, ὅτι παρακηκόασι τῶν ἐντολῶν θεοῦ, ἐνδιαθέτων τε ἑαυτοῖς ὑπαρχουσῶν, καὶ ἐγγράφως ἐκτεθειμένων. τῆς δὲ θείας διδαχῆς καὶ ἑρμηνείας ἀμελῶς ἔχοντες, οὔτε μαθεῖν ἐσπούδασαν τὰ ἀγνοούμενα οὔτε τῇ πρὸς τὴν ἀλήθειαν ὁδηγήσει ἠκολούθησαν, ὥστε διὰ ταύτην ἤτοι ἄγνοιαν ἢ αὐθάδειαν, ἢ ἀκηδίαν, ἢ πονηρίαν, ἐνόχους εἶναι ταῖς αἰωνίοις τιμωρίαις καὶ τῇ φοβερᾷ κρίσει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ δόξα καὶ δύναμις καὶ βασιλεία ἀΐδιος ἀμήν. ἔχομεν τοίνυν τὴν βοήθειαν τῆς ἡμετέρας ἀσθενείας, καὶ τῆς

φυσικῆς διαστροφῆς καὶ φθορᾶς ἐπανόρθωσιν, καὶ διακόσμησιν τῆς ἀταξίας, ἐν τῷ λόγῳ τοῦ θεοῦ, καὶ τῇ οὐρανίᾳ διδασκαλίᾳ τῶν θεοπνεύστων γραφῶν. περὶ ὧν καὶ ἐν τοῖς ἑξῆς μᾶλλον εὐκαίρως τὰ λειπόμενα εἰρήσεται.

Διαπορήσειε δ᾽ ἄν τις ἴσως, πῶς λέγομεν πάντα ταῦθα καθεστηκέναι φύσει, ἐπεὶ δὴ παρὰ πολλοῖς τἀναντία νενόμισαι, ὡς εἰδωλολατρεῖαι καὶ πορνεῖαι παρά τισι, καὶ μοιχεῖαι παρὰ σπαρτιάταις, αὐτὴ πόλις γενομένη δῆτα τῶν κάλλιστα νομοθετηθῆναι δοκούσων, καὶ ἐπαινεθεῖσα ὑπὸ πλείστων. τὰ δὲ τῆς φύσεως οἰκεῖα ἀεὶ ὡσαύτως ἔχουσι καὶ οὐ μεταβάλλονται, οὔτε χρόνῳ οὔτε τόποις, οὔθ᾽ ὅπως οὖν μεταλλαχθέντα. φαμὲν δή, ὅτι τὰ τοῦ νόμου πᾶσι μὲν οὐσὶν ἔμφυτα τοῖς ἀνθρώποις, καὶ ἡ διαγραφὴ αὐτοῦ ἀνεξάλειπτος. καταγεγραμμέναι γὰρ ἦσαν, φησιν, ἐξ ἀμφοτέρων μερῶν ἔνθεν καὶ ἔνθεν. διὰ δὲ τῆς ἀπειθείας οὕτως ἐφθάρη τὸ φυσικὸν ἅπαν, ὥστε καὶ συντριβῆναι τὰς ἐν τῇ ψυχῇ πλάκας, ἤγουν συγχυθῆναι τὰ νόμιμα, καὶ ἔργον εἶναι τῷ θεῷ τὴν δευτέραν ἀναγλυφήν. οὐδεὶς γοῦν εἰς τοσοῦτον μοχθηρίας ἐλήλακεν,

λάκων, ὅς, εἴπερ τι καὶ τολμᾷ κατὰ τοῦ θείου νόμου ἢ ποιεῖν, ἢ εἰσάγειν, μὴ ἀναγκασθῇ τάχ' ἂν ὁμολογῆσαι ὅτι οὐκ ὀρθὸν ἄρα τοῦτο, καὶ ὅτι κάλλιον ἦν ὑπακοῦσαι τῷ θείῳ νόμῳ, εἴγε διδάξει τις περὶ τούτων, ἢ ὁ θεὸς, ὅπερ μέλλει γενέσθαι, καταδείξειεν, οἷον τὰ τῶν νομικῶν ἐν τῇ καρδίᾳ αὐτοῦ πλακῶν κατάγματα. Ἐστι δὲ αὕτη τιμωρία δεινοτάτη καὶ πασῶν μεγίστη, τὸ μὴ γινώσκειν ἁμαρτάνοντα, ὅσον ἁμαρτάνει. καὶ οὗτός ἐστιν ὁ ἀδόκιμος νοῦς, περὶ οὗ γράφει ὁ ἅγιος παῦλος, ὅτι ὁ θεὸς τοὺς ἀσεβεῖς παρέδωκεν εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα, καὶ ὅτι ποιοῦσιν ἃ ποιοῦντας οἴδασιν ἀξίους ὄντας τοῦ θανάτου. ὁ γὰρ λυκοῦργος, οὔποτ' ἂν οὕτως, ὡς οἶμαι, θρασύστομός τις καὶ ἀναιδὴς ἐγένετο ὥστε φάναι τὴν μοιχείαν πρὸς αὐτοῦ ἐπαινεῖσθαι. οὐδὲ λυδοὶ τὰς ἑαυτῶν παρθένους πόρνας καλεῖσθαι ἠνέχοντ' ἄν. οὐδ' ἀχὰς ἔστεργεν ἂν εἰδωλολάτρης ἀκούων. ἀλλ' ἐν πᾶσι δὴ τοιούτοις ἡ διάνοια νοσεῖ μαινομένη πῶς ἢ παραφρονοῦσα ἐν τοῖς θείοις, ὥσπερ ὑπὸ χολῆς ἐνίοτε ἀρρωστοῦντες ἀμφὶ τὰ ἀνθρώπινα ψευδῶς δοξάζουσι παραφερόμενοι ταῖς γνώμαις. ἀλλὰ ταῦτα μείζους

ἤδη

ἤδη καὶ ἀκριβεστέρας εἰσὶ πραγματείας καὶ ἐξετάσεως.

Τί ὄφελος τοῦ νόμου; καὶ περὶ τῆς παραβάσεως.

Τοῦ θείου παύλου εἰπόντος, ὅτι ὁ νόμος ὀργῆς κατεργαστικὸς, καὶ παρεισεληλυθέναι ἐκεῖνον, ἵνα πλεονάζῃ ἡ ἁμαρτία, καὶ διὰ τὰ προειρημένα ἀνωτέρω, ἐπαπορήσειεν ἄν τις ἴσως, τί ἄρα τοῦ νόμου ὄφελος; πρῶτον μὲν οὖν ἰστέον, ὅτι ὁ νόμος οὐδὲν ὢν ἄλλο ἤπερ ἡ τοῦ θεοῦ θελήματος προαγόρευσις, εἴη ἂν οὕτω κεφαλαιώδης ὑπογραφὴ, ἔργων τε καλῶν καὶ ἀρεσκόντων τῷ θεῷ, καὶ τῶν ἐναντίων, αἰσχρῶν τε καὶ μισητῶν αὐτῷ. τοῖς φυλάσσουσι γοῦν τὰ τοῦ νόμου δικαιώματα, τιμή τε καὶ μισθὸς ἀπόκειται ἐν ἡμέρᾳ δικαιοκρισίας, ὅτε ἀποδώσει ὁ θεὸς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. τιμωρία δὲ καὶ ὀργὴ τοῖς κατεργαζομένοις τὸ κακόν. πάντως γὰρ δήπου φυλάττεσθαι ταῦτα βούλεται ὁ θεὸς, καὶ ἀναπολόγητός ἐστιν, ὡς ἔφημεν, ἅπας ὁ παραβαίνων. λέγω δὲ τὰ τοῦ δεκαλόγου κεφάλαια, ταῖς ἀνθρωπίναις ψυχαῖς ἐγκεχαραγμένα. οὐ μόνον τοῖς τὰς διαφερούσας διαταξεις

τάξεις αὐτῶν ἀτιμάσαντας πλημμελεῖν, καὶ μὴ κατὰ τὴν τοῦ ὀρθοῦ φαινομένου λόγου ὑφήγησιν, προάγειν ἐπὶ τὰς ἀρετὰς, ἐφ' οἷς πρόκεινται τοῖς δρῶσι παρ' ἅπασι σχεδὸν ἀνθρώποις τιμαί τε καὶ ζημίαι, ἀλλὰ καὶ διὰ ἤτοι μὴ ἐπαΐειν τοῦ νομοθέτου θελήματος, ἢ μὴ ἐθέλειν κατακολουθῆσαι τούτῳ, ἢ καὶ μὴ δύνασθαι ἐφικέσθαι αὐτοῦ. πάντως γὰρ τούτων αἱ αἰτίαι ἐφ' ἡμῖν. καὶ ὅτι μὲν τῶν παρ' ἀνθρώποις ὡς εἰπεῖν, ἅπασι καλῶν καὶ αἰσχρῶν νενομισμένων, κύριοι ἐσμὲν ἡμεῖς, πάθοι ἂν ἕκαστόν τινα ἀριστοτέλης ἢ ἄλλος τις τῶν ταῦτα φιλοσοφούντων. πάθοι δ' οὖν ὡς ἂν τύχοι. ἡ γὰρ περὶ φύσεως ἐγγενὴς λώβη προσφθεῖσα ὑπὸ τούτων διαλυμαίνεται τὰ συλλογιζόμενα. ὥστε τὸν πλάτωνα ἀμηχάνως ἔχοντα ἐν τῷ σκέψασθαι περὶ τῆς τῶν ἀνθρώπων ῥᾳδιουργίας, καὶ ζητῆσαι τὴν ἀρχὴν τῶν ἀγαθῶν καὶ κακῶν, ὁμολογῆσαι ὅτι κακοὶ γίγνονται οἱ κακοὶ διὰ δύο ἀκουσιώτατα, ὧν αἰτιατέον μὲν τοὺς φυτεύοντας ἀεὶ τῶν φυτευομένων μᾶλλον, καὶ τοὺς τρέφοντας τῶν τρεφομένων. οὗτος ἄρ' εἰ καὶ μὴ συννοήσας ὅμως ὑπηνίξατό τι περὶ τοῦ πρωτοπλάστου ἀνθρώπου ἐπὶ τοὺς ἐκγόνους φυσι-

κῆς

κῆς ἀποῤῥοῆς, αἰτιώμενος τῶν κακῶν. ὥσπερ γὰρ καὶ ἐν ἐκείνοις οἷς κατασκευάζειν πειρᾶται, ὅτι οὐδεὶς ἑκὼν πονηρός. ἀλλ' οὐ μὴν ἄρα καὶ ἀκουσίως ἀδικεῖν τε καὶ ἀνοσιουργεῖν καὶ αἰσχρὰ πράττειν τοὺς κακοὺς τῶν ἀνθρώπων συγχωρητέον. ἑκάστου γὰρ αὐτῶν ἴδιαι αἱ πράξεις καὶ αὐτοὶ αἴτιοι ἐκείνων εἰσίν. οὐ συμφωνούσης δὲ τῆς ἀνθρωπίνης σοφίας περὶ τούτων τῶν ὑπὸ τὴν ἡμετέραν σύνεσιν πίπτειν δοκούντων, καὶ ἄλλοτε μὲν οὕτως ἄλλοτε δ' ἑτέρως δογματιζούσης, χολῇ γ' ἂν διακρίνειεν ἐκείνη καὶ κατανοῆσαι τὸ βούλημα τοῦ θεοῦ καὶ τὴν πρόθεσιν καὶ τὸν νοῦν ἐν τοῖς μυστικοῖς καὶ ἀποῤῥήτοις καὶ ἀκαταλήπτοις πάσῃ φρονήσει καὶ γνώσει ἀνθρωπίνῃ, μὴ προδηγηθείσῃ γε μή τε φωτισθείσῃ ῥήματι θεοῦ. περὶ τοίνυν ἀρετῆς θείας καὶ ἐναντίας αὐτῇ κακίας ἄλλος ἂν εἴη ζητήσεως τρόπος. οὐ γὰρ ἀνθρωπίνῳ λογισμῷ ἐμπιστευτέον ~~ἐμπιλοχωρητέον~~ τοῖς περὶ τούτων διανοουμένοις, ἀλλ' ἀθρητέα καὶ περιβλεπτέα ἡ τοῦ θείου ῥήματος διασάφησις, μόνη οὖσα αὐτὴ ἐμφανιστικὴ τῆς ἀληθείας. τοῦτο δὲ τὸ ῥῆμα ἀπ' ἀρχῆς τε προηνέχθη, καὶ ἐν κόσμῳ ἀπαύστως ἐφημίσθη καὶ ἐφώνησε, καὶ τέλος ὑπ'

αὐτοῦ

αὐτοῦ τοῦ θεοῦ υἱοῦ, ὑφισαμένου ἀϊδίου λόγου
καὶ καιροῖς ἰδίοις ἐνσαρκωθέντος, εὐαγγε-
λίσθη, καὶ ἔγγραφος ἐκείνου διαστολὴ καὶ ξυν-
θεσις ἐδημοσιεύθη, λοιπόν ἐστι τῶν μὴ συνι-
όντα μήτε ποιοῦντα τὸ τοῦ θεοῦ θέλημα, ὥστε
εἶτε καὶ ἄνομον καὶ ἄπιστον δοκεῖν τε καὶ εἶναι,
καὶ ὀργὴν θεοῦ μένειν ἐπὶ τοῦτον. φανερὸν
ἄρα ὅτι τῶν μὴ σωζομένων ἕκαστος αὐτῷ αἴ-
τιός ἐστι τῆς ἰδίας ἀπωλείας προωσθεὶς μὲν
γε καὶ καταδυναστευθεὶς ὑπὸ τοῦ διαβό-
λου, πρὸς τοῦ βασκάνου ὄντος καὶ ἁμαρτανι-
όντος ἀπ' ἀρχῆς, εἰσῆλθεν εἰς τὸν κόσμον ἡ
ἁμαρτία. καὶ ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ
διαβόλου ἐστί. καθάπερ φησὶν ὁ ἅγιος ἰω-
άννης. ὥστε τὴν ἀνομίαν ἤγουν ἁμαρτίαν
γίγνεσθαι ἐπισπεύδοντος μὲν καὶ προτρεπο-
μένου καὶ ἐποτρύνοντος καὶ παρορμῶντος τοῦ
διαβόλου, τῆς δὲ ἀνθρωπίνης γνώμης ἐξαπα-
τωμένης καὶ ὑπακουούσης καὶ προαιρουμέ-
νης τὰ χείρω, καὶ προνώπως ὑπαρχούσης εἰς
τὸ παρανομῆσαι, ἀνατρεπομένης τε ῥᾳδίως,
καὶ ἁλισκομένης ἀνὰ κράτος. γίγνεται
γὰρ ἐν τούτοις πάνυ τι ταῖς πολιορκίαις
ὅμοιον. ὥσπερ τοίνυν ἐκεῖ οὐκ ἐπὶ τὰ ἀσφα-
λῆ καὶ δυσάλωτα τοῦ περιβόλου, οἱ πολιορ-
κοῦντες

κοινοῦ τοῦ προσίασιν, ἀλλ' ὅπου ἡγοῦνται τὸ τεῖχος ὑπόσαθρον εἶναι, ἢ τὰς τάφρους ὁμαλωτέρας ἢ ἀφυλάκτους τοὺς πύργους, ἐνταῦθα πάσῃ τῇ δυνάμει χωροῦσι, καὶ παρεισδύντες αἱροῦσι τὴν πόλιν. οὕτω καὶ ὁ διάβολος, ἐνεδρεύων ἀεὶ τοῖς ἀνθρώποις ὅτι ποτ' αἴσθοιτ' ἂν μαλακὸν καὶ ἐνδόσιμον καὶ εὐχείρωτον τῆς ψυχῆς τούτῳ προσβάλλει, καὶ ἐπ' ἐκεῖνο πάσας τὰς μηχανὰς προσάγει, καὶ μηδενὸς ἀμυνομένου μηδὲ προθύμως ἀντιστάντος, ἐσθ' ὅτε καὶ παντάπασι λαβὼν τὰ ἐντὸς ἀμελοῦντα φρουρᾶς καὶ ἐν ὀλιγωρίᾳ γενόμενα, ἐκπολιορκεῖ τὴν ψυχήν. ἅπαξ δὲ διὰ χαλώσης φύσεως πυλῶν ἢ τινῶν ἐπιβαθρῶν εἰσβὰς, τὸ λοιπὸν ἤδη πορθῶν καὶ πυρπολῶν καὶ σφάττων καὶ ἐξανδραποδίζων τὴν δύστηνον οὐ παύεται. μηχανήματα δ' αὐτοῦ εἰσὶν αἵ τε ἀπὸ τῆς ἀληθείας ἀπαγωγαὶ, καὶ ἐπὶ τὸ ψεῦδος ἐπαγωγαί. καὶ τῶν αἰσχρῶν καὶ βλαβερῶν ἐπιθυμιῶν ἔκκαυσις. οὐκ ἀντιτασσομένης γὰρ ἐκείνης ἀνδρείως πρὸς ἀπάτας καὶ ῥᾳδιουργήματα τῆς ψευδολογίας ἁλίσκεταί τε ταχὺ καὶ οὕτως εἰς τὸ κάταντες τῶν μάλιστα ἐν τῇ φύσει, οἱονεὶ πηγῶν ῥεουσῶν

ἐπιθυ-

ἐπιθυμιῶν προωθεῖται, καὶ πράττεται τοιαυ-
τικὰ ἔργα ἀνόσια, καὶ ἀσελγῆ καὶ ἀναίσχυν-
τα, καὶ οἷα περ ἄλλ' ἂν εἰκὸς ἐν τυραννευο-
μένῃ ὑπὸ τοῦ διαβόλου ψυχῇ καὶ ἐν ἐργα-
στηρίῳ πάσης πονηρείας γίγνεσθαι. οὕτως ἑά-
λω ἐν τῷ φυτουργῷ τοῦ ἀνθρωπίνου γέ-
νους πατρὶ ἡ φύσις ὅλη καὶ τῷ ἄρχοντι τῆς
ἀδικίας ἐν τῷ κόσμῳ δουλεύει αἰχμάλω-
τος γενομένη διὰ τῆς ἁμαρτίας. καὶ χωρὶς
τοῦ ἐλευθεροῦντος καὶ λυτροῦντος, κακῶν
καὶ ὀλέθρου οὐ μήποτ' ἀπαλλαγῇ. ἡ δὲ ἐλευ-
θέρωσις καὶ λύσις, τῆς ἀληθείας ἐστὶ, διὰ λό-
γου τοῦ θεοῦ. οὕτω γάρ φησιν αὐτὸς ὁ λόγος
υἱὸς θεοῦ, ἰωαν. η. ἐὰν ὑμεῖς μείνητε ἐν τῷ
λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστὲ, καὶ
γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευ-
θερώσει ὑμᾶς. κατέχει δὲ ὁ διάβολος ἰσχυ-
ρὸς ὢν καὶ καθωπλισμένος φυλάξας τὴν
ἰδίαν αὐλὴν, τὸ πλεῖστον μέρος τοῦ κόσμου,
οὗ καὶ ἄρχοντα ὀνομαζόμενον ἴσμεν, καὶ ἐν
εἰρήνῃ ἐστὶν τὰ ὑπάρχοντα αὐτοῦ, ἕως ἂν νι-
κηθεὶς συληθῇ ὑπὸ ἰσχυροτέρου. ἡ μέντοι
πληθὺς ἐν τῷ κόσμῳ τῶν ἀνθρώπων τὴν
ἐκείνου εἰρήνην ἀγαπῶσα εὐμενῶς φέρει τυ-
ραννευομένη ὑπὸ τοῦ διαβόλου. καὶ τὴν

ἐκείνην συνθηνίαν τε καὶ συμμετρίαν περὶ πολλοῦ ποιοῦσα, ἑκουσίως αὐτῷ ὑποτάσσεται. διὰ τοῦτο γέγραπται. ἐπιστολῇ ἰωαν. β΄. ἐάν τις ἀγαπᾷ τὸν κόσμον οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ. καὶ ὁ χριστὸς φησὶν, ὅτι δίδωσι ταῖς μαθηταῖς τὴν ἑαυτοῦ εἰρήνην, οὐ καθὼς κόσμος δίδωσι. καὶ λέγεται δὴ περὶ τούτου, καὶ τόδε τί. ἀνήρ τις πιστὸς τῶν εἰς τὴν ἔρημον ἀνακεχωρηκότων ἐκ τοῦ πολιτικοῦ καὶ ξύγκλυδος ὄχλου πρὸς ἄσκησιν τῆς εὐσεβοῦς ἀρετῆς, πορευόμενός ποτε ἐπὶ γείτνιῶσαν τὸν αὐτοῦ μάνδρας πόλιν, ὁποίας οὖν ἄρα χρείας ἕνεκα, καὶ ἴσως φορμίσκον τινὰ ἢ κόφινον πλεξάμενος ἀπέφερεν, ἵνα πωλήσας ὠνήσηται ἀρτίδιον. οὗτος ἄρα κατὰ τὴν ὁδὸν διερχόμενος τὰς ἀσκητικὰς μονὰς, ἑώρα πανταχόθεν ὥσπερ σμήνη τινὰ τῶν διαβόλων περιπετόμενα, βομβούντων τε καὶ τριζόντων ἀμφὶ τοὺς ἐκεῖ ἐνδιαιτῶντας. ὡς δὲ ἤγγισε τῇ πόλει, κατειδώλῳ τε καὶ κακονομωτάτῃ καὶ πάσης ῥαδιουργίας μεστῇ οὔσῃ, ἄρας τοὺς ὀφθαλμοὺς κατεῖδεν ἕν μόνον τῶν ἀκαθάρτων πνευμάτων ἐπὶ πύργου ὑψηλοῦ οἷον ἐν περιωπῇ καθήμενον. θαυμάσας δὲ καὶ διαπορῶν

ἐν ἑαυτῷ τίποτ' ἂν εἴη τούτου, ἐνεδυναμώθη τῇ πίστει, καὶ ἐξορκίζας ἐν ὀνόματι χριστοῦ τὸν διάβολον ἐκέλευσεν εἰπεῖν, πῶς ὡδὶ τῇ τῶν ἀσεβῶν πόλει αὐτὸς ἐφεδρεύσειε μόνος, τοσούτων τὸ πλῆθος ἐν ἀσχολίᾳ κατὰ τὴν ἔρημον γινομένων; ὁ δὲ προσενεχθείσης αὐτῷ τοιᾶσδε ἀνάγκης, εἶπεν. ὡς οὐδαμῶς δέοι πλειόνων αὐτόθι, ἀλλ' ἅλις ἔχοι προσκαθῆσθαι ἕνα τινὰ φυλάσσοντα καὶ ἐπισκοποῦντα μόνον τὴν τῆς πόλεως κατάστασιν, μή τι νεωτεροποιηθῇ πως ὑπὸ τῶν ἐνοικούντων. πάλαι γὰρ ἤδη καταλῆφθαι καὶ ἐν εἰρήνῃ βαθείᾳ κατέχεσθαι τὴν πόλιν ὑπ' αὐτῶν. τὰ δ' ἐν ἐρήμῳ σπουδῆς τε καὶ παρασκευῆς καὶ ἔργου πολλοῦ δεῖσθαι. καὶ διὰ τοῦτο ἐκεῖ ὡς ἐπὶ πολέμῳ τηλικαύτην δύναμιν ἐκστρατεύεσθαι. γρηγορῆσαι τοίνυν χρὴ τοὺς σωθησομένους καὶ νηφαλίους εἶναι, καὶ προσέχειν τῷ θείῳ λόγῳ. ὁ γὰρ ἀντίδικος ἡμῶν, φησὶν ὁ ἅγιος πέτρος, ὁ διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τινα καταπίῃ. ἐπεὶ δὲ καταπεπωκὼς ὅλον ἤδη τὸ τῶν ἀνθρώπων γένος ἐκεῖνος, καὶ πεποιηκὼς ὑφ' αὐτῷ τὸν κόσμον ἐφάνη, ὥστε καὶ κοσμοκράτορα καὶ θεὸν τοῦ αἰῶ-

νος τούτου καὶ ἄλλα τοιουτότροπα προσαγορεύεσθαι ὑπὸ τῶν λογίων. δῆλον ἂν εἴη, ὅτι τοὺς διαιρεθέντας μόνους ἐκ τῆς φάρυγγος, καὶ ἀναδοθέντας θεία τινὶ εὐεργεσία ἐκ τοῦ γαστέρος αὐτοῦ, καθάπερ ἰωνᾶν τοῦ κήτους, τὸ δεύτερον ὁ ἐχθρὸς περιστοιχίζει θηρῶν καὶ ἐγχανὼν, διὰ τὸ ὀξύπτερος εἶναι εἰς ἀπώλειαν ἀπαξαπάντων. τῶν δ' ἄλλων ὡς ὑπεξουσίων καὶ καταδυναστευομένων ὑπ' αὐτοῦ κύριος ὤν, οὐκ ἂν φείσαιτ' οὐδ' ἀκαρὲς ὅσον, ὥστε μὴ διολεθρεῦσαι σύμπαντας, εἰ μὴ τὸ τοῦ πανοικτίρμονος ἔλεος θεοῦ σώζοι καὶ τούτους, τοῦ ἀεί τε μακροθυμοῦντος εἰς τοὺς ἁμαρτωλοὺς καὶ μὴ βουλομένου τινὰς ἀπολέσθαι ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι. ἕκαστος ἄρα τὴν αὐτοῦ σωτηρίαν, ἕως καιρός ἐστι, κατεργαζέσθω, ὁ μὲν φυλαττόμενος μήπως ἐκπεσεῖται τῆς χάριτος καὶ ἀγάπης τοῦ θεοῦ, ὁ δὲ ἀναβραπεὶς ἢ τῶν θείων δικαιωμάτων ἀλλότριος ἔτι ὤν, ὥσπερ ἐν κοιλία τοῦ ᾅδου βοάτω πρὸς τὸν κύριον, καὶ αἰτείτω ἀναβῆσαι ἐκ φθορᾶς τὴν ζωὴν αὐτοῦ, καὶ μὴ ἀναβαλλέσθω μὴ δὲ βραδυνέτω, μὴ δὲ τοῦ πλούτου τῆς τοῦ θεοῦ χρηστότητος καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας

θυμίας καταφρονείτω. εἴπως δῷ αὐτῷ ὁ
θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ
ἀνανήψῃ, ὥς φησιν ὁ ἀπόστολος, ἐκ τῆς τοῦ
διαβόλου παγίδος, ἐζωγρημένος ὑπ' αὐ-
τοῦ, εἰς τὸ ἐκείνου θέλημα. πᾶς δέ τις αἰσθό-
μενος προσβολῆς πάθους ἀθέου, καὶ κακῆς
ἐπιθυμίας, καὶ προαιρέσεως ἀνόμου, ἴστω
τὸν ἐχθρὸν τότ' ἐπέρχεσθαι αὐτῷ, καὶ ἐπι-
σπεύδειν εἰς τὴν πρὸς ὄλεθρον, ἵνα φθάσῃ
τις ἐν ἁμαρτίᾳ διαχειρίσας ἑαυτόν, καὶ μὴ
ἐν φόβῳ κυρίου ἐργαζόμενος τὴν δικαιο-
σύνην ζήσειεν. ὥσπερ γὰρ ἐὰν ἴδῃς τὰς
τῶν δένδρων φόβας σειομένας καὶ τὰ φύλ-
λα κινούμενα, κατενόησας εὐθὺς ὅτι ἐμπνεῖ
τούτοις ἄνεμος, καίτοι ἀόρατος πόθεν προσ
πεσών, οὕτω καὶ ἐπὶ ταῖς ψυχικαῖς ἐκείναις
καταφοραῖς καὶ πτοίαις, οὐκ ἀγνοητέον, ἐμ-
φύσησίν τινα καὶ ἐφορμὴν προηγεῖσθαι τοῦ
διαβόλου ἐπισπέρχοντος τοὺς ἀθλίους τῶν
ἀνθρώπων, εὐπειθεῖς μὲν τῷ ψεύδει, ἀπει-
θεῖς δὲ τῇ ἀληθείᾳ, πρὸς θάνατον αἰώνιον
καὶ τὴν γέενναν. ταύτην δὴ τὴν κατήχη-
σιν, ὦ φίλτατα παιδία, δέξασθε νῦν εὐ-
χαριστοῦντες θεῷ τῷ εὐδοκήσαντι ὑμᾶς
ἀξιωθῆναι δαψιλοῦς οὕτως ἑστιάσεως τῶν

λόγων τῆς ἀληθείας, οἵας οὐκ οἶδ' ἡ πλεί-
σταις ἔμπροσθε γενεαῖς οὐκ ἐκύρησε τὰ ἀνθρώ-
πινα, τὸ μέντοι ἡμέτερον ἔθνος οὐδέποτ'
ἐπέτυχε. καὶ τὰ μὲν ἀφανέστερά πως ἡ-
μῖν, καὶ πεπανουργευμένως ὑπό τινων καὶ
ποικίλως κατασκευαζόμενα, ἤτοι φαινο-
μέναις ἀποδείξεσι γραφικαῖς, ἢ λογικῇ δει-
νότητι καταχρωμένων, ἐῶμεν, οὐδὲν γὰρ
δέον ἡμᾶς διερευνᾶν τὸ βάθος πλούτου
καὶ σοφίας καὶ γνώσεως θεοῦ, ὅτι ἀνεξερεύ-
νητα τὰ κρίματα, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ
αὐτοῦ. τῶν δὲ ἀποκεκαλυμμένων καὶ πε-
φανερωμένων ἀντιλαβώμεθα καὶ ἐχώμε-
θα, καὶ μὴ παπταίνοντες πόῤῥωτι, τὰ ἐν
ποσὶ καὶ ἔγγυς ὄντα ἀφροντίστως παρερχό-
μεθα. θαυμαστὸν γὰρ ὡς εὖ καὶ νουνεχόν-
τως εἴρηται καὶ τοῦτο ὑπὸ τοῦ Σολομῶντος,
ἐσθίειν μέλι πολὺ οὐ καλόν. καὶ ὅτι τῆς με-
γαλειότητος ἰχνευτὴς ὑπὸ δόξης κατα-
πληχθήσεται. ὑπέθηκε καὶ ἕτερός τις πάνυ
ὠφελίμως καὶ τόδε, χαλεπώτερά σου μὴ
ζήτει, καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε. ἃ προ-
σετάγη σοι ταῦτα διανοοῦ. τοῦτο γοῦν προ-
σετάγη πᾶσιν ἡμῖν, ἀκοῦσαι τὸν λόγον τοῦ
θεοῦ καὶ τηρῆσαι αὐτόν, καὶ ποιῆσαι τὸ θέ-

λημα

λημα αὐτοῦ. ἐπεὶ δὲ πλουσίως καὶ ἀφθόνως δίδοται νυνὶ ἡμῖν ἡ γνῶσις, ἐνθυμητέον καὶ τοῦτο ὅτι καὶ πολὺ ζητηθήσεται παρ' ἡμῶν, καὶ ὅτι ὁ θεὸς ὃς παρέθετο πολὺ, καὶ περισσότερον αἰτήσει ἡμᾶς. ὁ δὲ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ ἑτοιμάσας μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς.

Αναλαβόντες οὖν τὰ εἰρημένα, λέγομεν ὅτι αὕτη δὴ, ὡς ἁπλῶς εἰπεῖν, χάρις ὀφείλεται τῷ νόμῳ, τῆς γνωρίσεως τῶν ἁμαρτημάτων. τὰ γὰρ ἀπηγορευμένα ὑπ' αὐτοῦ ὅταν πράξῃ, ἢ τῶν ἐπιτεταγμένων ἀμελήσῃ τις, ὡς ἄδικος καὶ τιμωρίας ἄξιος πᾶς τις καταγινώσκεται, εἰ καὶ μηδενὸς ἄλλου ἀποφαινομένου, ἀλλ' αὐτός γε πρὸς αὐτοῦ. δῆλον δὲ ὅτι ἐν ἅπασι τούτοις φυσικῇ τινι ἐννοίᾳ καὶ ἐνθυμηθέντες μόνον μοχθηρόν τι οὐκ βουλοκοῦμεθα. ἀλλ' εἴκαι τῇ κακίᾳ νικηθέντες ποιήσωμεν τι αἰσχρὸν ἢ μόνον βουλευσώμεθ' αὖ περὶ αὐτοῦ, τότε λογιζόμενοι ἐνθὺ λυπούμεθα, ἄλλος μέν τοι ἄλλου βαρύτερον. ἐμφαινομένου δ' ἐν τούτοις τοῦ θεοῦ αὐτοῦ τοῦ νομοθετήσαντος καὶ διατάξαντος αὐτὰ, ἀμυθήτῳ τινὶ ὀδύνῃ καὶ συγ-

χύσει ταραττόμεθα. ἔσθ᾽ ὅτε καὶ παντελῶς ἀπονοίαις καὶ ἀπογνώσεσι τοῦ σώζεσθαι, καὶ φόβοις τῆς ἀπωλείας ὅσον οὐκ ἐναποθνήσκοντων, ἐν συνειδήσει τοσούτων τὸ πλῆθος καὶ τηλικούτων τὸ μέγεθος ἁμαρτημάτων, ἀγωνιώντων τε καὶ προσδοκώντων ἀνθ᾽ ὧν ἐρέξαμεν ἀεί τι πείσεσθαι δεινόν. οὐ μόνον δὲ τὰ μὴ καλῶς πραχθέντα φοβεῖ καὶ ἀνιᾷ τὴν ψυχὴν, ἀλλὰ καὶ τὰ ὑστερήματα καὶ αἱ ἀμέλειαι δι᾽ ὄχλου εἰσί. ἔτι δὲ καὶ τόδε διανοηθέντας, ὅτι ὁ νόμος θεῖος ἐστὶ καὶ πνευματικὸς καὶ ἅγιος, διότι καὶ τὰ ὅμοια παρ᾽ ἡμῶν ἀπαιτεῖ, καὶ οὐκ ἀρκούντως ἔχει, οὐδ᾽ ἱκανόν ἐστι τοῦθ᾽ ὅπερ φήσειεν ἄν τις ἑκάστοτε δυνατὸν εἶναι αὐτῷ, τρόμος τε καὶ ἀδημονία καταλαμβάνει δεινὴ καὶ θανατώδης ἐνίοτε, πρὸ ὀμμάτων γενομένης τό τε τῆς δικαιοκρισίας τοῦ θεοῦ. ὃς οὐχ ἧττον βούλεται τὰ ὑπ᾽ αὐτοῦ προηγορευμένα καὶ παρηγγελμένα ἐκπονηθῆναι, εἴπερ καὶ φαίη τις οὐ παρεῖναι τοιαύτην δύναμιν, ὥστε ἀποτελεσθῆναι κατὰ γνώμην αὐτοῦ ἅπαντα. οὐδ᾽ ἐκεῖνος τὸ τῶν πράξεων ἐπιπόλαιον ἀγαπᾷ, ἀλλ᾽ οὕτως ἐθέλει πραχθῆναι ὅπως ἐπέταξεν αὐτὸς, καὶ μὴ ὡς ἂν ἕ-

κακὸς ἰδιογνωμονήσας οἷος. καὶ ἡ προ-
φασιζομένη ἀδυναμία, οἷα περ ξύμφυτος
κακία τις καὶ νόσος οὐχ ἥκιστα ὑπόδικός
ἐστι τῷ θεῷ καὶ ταῖς μεγίσταις τιμωρίαις
ἔνοχος. ταῦτα μὲν οὖν ὅσοι σκοποῦντες φρον-
τίζοντες, ἐκείνων τὰς φρένας δεινὴ ταρα-
χὴ καταλαβεῖν εἴωθε. καὶ τὰ λαμπρῶς καὶ
ἐνδόξως φιλοσοφούμενα περὶ τῶν φυσικῶν
διοικήσεων καὶ τελείας ἀρετῆς, καὶ λύσε-
ων καὶ καθαρμῶν, καὶ τῆς πρὸς τὸν θεὸν ξυγ-
γενείας, καὶ ὅτι ὁρμή τις οἰκεία ἐστὶ τῆς ψυ-
χῆς ἥπερ ἑπομένη δυνατή ἐστιν ἐκ τοῦ σά-
λου ἐν ᾧ νῦν ἐστιν ἐκκομισθεῖσα, πάσης ἀ-
μορφίας τε καὶ κάκης, κατὰ τὸν πλάτω-
να, ἐλευθερωθῆναι, πιστεύουσα μηδενὶ ἄλ-
λῳ, ἀλλ' ἢ αὐτὴ αὑτῇ, ὅτι ἂν νοήσῃ αὐτὴ
καθ' αὑτὴν αὐτὸ καθ' αὑτό. ταῦτ' ἄρα
τότε καὶ τούτοις ὅμοια, κομψῶς καὶ ἐμμε-
λῶς καὶ κεκαλλωπισμένως ἐκφρασθέντα
παντελῶς οἴχεται ὑπὸ θείας κρίσεως προ-
φανείσης διαπτοηθέντα, ὀρνίθων δίκην γυ-
πός ποθεν ἐφιπταμένου αἰσθομένων. τίς
γὰρ ἂν οὐ διαρραγεὶς κατὰ γῆς δῦναι εὔ-
ξαιτ' ἂν ὑπὸ δείματος, ἀκούων, ὅτι ἐπλα-
νήθημεν καὶ ἐγενήθημεν ὡς ἀκάθαρτοι ἡμεῖς,

ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιο-
σύνη ἡμῶν, φήσαντος Ἡσαΐου. καὶ ὅτι μό-
νος ἀγαθὸς καὶ ἀληθὴς ὁ θεός, πᾶς δὲ ἄν-
θρωπος ψεύστης. καὶ τἆλλα τοιαῦτα. ὅταν
δὲ λέγῃ, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δού-
λου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου
πᾶς ζῶν, τίς ἤδη στήσεται καὶ ἀνθέξει τοῖς
ἐγκλήμασι στηριζόμενος τῇ ἰδίᾳ δικαιο-
σύνῃ καὶ ἀρετῇ; τίς δὲ οὐκ ἀνακοπήσεται
ταύτῃ τῇ ἀπαγορεύσει; ὅτ' ἂν ποιήσητε
πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε ὅτι
δοῦλοι ἀχρεῖοι ἐσμέν, ὅτι ὃ ὀφείλομεν ποιῆ-
σαι πεποιήκαμεν. καὶ ταῖς προφητικαῖς ἐξ-
ουδενώσεσιν, ὅτι οὐκ ἔστι δίκαιος οὐδὲ εἷς,
οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν
θεόν. πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθη-
σαν, οὐκ ἔστι ποιῶν χρηστότητα. καὶ τὰ λοιπά.
τίς ποιεῖ πάντα τὰ ὀφειλόμενα πάντων
ἀνθρώπων; ἀλλὰ μὴν ποιεῖν τις δοκείτω
ὑπηρετῶν ὡς χρή, τί τοῦτο μέγα; μένοντος
αὐτοῦ δούλου ἀχρείου. πῶς δ' οὐκ ἂν ναυτι-
ώη πρὸς τοιαύτην δικαιοσύνην ὁ θεὸς οἵ-
αν ὁ προφήτης φησὶν εἶναι τὴν ἀνθρωπί-
νην; πάντων δὲ ἀχρειωθέντων, δῆλον ὅτι
οὐδεὶς ἐν ἀξίᾳ τινὶ ἔσται παρὰ τῷ θεῷ. τού-

του

του δὲ πέρι καὶ μῦθός τις τῶν ἐπιχωρίων οὐκ ἔξω πάνυ τι δηλῶν τὸ ἀμφὶ τὴν τῆς σωτηρίας περὶ δὴ συμβαῖνον, ὅδε. λέγεται γὰρ ὅτι τῶν ἐκκλησιαστικῶν διδασκάλων καὶ ποιμένων τοῦ λαοῦ ἀνήρ τις ἁπλοῦς μὲν πιστὸς δὲ τῆς εὐσεβοῦς ἀληθείας κῆρυξ, οὕτω ποτὲ δημηγορῶν εἶπεν, ἐνδεικνὺς τὸ ἀσθενὲς καὶ φαυλουργὸν καὶ ἀδύνατον τῆς ἡμετέρας φύσεως πρὸς σωτηρίαν. ἔφη τοίνυν ὅτι τὸ σώζεσθαι τοιοῦτό τι λέγων τις εἶναι, οὐκ ἂν ἁμάρτοι, οἷον εἰ πρὸς ὄρος ὑψηλὸν καὶ οὐρανόμηκες προσκαθήμενος ἀνήρ τις ἀνάπηρος εἴη, καὶ ἐξηρθρωμένος, καὶ ἀνάγκη μὲν ἐπικέοιτο τοῦ ὑπερβαλέσθαι πορευόμενον τὸ ὄρος, παρείη δὲ δύναμις τοῦ προχωρῆσαί ποι οὐδεμία, οἷον ἀναῤῥιχώμενον αὐτὸν, μὴ ὅτι γε καὶ ἄνω προερχόμενον ὑπερβῆναι τὴν τοῦ ὄρους κορυφήν. αὐτὸς δὲ ἀπορήσας καὶ ἐν ἀπογνώσει γενόμενος, τὴν αὐτοῦ κατὰ χώραν μεῖναι διανοοῖτο, προσφέροι τ' αὖθις αὖ ἀνάγκη ἐπεὶ εἴη τῶν ἀμεταθέτων τὸ περᾶν τὸ ὄρος. οὕτως, ἔφη, καὶ πᾶσιν ἡμῖν πρὸς τὸ σώζεσθαι πρόκειται ἡ τῶν ἐντολῶν θεοῦ τήρησις, καὶ ὅτι οὐ δυνάμεθα κατὰ τὸ θέλημα αὐτοῦ τὰ ἐντεταλμένα ἀπεργάζεσθαι

θαι αἰσθανόμεθα καὶ ἴσμεν, καὶ ποιητέα ὅμως ἐκεῖνα πάντα καὶ ἐκπονητέα ἐστί.

Περὶ τοῦ τῆς σωτηρίας ῥήματος, ὅ ἐστιν εὐαγγέλιον.

Ποῖ ἄρα τελευτῶντες ἥξομεν ἢ πῶς σωθησόμεθα; ἢ ἀπολούμεθα πάντες ὁμοῦ; οὐδαμῶς ἀπολούμεθα μὲν πάντες, σωθησόμεθα δὲ μᾶλλον, πειθόμενοι τῷ ῥήματι θεοῦ καὶ ἀκροώμενοι τοῦ λόγου. τὰ γὰρ λόγια πάντοτε σωτῆρα τὸν θεὸν ὀνομάζει, πάντων μέν πως ἐκεῖνον, ἁπλῶς δὲ τῶν πιστῶν. καὶ γέγραπται διαῤῥήδην, ὅς ἐὰν ἐπικαλέσηται τὸ ὄνομα τοῦ κυρίου, σωθήσεται. περὶ τούτου νῦν ἄρα καιρὸς εἰπεῖν. πάντα γὰρ τά τε προειρημένα καὶ ἄλλοθί που λεχθέντα, μηδὲν ὠφελεῖ παντάπασιν, οὐ προστεθειμένων τῶνδε. ὥσπερ ἂν τις περὶ πόλεως εὐδαίμονος ἢ χωρίου παμφόρου πολλὰ διαλεχθείς τινι, μήτε τὴν ἀλήθειαν ὅπου κεῖται, μήτε τὴν ὁδόν, ᾗ προσέλθῃ, μήτε περὶ τῆς ἐνοικήσεως ἢ κτήσεως ἐνδείξῃ τι, καταλείπῃ δὲ μᾶλλον τό, τε ἀπρόσιτον καὶ ἀνέφικτον, καὶ ἄλλας δυσχερείας πλείστας. ποιήσει γὰρ οὗτος ἄλλο μὲν οὐδέν, πλανῶν

δ' ἐ-

δι' ἐκεῖνον ἢ παίζοι ἔχων, ἢ καὶ ἐσχάτης λύπης καὶ ἀπογνώσεως ἐμπλῆσαι ἄν. ἐπιστημηνάμενοι οὖν ἐν τοῖς προλεχθεῖσι τὴν βοήθειαν, καὶ περὶ τελειώσεως τοῦ νόμου σκοπεῖν ἐπιχειρήσαντες, ἐκεῖσε νῦν ἐπανίωμεν, καὶ λέγωμεν οὐδὲν ὑποστελλόμενοι, ὅτι κατὰ τὴν ἰδίαν δύναμιν οὐδεὶς ἀνθρώπων ἐκτελέσαι ἂν τὰς θείας ἐντολάς. καὶ διὰ τοῦτο ὁ χριστὸς ἀποφαίνεται ὅτι τὸ σώζεσθαι παρ' ἀνθρώποις ἀδύνατον. τοιγάρτοι λέπεται ὁ τῆς ἀληθείας σωτήριος λόγος καὶ ἡ θεία χάρις περιέπουσα τε ἡμᾶς, καὶ τὸν τῇ ἵλεω ἤδη γεγονότα θεὸν προσάγουσα. καὶ αὕτη ἐστὶν ἡ δευτέρα διδασκαλία καὶ καινὴ διαθήκη καὶ ἐντολὴ ἑτέρα, ὑφ' ἧς ἀπαρχῆς τὸ γένος ἡμῶν ἐκ θανάτου ἐρρύσατο ὁ λόγος τοῦ θεοῦ. καὶ αὐτὸ τοῦτο εὐαγγέλιόν ἐστι βασιλείας τοῦ θεοῦ, ἧς διὰ τὸν λόγον μέτοχοι καὶ κληρονόμοι γίγνονται πάντες οἱ παραλαμβάνοντες τὸν λόγον, υἱοὶ θεοῦ ποιούμενοι ἐν τούτῳ, ὥσπερ ὁ ἰωάννης φησιν. ὅσοι ἔλαβον αὐτὸν ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. ὁ δὲ λόγος ἐστὶν ἀΐδιος, θεὸς ἄρα καὶ αὐτός. οὗτος οὖν ὁ θεοῦ υἱός ἐστιν ὁ ὑπὲρ

ἀνθρω-

ἀνθρωπίνου γένους ἱκέτης καὶ ἐντευκτὴς καὶ παραιτητὴς γεγονὼς ἀεὶ, ὃς καὶ ἐξιλάσατο τὴν ὀργὴν τοῦ πατρὸς, καὶ αὐτῷ τοὺς ἀθλίους ἀποκατήλλαξεν, ἁγιασμὸν καὶ ἱερεῖον καὶ θυσίαν αὐτὸς αὑτὸν προσφέρων καὶ παραδιδοὺς ὑπὲρ ἀνθρώπων. οὗτος ὁ λόγος τοῦ θεοῦ ὢν ἀεὶ, τὴν περὶ τοῦ θεοῦ ἀλήθειαν ἐφανέρωσε τῷ κόσμῳ, καὶ ἐν σκοτίᾳ φῶς ἀναλάμψας τὴν ζωὴν κατέδειξε. τούτου ὑπαγορεύσεις εἰσὶν αἱ διὰ ἁγίου πνεύματος ἐκφωνηθεῖσαι διδασκαλίαι τῶν πατέρων καὶ βασιλέων καὶ ἱερέων καὶ προφητῶν. οὗτός ἐστιν ὁ τὸν ἀδὰμ κατενεχθέντα διὰ ἁμαρτίαν εἰς θάνατον ἐξήρπασεν ἐξ ᾅδου, ἐπαγγελλόμενος αὐτοῦ ἐνανθρωπήσαντος νίκην κατὰ τοῦ τότε κεκρατηκότος ὄφεως. οὗτός ἐστιν ὁ τὸν δίκαιον νῶε ἐν τῇ κιβωτῷ φυλάξας. οὗτος ὁ φανεὶς τῷ ἀβραὰμ καὶ περὶ τοῦ εὐλογητοῦ σπέρματος ὃ ἔμελλεν ὑπάρξειν αὐτὸς προειρηκώς. οὗτος ὁ τὸν λὼτ ἐκ τοῦ τῶν σοδομῶν ἀφανισμοῦ ῥυσάμενος. οὗτος ὁ διαλεχθεὶς τῷ μωϋσεῖ ἐν τῷ ἐξάγειν κελεῦσαι τοὺς ἰσραηλίτας ἐξ αἰγύπτου. καὶ ἵνα μὴ πάντα ἑξῆς ἀπαριθμεῖσθαι ἐπιχειρῶμεν, οὗτός ἐστιν ὁ μόνος ἑρμηνεὺς τῆς σοφίας, καὶ ἡγε-

μῶν τῆς δυνάμεως τοῦ θεοῦ περὶ ἀνθρώποις
ἀεὶ γινόμενος. οὗτος ἐδίδαξε τὴν ἀλήθει=
αν περί τε τῆς οὐσίας καὶ βουλήσεως τοῦ θεοῦ
τοῖς ἀνθρώποις, ἐπαγγειλάμενος τὴν αὐτοῦ
καιροῖς ἰδίοις ἔνσαρκον παρουσίαν τε καὶ οἰ=
κονομίαν ἐπὶ τῆς γῆς. ἔστι δὲ ἡ διδαχὴ, ὅτι ὁ
θεὸς εἷς ὢν καὶ ἀδιάστατος καὶ ἀναλλοίωτος
καὶ ἄτρεπτος καὶ ἀΐδιος, τριαδικὴν ἔχει τὴν
ὑπόστασιν ἤγουν ἰδιότητας τρεῖς, ἢ τρία
πρόσωπα, τοῦ τε πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ
ἁγίου πνεύματος. περὶ οὗ ὕστερον που πλεῖ=
ον εἰρήσεται. ἡ δὲ βούλησις αὐτοῦ ἐστιν, ὥσπερ
ἐποίησε πάντα διὰ τὸν υἱὸν, οὕτω καὶ δι᾽
ἐκείνου μόνου ἀνακτήσασθαι τὰ ἀπολωλότα,
καὶ ἀνεγεῖραι τὸ πεπτωκὸς, καὶ ἀκέσασθαι τὸ
νοσοῦν, καὶ τὸ διαφθαρὲν ἀναπλάσαι. καὶ
τοῦτο τὸ ῥῆμά ἐστι πίστεως οὐ διώξεως ἔργων
καθ᾽ ὑπογραφὴν τοῦ νόμου. οὐδὲν γὰρ δια=
τάττει περὶ τῶν ἔργων ὅσα τις ἂν πράξας καὶ
ὅσων ἀπεχόμενος εὐδαιμονοίη καὶ μακά=
ριος γένοιτ᾽ ἂν, ἀλλὰ τοῦ θεοῦ ἐλέους μόνου
ἀντιλαβέσθαι κελεύει καὶ ἀκοῦσαι τοῦ λαλοῦν
τος κυρίου καὶ πιστεύειν ὅτι λόγος ἀΐδιος
υἱὸς θεοῦ θεὸς εἷς ἐστι καὶ μόνος σωτὴρ ἁπάν=
των ὅσοι τὴν διανεμομένην σωτηρίαν δέ=
χονται,

χονται, μὴ δ' ἀπωθοῦντες τὴν δωρεὰν τοῦ θεοῦ, πεποιθότες ἐπ' αὐτῷ. δεῖ δὲ καὶ αὐτὸν δηλαδὴ τὸν σωθησόμενον εὑρεθῆναι ἐν τούτῳ τῷ συλλόγῳ τῶν πιστῶν, καὶ μὴ ἀλλοτριοῦν ἑαυτὸν τῆς θείας χάριτος καὶ εὐεργεσίας τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ παρακλήσεως τοῦ ἁγίου πνεύματος, ἤτοι ἄπιστον ὅλως γεγονότα, ἢ καὶ ἐν ὀλιγοπιστίᾳ ἀδεῶς καὶ παρημελημένως διαμένοντα. καθάπερ δὲ ἡ νομικὴ καὶ παλαιὰ διαθήκη, φόβου καὶ ὀργῶν ἐχομένη, ἐπιτιμητική τε ἐστὶ, καὶ τιμωρητική, οὕτως ἡ νέα διαθήκη τῆς πίστεως καὶ ἀγάπης, παρακλητικὴ καὶ ἀπολυτικὴ ἐστίν. αὕτη ἀεὶ μὲν ἐγένετο καὶ ἔσται ἡ ἀληθὴς εὐσέβεια καὶ τιμὴ καὶ λατρεία τοῦ θεοῦ, ἄλλαι δὲ θρησκεῖαι ἅπασαι τοσούτου δέουσι τῆς ἀρεσκείας τῷ θεῷ, ὥστε οὐδ' ἐν παροργίσαι μᾶλλον αὐτὸν ἁπάντων ἢ ἐκείνας. οὐδεὶς δὲ οὔτε ἐγένετο πώποτε οὔτ' ἔσται κεχαρισμένος τῷ θεῷ μὴ κεκοινωνηκὼς ταύτης τῆς διαθήκης, καὶ ἐκτὸς τῆσδε μὴ οὐ σωθῇ μηδείς. ὅτι δὲ περὶ τοῦ τὸν λόγον ἐν σαρκωθῆναι καὶ αὐτοπροσώπως ὁμιλῆσαι τοῖς ἀνθρώποις, αὕτη ἡ διδαχὴ μυστικωτέρα πως ἦν, δῆλον, καὶ ἡμεῖς χρείαν ἐν τῷ παρόντι ἐξετά-

σαι τούτου οὐκ ἔχομεν· τὰ δὲ πρὸς τὴν ἡμετέραν σωτηρίαν τείνοντα μετὰ τὸ τὸν λόγον εἰς τὸν κόσμον πεμφθῆναι θεωρῶμεν καὶ μανθάνωμεν, διαχωρίζοντος ἀμήχανον ὅσον ταῦτα τὰ μαθήματα, τοῦ τε τῶν ἔργων νόμου καὶ τῆς πίστεως ἤγουν χάριτος, ὅπερ ἐστὶν εὐαγγέλιον σωτηρίας. οὐ γὰρ τούτων μεταξὺ ὄρεα μόνον καὶ θάλασσα πολλή, ὥς φασιν, ἀλλ' ἡλίκον ἀπὸ γῆς εἰς τὸν οὐρανὸν μῆκος, τηλίκον ἐν μέσῳ δυοῖν τοῖνδε κεφαλαίοιν τοῦ θείου λόγου τὸ διάστημα ἐστὶν οἰητέον. καὶ τὰς ἀρχὰς τό, τε τέλος διαφορώτατα ὄντα ἀκριβῶς κατανοητέον. εἴπερ δὴ τῆς ἀληθείας στοχαζόμεθα, καὶ ἐξ αὐτῆς πᾶσα ἡ σωτηρία ὑπάρχει, ἥτις ἐστὶ λύτρωσις καὶ ἐλευθέρωσις τοῦ υἱοῦ τοῦ θεοῦ. ὥσπερ γέγραπται, ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς. ἡ μὲν οὖν τοῦ τῶν ἐντολῶν κυρίως λεγομένου νόμου διάθεσις, ἀρχὴν ἔχει τὴν γνώμην καὶ βούλησιν τοῦ δικαίου, καὶ πρὸς τὸ ὁμοίωμα αὐτοῦ, ὥσπερ ποιήσαντος τὸν ἄνθρωπον οὕτω καὶ διαμεῖναι ἐθέλοντος καὶ ἀξιοῦντος θεοῦ. καὶ τὸ τέλος ἐστὶ προσκείμενον, τὸ ἐξεργάζεσθαι καὶ τηρῆσαι καὶ ἀποτελέσαι ἅπαντα τὰ ἐπιτεταγμένα κατὰ τὸ θέλημα τοῦ νο-

μοθετήσαντος. τούτου δὲ διὰ τὴν ἁμαρτίαν, τὴν ἅμα τῇ τοῦ ἀρχεγόνου καὶ προπάτορος ὑπάρξεως παραφυεῖσαν μεθ' ἡμῶν ἀδυνάτου γεγενημένου πάσῃ γε προθυμίᾳ τε καὶ ἰσχύϊ ἀνθρωπίνῃ, λοιπὸν ἦν ἄρα τὸ δίκην ὑπέχειν τοὺς ἁμαρτόντας, καὶ θανάτῳ ζημιωθῆναι μὲν τὸ σῶμα, τὴν δὲ ψυχὴν κολάσεις καὶ βασάνους αἰωνίους ὑπομένειν. τὸ μὲν γὰρ χοϊκὸν εἰς τὴν γῆν ἀποστρέψαι ἐξ ἧς ἐλήφθη ἔχρην διαλυόμενον, τὸ δὲ πνευματικὸν ὑπὸ τοῦ θεοῦ ἐπιχορηγηθὲν, τοῦ ἐμφυσῶντος εἰς πρόσωπον τοῦ πρωτοπλάστου πνοὴν ζωῆς, καὶ ἀπὸ θεοῦ ἀποχωρῆσαν, καθ' αὑτὸ δὴ δειναῖς ἀνάγκαις συσχεθήσεσθαι, καὶ ἐν τῇ ἀνενδύσει τοῦ σώματος ἅμα σὺν ἐκείνῳ ἀτελευτήτοις ὀδύναις ἐνδιατρίβειν ἔμελλεν. τότε τοίνυν ὁ τοῦ θεοῦ υἱὸς ἀπέτρεψέ τε τῇ αὐτοῦ ἐντεύξει τὴν ἀπώλειαν τῶν ἀνθρώπων, καὶ ἐξιλάσατο τὴν ὀργὴν τοῦ πατρὸς, καὶ τὸ ἱκανὸν ἀφ' ἑαυτοῦ προσοίσατο. καὶ οὕτως ἡ δευτέρα τῆς χάριτος καὶ ἀγάπης τοῦ θεοῦ φωνὴ, καὶ ῥῆμα ἕτερον προηνέχθη, καὶ νέα τις διαθήκη διετέθη, οὐκέτι πρὸς τοὺς ἐργαζομένους ἢ περὶ τὰ νόμιμα τῶν διαταγμάτων ταλαιπωρηθησομένους, δε-

μαινον-

μαίνοντας καὶ ὑποπτήσσοντας ἀεὶ, ἀλλὰ
πρὸς τοὺς ἀπεκδεχομένους τὴν ἐλεημοσύ-
νην τοῦ θεοῦ, καὶ πιστεύοντας εἰς τὸν υἱὸν καὶ
ἐν ὑπακοῇ καὶ εὐλαβείᾳ τὸ λοιπὸν διάγον-
τας βίον εὐσεβῆ καὶ ὅσιον ἐπὶ τῆς γῆς, ἀνταγ-
γωνιζομένους τε διαπαντὸς πρὸς τὸν διά-
βολον, καὶ πολεμοῦντας τῇ σαρκὶ, τουτέστιν
αὐτοὺς ἑαυτοῖς, ἡγεμονεύοντος μὲν καὶ ἄρ-
χοντος τοῦ ἁγίου πνεύματος, αὐτῶν δὲ κοσ-
μίως ἅμα καὶ εὐτάκτως ἑπομένων. οὗτοι γὰρ
ἤδη καὶ ἱκανοῦνται ποιῆσαι τὸ θέλημα τοῦ
θεοῦ, οὐχ ὡς ἐξ αὐτῶν, ἀλλ' ἐν τῷ πάντα
τετελεκότι υἱῷ τοῦ θεοῦ. πᾶν γὰρ κλῆμα
μὴ μεῖναν ἐν τῇ ἀμπέλῳ, ἄκαρπον τε καὶ
ξηρὸν, εἰς πῦρ βάλλεται. καὶ αὐτὸς ὁ υἱὸς θεοῦ
λέγει, ὅτι χωρὶς ἐμοῦ δύνασθε ποιεῖν οὐδέν.
εὐδοκιμεῖ δὲ παρὰ τῷ θεῷ τότε ἡ περὶ εὐσε-
βείας σπουδὴ καὶ τὸ ὑπόλοιπον ἔστι τοῖς ἁ-
μαρτίας, καὶ φυσικῆς τε καὶ συγγενοῦς κα-
κίας, οὐχ ὑπολογίζεται τοῖς πεποιθόσιν ἐπὶ
τὸν υἱὸν, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ
τοῦ αἵματος αὐτοῦ τὴν ἄφεσιν τῶν ἁμαρ-
τιῶν. ὅς ὄντας ποτὲ ἀπηλλοτριωμένους καὶ
ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πο-
νηροῖς νυνὶ ἀποκατήλλαξεν ἐν τῷ σώματι

τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου παραστῆσαι ἡμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ, ἐπιμένοντάς γε τῇ πίστει τεθεμελιωμένους καὶ ἑδραίους καὶ μὴ μετακινουμένους ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου, φησὶν ὁ ἅγιος παῦλος γράφων τοῖς κολοσσαεῦσι. καὶ ὁ αὐτὸς ἐν ἐπιστολῇ τῇ πρὸς ῥωμαίους οὕτω λέγει. οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν χριστῷ ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν ἀλλὰ κατὰ πνεῦμα. ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν χριστῷ ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν, ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν ἀλλὰ κατὰ πνεῦμα. τὸ γὰρ τῆς χάριτος καὶ τοῦ ἐλέους καὶ τῆς ἀγάπης ῥῆμα τοῦ υἱοῦ οἰκεῖον καὶ ἴδιον ἐστὶν, αὕτη τε ἡ νέα καὶ καινὴ διαθήκη ἀείπου οὖσα, δι' οὗ περ ὁ υἱὸς τοῦ θεοῦ ἀντελάβετο τοῦ ἀνθρωπίνου γένους, (ὥστε παρειστήκει ἀεὶ καὶ οὐδέποτε προστατεύων αὐτοῦ ἐπέπαυτο, οὐδ' ἔρημον

μον ἀπέλιπε τῆς ἐπισκοπῆς αὐτοῦ) ἐκυρώθη τε καὶ ἐπεσφραγίσθη τῷ αἵματι τοῦ υἱοῦ τοῦ θεοῦ, τοῦ τὴν ἡμετέραν σάρκα ἀληθῶς καὶ οὐσιωδῶς προσλαβόντος καὶ γεννηθέντος ἀνθρώπου ἐξ ἀειπαρθένου μαρίας, ὡς εἰρήσεται καὶ αὖθις. ταύτης δὲ καὶ σημεῖα, καθάπερ τῆς παλαιᾶς ἄλλα τε καὶ ἡ περιτομή, εἰδικὸν μὲν ἡ κοινωνία τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου, πρεπόμενα δὲ ἐν τοῖς πρώτοις, τό, τε βάπτισμα καὶ ἡ κλειδουχία. περὶ ὧν κατ' ἴδιον μὲν καὶ προσήκοντα τόπον, διὰ πλειόνων λόγους ποιησόμεθα, ἐν δὲ τῷ παρόντι τὰ ἔτι λειπόμενα προστίθεμεν τοῖς εἰρημένοις.

Περὶ τοῦ εἰ μισθὸς ὀφείλεται ταῖς ἐννόμοις τῶν πράξεων;

Ἐκ τῶν προειρημένων δῆλον ἂν εἴη ὅτι μόνοι οἱ πιστεύοντες καὶ γεννηθέντες ἄνωθεν εἰσὶν οἱ ποιηταὶ τοῦ νόμου, καὶ ὅτι τὰ πραττόμενα καὶ ἐπιτελούμενα κατὰ δύναμιν ἤδη ἀρέσκει τῷ θεῷ, καὶ τὸ θέλειν καὶ σπουδάζειν, καίπερ οὐκ ἀκολουθοῦντος τοῦ ἐξεργάζεσθαι ὅπως δεῖ, προσδεκτὸν ὅμως ὂν τῷ ἐλεήμονι θεῷ, τῷ ἀγαπήσαντι πάν-

τας, οἳ τὸν υἱὸν προσκυνοῦντες τιμῶσι καὶ ταπεινούμενοι ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ, ἐξ ὅλης καρδίας ὑπακούοντες τῷ θείῳ λόγῳ, καὶ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων· ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης. καὶ εἰσὶ μὲν ἀτελεῖς ἅπασαι, ὡς ἔπος εἰπεῖν, αἱ ἐπιχειρήσεις ἡμῶν, τελειοῦνται δὲ διὰ τὴν τοῦ υἱοῦ τελειότητα, οὗτος γὰρ ἦλθε πληρῶσαι τὸν νόμον. καὶ οὕτως ἡμῶν φίλων γεγενημένων τῷ θεῷ διὰ πίστεως εἰς τὸν υἱόν, οὐκ ἀρέσκει μόνον αὐτῷ ἤδη τὰ ἡμέτερα ἔργα καὶ πράγματα, ἀλλὰ καὶ ἀξιοῦται μισθοῦ καὶ ἀνταποδόσεως τῶν τε ἐνταῦθα προσκαίρων, καὶ τῶν ἐκεῖ αἰωνίων ἀγαθῶν. εὖ μὲν οὖν οἶδα ὅτι τάδε διὰ τὴν ἁπλότητα, φαύλως τε δοκοῦσι λέγεσθαι καὶ συνήθως, τὸν οὐδὲν ἄξιον τῆς θείας χάριτος καὶ ζωῆς ἀποτελέσαντα, καὶ μᾶλλον ἔνοχον θανάτῳ, ὄντα τε πονηρὸν αὐτὸν καὶ ἐργάτην κακῶν, καὶ ἐν τῷ κόσμῳ ἄθεον, αὐτίκα πρὸς ἀκοὴν τοῦ εὐαγγελίου μετανοήσαντα καὶ πιστεύσαντα τῷ λόγῳ τοῦ θεοῦ, καὶ πεποιθότα τῷ υἱῷ, δίκαιον τε ἐξ ὑπαρχῆς εἶναι παρὰ τῷ θεῷ καὶ

ἀναί-

ἀναίτιον καὶ ἀναμάρτητον, καὶ ἄξιον παν-
τὸς ἀγαθοῦ, ἀνακαινισθέντα τῇ πίστει μό-
νῃ. ἀλλὰ μὴν ὅ γε τῆς ἀληθείας λόγος ἁ-
πλοῦς ἐστι, καὶ μὴ οὕτω μαινοίμεθ' ἄν, ὥστε
διαστρέφειν αὐτὸν πειρᾶσθαι ἡμᾶς, ἤτοι ἐρί-
ζοντας καὶ σοφιστεύοντας, ἢ ζηλοῦντας καὶ
μαχομένους, ἢ καὶ ὑψηλοφρονοῦντας καὶ
ἀναφανδὸν ἀπελαύνοντας καὶ ἐκδιώκον-
τας αὐτόν. τὸ μέντοι ἠλίθιον καὶ ἀμαθὲς
καὶ ἄλογον, οὐδὲν πρᾶγμα ἐπιφέρεσθαι ἐν
χλεύῃ ἡμῖν. ἀνάγκη γὰρ μωρανθῆναι πρό-
τερον τὴν ἀνθρωπίνην σύνεσιν ἢ ἐπαΐειν
τῆς θείας σοφίας. τὸ δὲ μωρανθῆναι οὐδὲν
ἄλλο εἴη ἄν, ἢ ἄνευ διακρίσεώς τε καὶ προ-
κρίσεως πιστεῦσαι καὶ ὑπακοῦσαι τῷ θείῳ
λόγῳ, καὶ πρὸς τὸ τηρῆσαι παρασκευασθῆ-
ναι ἐν ἁπλότητι τῆς καρδίας. οἱ δὲ διασύ-
ροντες τάδε ὡς ἀργίας ἐπιτηδεύματα καὶ
ἀμελείας τῶν καλῶν πράξεων ἐμποιητικά,
ἴστωσαν οὐδὲν εἶναι ἐνεργέστερον οὐδὲ δραστικώ-
τερον τῆς ἀληθοῦς καὶ θείας πίστεως. ἣν καὶ μό-
νην, πίστιν λέγοντες, νοοῦμεν, καὶ ἄλλην μη-
δεμίαν. ὅταν δ' ὁ πλάτων φάσκῃ καὶ ψευ-
δῆ τινα πίστιν εἶναι, οὐδὲν πρὸς τοῦ λόγου ἐστίν.
καὶ ὅταν ἢ οὗτος ἢ τις ἄλλος ἅπανθ' ὅσα τε

μὴ νοῦς συνέλαβε, καὶ λόγος (δῆλον ὅτι ὁ ἀνθρώπινος) εἴρηκεν, ἀπόβλητ' ἂν ἡγῆται καὶ ἀνωφελῆ, ἐκποδὼν εἶναι κελευσθήτω τῇ τῶν ἀσεβῶν ἀνοίᾳ καὶ ἀλογίᾳ, οὐκ εἰδέναι ψυχικῶς ἀλλὰ πιστεύειν πνευματικῶς προηρημένων. οὕτω γὰρ γέγραπται, εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός. ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ θεῷ ἐστι. τὸ δὲ πνεῦμα τοῦ θεοῦ χριστὸν ἰησοῦν κηρύσσει ἐν σαρκωθέντα ἤδη καὶ παθόντα καὶ ἀνεγερθέντα, καὶ ἐν ὀνόματι τούτου μόνῳ ἄφεσιν τῶν ἁμαρτιῶν ἐπαγγέλλεται ἅπασι τοῖς πιστεύουσι. τὸ δὲ μωρὸν, ὥς φησιν ὁ ἀπόστολος, τοῦ θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστίν. ἀλλ', οὐ γὰρ πρὸς τοὺς οὐ προσδεχομένους ταῦτα, ἀλλ' ἐριστικῶς καὶ πρὸς ἐπήρειαν ἐκλαμβάνοντας, ἀντιλογίαν ἐνστήσασθαι διενοήθημεν, ἐῶμεν ἐνταῦθα τάδε καὶ τὰ λειπόμενα ἐπιπεραίνωμεν, προστιθέντες τινὰ ἐπ' ἀμφότερα περὶ τῶν εἰρημένων.

Ἔτι περὶ μισθοῦ καὶ τιμωριῶν.

Ὅτι μὲν δὴ τῶν ἀνόμων τε καὶ ἀδίκων καὶ ὑπὸ θεοῦ ἀπηγορευμένων πράξεων τιμωρίας

εἰας παρὰ τὰς προσηκούσας νομιστέον, πᾶσιν
οἶμαι ἀνενδοίαστον. πάντων δὲ ἁμαρτόν-
των καὶ ἀπεχθομένων τῷ θεῷ, τίς ἀτιμώ-
τερος ἂν γένοιτο, μὴ ὅτι γε μισθὸν λάβοι ἀφε-
λόμενον τοῖς νομίμοις καὶ ὁσίοις τῶν ἔργων,
καὶ τῇ δικαιοσύνῃ; περὶ τούτου ἄρα, μνείας
καὶ ἔμπροσθεν ἐμπεσούσης, ἑπόμενον ἂν εἴη
ὡς διὰ βραχυτάτων τὰ ἐπείγοντα μάλιστα
διαλαβεῖν. ἰστέον δὴ ὅτι ὁ θεὸς εὐεργέτης
ὢν τῶν πιστῶν τε καὶ ἀπίστων, οὐχ ὁμοίως
προσφέρεται ἀμφοτέροις. τοὺς μὲν γὰρ πι-
στοὺς φιλῶν καὶ στέργων καὶ ἀγαπῶν καὶ φυ-
λάττων διατελεῖ, τοὺς δὲ ἀπίστους, ὡς ἐχθροὺς
διὰ ὀργῆς τε ἀεὶ καὶ μίσους, καὶ ὡς ἀποστά-
των ἀφ' αὐτοῦ ἀμελῶς ἔχει. ἔστι δὲ τοσαύ-
τη ὑπεροχὴ καὶ ὑπερβολὴ τῆς θείας ἀγαθότη-
τος καὶ ἐπιεικείας, ὥστε εὖ ποιεῖν καὶ τοὺς
ἀναξίους, καὶ μισθὸν ἀποδιδοῦναι τοῖς οὐδὲν
ἀποτετελεκόσι τοιοῦτον οἵῳπερ ἂν ὀφείλοι-
το τὸ λαβεῖν. ἔχουσι τοίνυν τὰ καλὰ ἔργα
ἔπαινον καὶ τιμὴν καὶ ἀνταπόδοσιν, οὐ μό-
νον ὅσα ἀληθῶς ἐστὶ τοιαῦτα (ἅπερ ἄλλων
ὧν τινῶν οὐκ ἄν ποτε γένοιντο, ἢ περ τῶν
πιστῶν) ἀλλὰ καὶ τὰ φαινόμενα τῶν φιλο-
σοφικῶν τε καὶ πολιτικῶν ἀρετῶν, τοῦ θεοῦ

δηλαδὴ πλουσίως καὶ δαψιλῶς διανέμοντ-
τος τὰς εὐεργεσίας αὐτοῦ ἅπασιν. ὁ δὲ τοῦ
ἀνθρωπίνου γένους ἐχθρὸς ὁ διάβολος τὰ
πολλὰ τῶν ἀγαθῶν ἐν τῷδε τῷ βίῳ πρὸς
τοὺς πανουργοτέρους καὶ ἀναιδεστέρους καὶ ἀ-
σεβεστέρους καὶ τολμηροτέρους ἐκτρέπειν εἴω-
θεν. ἔστι δ᾽ ὅμως τῶν ὁμολογημένων ἐπὶ τῶν
ἐπαινετῶν πόνων καὶ μισθούς τινας, ὥσπερ
καὶ λέγεται ὅτι τἀγαθὰ πωλεῖται θεόθεν
ἀντὶ πόνων τοῖς ἀνθρώποις. καὶ Σολομῶν
φησίν, ἐὰν ἄοκνος ᾖς ἥξει ὥσπερ πηγὴ ἀ-
μητός σου. καὶ ἅπαντα τὰ τοῦ νόμου ἔχουσι
μὲν ὑπὲρ τοῖς καλοῖς καὶ ἐννόμοις ἐπιτηδεύ-
μασι ἔπαινον καὶ μισθόν, καὶ γέρας, καὶ οἷον
ἆθλα ἀγῶνος ἐναρέτου, πολλά τε ἀγαθὰ
καὶ τὴν ζωὴν αὐτήν. τὰ δὲ αἰσχρὰ καὶ πα-
ράνομα, ψόγον καὶ τιμωρίαν καὶ ἀτιμίαν καὶ
ὕβριν καὶ ὄλεθρον. ὥσπερ γὰρ ἑκάστης τῶν
τεχνῶν ἴδιόν τι τοῦ ἀποτελέσματος ἐπάγ-
γελμά ἐστιν, οἷον τῆς χρηματιστικῆς τὸ κέρ-
δος, καὶ τῆς κυνηγετικῆς τὸ τὰ θηρία ἑλεῖν,
οὕτω καὶ τῆς εὐνομίας ὥσπερ τέχνης βίου,
ἀποτέλεσμα εἴη ἂν ἡ εὐζωΐα. ὅτι δὲ οὐκ ἐπι-
τυγχάνουσιν ἀεὶ ταύτης οἱ σπουδαῖοι, αἴ-
τιον, ὅτι τὰ μὲν πρὸς τοῦτο ἐφ᾽ ἡμῖν πως ἐστί,
τὸ

τὸ δ' ἀποβησόμενον οὐκέτι. ὁ μὲν οὖν κατορθωκὼς ἥψατο τοῦ τέλους, ὥσπερ τέχνης τινὸς ὑπομνήμασι καὶ παραγγελίαις καὶ μεθόδῳ τῆς καταλήψεως ἑπόμενος, τὸ δ' ἔργον ὠφέλειάν τινα ἐπιφέρειν ἢ μὴ, οὐκέτι τῆς τέχνης ἀλλὰ τῆς τύχης εἶναι δοκεῖ. ὅθεν ἡ παροιμιώδης εὐχὴ διεθρυλήθη, ἵνα σταλαγμὸν τύχης ἐθέλουσα μᾶλλον ἢ πίθον φρενῶν. καὶ αἱ δεινολογίαι, ὅτι τυφλός γε καὶ δύστηνος ἀνθρώπων βίος. καὶ τό:
Φεῦ τῶν βροτέων ὡς ἀνώμαλοι τύχαι,
Οἱ μὲν γὰρ εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ
Σκληραὶ πάρεισιν εὐσεβοῦσιν εἰς θεόν.
Καὶ ὅτι, (δόξα,
Καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι
Εσπετο καὶ τιμῆς καὶ κακὸς ὢν ἔλαχεν.
ὁ δὲ ἡσίοδος, οὔτ' αὐτὸς δίκαιος εἶναι, οὔτε τὸν υἱὸν γενέσθαι ἀξιοῖ, ἐπεὶ κακόν, φησιν, ἄνδρα δίκαιον,
Εμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει.
καὶ ἄλλας πολλὰς τῶν σχετλιάσεων τῶν τοῖς παρ' ἀξίαν εὐτυχοῦσι, παρά τε ποιηταῖς εὑρεῖν, καὶ ἀκούειν ἀεὶ μεμφομένων τινῶν ἐστι. πάντοτε δὲ σχεδὸν τὸ προσίθεσθαι ὅμως εἰώθεν, ὅτι οἱ ἄδικοι καὶ πονηροὶ τῶν ἀνθρώπων

πων τελουντῶντων ὑπέχουσι δίκην θεόθεν, οἱ δὲ δίκαιοι καὶ εὐσεβεῖς καρποῦνται πολλὰ καὶ μεγάλα ἀγαθά. καὶ ὅτι οὐδεὶς ἀνόσιος καὶ δολερὸς ἢ ῥᾳδιουργὸς, ἀτιμώρητος ὢν διατελεῖ, λέγουσι καὶ πεπεισμένοι εἰσὶν ἅπαντες. φέρεται δὲ καὶ τάδε ἐκ χρησμοῦ τινός,

τοῖσδε κακῶς ῥέξασι δίκης τέλος οὐχὶ
χρονιστόν,
οὐδὲ παραίτησιν κἂν εἰ διὸς ἔκγονοι εἶεν.

καὶ αὖθις.

οἷά τ' ἀνὴρ ῥέξῃ τοῖον τέλος αὐτὸν ἱκάνει.

εἰ δὲ μὴ τοαυτίκα τελέσειεν ἴσως τὴν δίκην ὁ θεὸς,

ἀλλὰ καὶ ὀψὲ τελεῖ, καὶ σὺν μεγάλῳ ἀπέτισαν,
ὅμηρός που φησίν. καὶ ὁ χρησμὸς λέγει, ὅτι ἡ δίκη ἐν κακούργων κεφαλῇσι καὶ ἐν σφετέροις τεκέεσιν,

ἠλεῖται καὶ πῆμα δόμοις ἐπὶ πήματι βαίνει,

τὰ δ' αὐτὰ πρότερον καὶ ὑπὸ μωσέως τοῦ θεοῦ θεράποντος ἐθεσπίσθη. οἱ δ' ἄνθρωποι ὅταν ἐπὶ τὰ γιγνόμενα βλέπωσι, κατανοοῦντες εὖ μὲν ἐνίοτε μᾶλλον δὲ ὡς ἐπιτοπλεῖ-

τοπλεῖστον, καὶ μακαρίως διάζην τοὺς κακοὺς, τοὐναντίον δὲ τοὺς ἀγαθοὺς ταλαιπώρως καὶ ἀθλίως διαβιῶναι, καὶ ἔσθ' ὅτε καὶ ἀποθανεῖν κακοπαθοῦντας ἐσχάτως, τότε, οἱ μὲν ἀνθρωπίνως φρονοῦντες οὐκ ἔχουσιν ἐπὶ τίνα αἰτίαν ἀνάγωσι ταῦτα ἤπερ τὴν τύχην, καὶ εἰκαίως οὕτω γενέσθαι φάσκοντες, τὴν θείαν πρόνοιαν ἀναιροῦσιν. ἔστι δὲ καὶ τῶν εὐσεβῶν καὶ φοβουμένων τὸν θεὸν ἐνταῦθα καταδεῖν τῶν φρενῶν ταραχὰς μεγάλας, ὡς ὅταν λέγηται ἐν τῷ ψαλμῷ. οβ'. ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν αἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν. καὶ τὰ λοιπά. καὶ τούτοις ὅμοια ἄλλα πλεῖστα ὅσα εὑρεῖν ἐστι. λύεται δὲ πάνυ εὐχερῶς ἡ σύνεσις τῶν εὐσεβῶν ἡ τὸν τοῦ θεοῦ λόγον ἀκούουσα, καὶ μελετῶσα ἐν τῷ ῥήματι αὐτοῦ, τὸ δοκοῦν ἄτοπον, κατανοήσασα, ὅτι ἐν ἅπασι τοῖς ὑπὸ τὸν ἥλιον ματαιότης τις ἐστί. οὐδὲν γὰρ βέβαιον καὶ ἀΐδιον ἐνταῦθα. καὶ ὅτι τοῦ θεοῦ κρίματα καὶ δικαιώματα ἀκατάληπτα. καὶ οὐδὲν αὐτῇ δεῖν ἐπιμελὲς γενέσθαι οἶδεν, ἢ τὸν θεὸν ἐν γνώσει τε καὶ δι' ἀγάπης ἔχειν φοβουμένη αὐτόν.

αὐτόν. οὕτω γὰρ φησὶν ὁ θεῖος Δαβίδ, καταλέξας πολλὴν εὐδαιμονίαν τῶν ἐκτὸς θεογνωσίας ἀλλοτρίων καὶ ἀδίκων, ἐν τῇ γῇ, ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστι. μακάριος ὁ λαὸς οὗ κύριος ὁ θεὸς αὐτοῦ. καὶ ὁ ἐκκλησιαστὴς τὰ δημηγορηθέντα ὑπ' αὐτοῦ ἀνακεφαλαιωσάμενος, λέγει. τέλος λόγου τὸ πᾶν ἄκουε. τὸν θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε. ὅτι τοῦτο πᾶς ὁ ἄνθρωπος. ὅτι σύμπαν τὸ ποίημα ὁ θεὸς ἄξει ἐν κρίσει, ἐν παντὶ παρεωραμένῳ, ἐάν τε ἀγαθὸν καὶ ἐὰν πονηρόν. ἡ μὲν οὖν ἀληθὴς εὐσέβεια τῶν ἄνω κάτω φερομένων ἐν τῷ βίῳ, φροντίζει οὐδέν, διαπραγματεύεται δὲ περὶ τούτου μόνον, ἵνα σχῇ τὸν θεὸν ἵλεων, ἐπιγνοῦσά γ' αὐτὸν ἐν ἀληθείᾳ. ὁ δὲ τοῦ θεοῦ λόγος ἀλήθειά ἐστι. καὶ οὕτω κακοπαθοῦντες οἱ εὐσεβεῖς ἀνέχονται, καὶ ἐν ταλαιπωρίαις διακαρτεροῦσι, καὶ εὐτυχοῦντες πράως τε καὶ σωφρόνως φέρουσι. ἐπεὶ ἐν ἅπασι πρὸς τὸν θεὸν βλέπουσι, καὶ ἐν τῇ ἐπ' ἐκεῖνον πεποιθήσει ἐπὶ ἐλπίδι ἀναπαύονται, χαίροντες καὶ εὐχαριστοῦντες αὐτῷ πάντοτε. καὶ εἰδότες ὅτι ἀρέσκει τὰ ἔργα αὐτῶν ἐκείνῳ. καὶ ὅτι οὐκ ἔστιν ὁ κόπος

πος αὐτῶν μάταιος ἐν κυρίῳ. καὶ ὅτι ἀν-
ταπόδομα τῶν καλῶν πράξεων, καὶ μισθὸν
ὧν ἐποίησαν ἐννόμως καὶ δικαίως διάγον-
τες, ἕξουσιν ἐν ἀναστάσει τῶν νεκρῶν. καὶ
ἴσασι μὲν ὅτι ὁ θεὸς διὰ τὴν ἀμέτρητον αὐ-
τοῦ χρηστότητα καὶ τοῖς μὴ ὀφειλομένοις ὅ-
μως δίδωσιν ἀγαθόν τι, ἀνθ' ὧν ἀπὸ τῶν αἰ-
σχρῶν καὶ πονηρῶν ἀποστάντες, τὰ καλὰ καὶ
εὐάρεστα αὐτῷ προῄρηνται διαπράξαι, καί-
περ οὐδὲν τῶν ὄντως καλῶν ὀρθῶς διαπρά-
ξαντες, εἰ δὴ ἀγνῶτες τ' ἐγγόνου τοῦ θεοῦ,
καὶ ἀδόκιμοι, καὶ ἀλλότριοι τῆς θείας χάρι-
τος οὔτε δοξάσαντες οὔτε τιμήσαντες τὸν
θεόν. αὐτοὶ δὲ καὶ τῆς τοῦ θεοῦ ἐπιγνώσεως
ἀξιωθέντες, καὶ τὴν τῶν τέκνων κληρουχή-
σαντες μερίδα, ἐν τῷ χριστῷ, καὶ λοιπὸν
οὐχ ἀργοὶ ὄντες, πολύ γε μᾶλλον ἀπεκδέ-
χονται ἀμοιβήν τινα τῆς πιστῆς διοικήσεως
καὶ ἐμπορείας καὶ πραγματείας καὶ γεωργίας
αὐτῶν. κατὰ τὰς εὐαγγελικὰς παραβολάς.
εἴπερ δὴ ταῦτα τὰ λεπτὰ τοῖς ἀρετῆς οἷον
ἰνδάλματα, καὶ κοῦφαι σκιαί, ἐν τοῖς φύσει
τέκνοις ὑπάρχουσιν ὀργῆς, ὅμως οὐκ εἰσὶν
ἀνανταπόδοτα, ἀλλ' ἀμοιβήν τινα τῶν εὐη-
μεριῶν καὶ πολλῶν ἀγαθῶν βιωτικῶν ἔχει,
καὶ

καὶ ἴσως καὶ ἄλλα τινὰ μείζω ἀπολαμβάνει. ἴσμεν γὰρ ὅτι καὶ οἱ μὴ ἀκηκοότες τὸν λόγον, καίπερ οὐκ ὄντες ἀθῶοι (ὤφειλον γὰρ μὴ περιορᾶν ἀνήκουστον ἐκεῖνον, ὡς εἴπομεν) ἀνεκτότερον κολασθήσονται. καὶ εἴ τινες τὴν ἀλήθειαν οὐ καλύπτοντες ἀπέχονθ' ὅμως τοῦ ἀνοσιουργεῖν, ἁγνῶς τε καὶ καθαρῶς διαζῶντες χρηστοὶ καὶ ἐλεήμονες ἐγένοντο, οὐκ ἄρα ἀπώλεσαν τὸν μισθὸν, καὶ, ὡς τὸ εἰκὸς, ἀνιηρῶς τε ἧττον καὶ μᾶλλον προσηνῶς καὶ κουφότερον ἕξουσι τῶν ἀνόμων. ἀλλὰ περὶ τούτων μηδέν τε ἐκζητήσαντας καὶ παντάπασιν ἀγνώστους ἡμᾶς γεγονότας, γένοιτ' ἂν βλαβῆναι μηδέν. πρόκειται γὰρ ἡμῖν τὸ σπεύδειν παντὶ σθένει πρὸς τὴν τοῦ βραβέου κατάληψιν, ὀρθοδρομοῦντας τε καὶ εἰς τὸ πρόσω ἀεὶ ἐπιτεινομένους, τὰ δὲ ἄλλα ὡς ἐκτὸς ὄντα τοῦ τέλους οὐκ ἐφορῶντας οὐδὲ πολυπραγμονοῦντας. νῦν οὖν τάδ' ἔτι προσθέντες, ἀνακεφαλαίωσιν ποιησόμεθα τῶν λεχθέντων, καὶ οὕτω διελευσόμεθα τὰ λοιπὰ τῆς κατηχήσεως. οἱ τοίνυν ἄπιστοι καὶ κακοὶ τῶν ἀνθρώπων ἐὰν ὅτε συνθήνουσι καὶ ὡς ἐπὶ τὸ πολὺ τῶν εὐσεβῶν καὶ θεοφίλων ἥδιον βιοτεύουσιν. οἱ δὲ ἀγαθοὶ καὶ

θοὶ καὶ δίκαιοι καὶ ἀναίτιοι παρά τε θεῷ καὶ τοῖς ἀνθρώποις ἐν ταλαιπωρίᾳ καὶ θλίψεσι διάγουσιν ἐπίπονον ζωήν, καὶ ἐνίοτε λαμβάνουσι μισθὸν τῆς εὐσεβείας, αἰκιζόμενοι, καὶ ἐξοριζόμενοι καὶ δὴ καὶ κτεινόμενοι. καὶ γέγραπται γοῦν ὑπὸ παύλου, ὅτι πάντες οἱ ἐθέλοντες εὐσεβῶς ζῆν ἐν χριστῷ ἰησοῦ διωχθήσονται. δοκοίη δ' ἴσως ἄν τινι συμβαίνειν γοῦν καὶ διὰ ταύτην τὴν αἰτίαν, ἵνα βελτίους γίγνοιντο οἱ εὐσεβεῖς ὥσπερ τέκνα γνήσια, ἐπιμελῶς ὑπὸ τοῦ πατρὸς παιδευόμενα. ἀλλά τοι τὸ πρᾶγμα οὐχ ἁπλοῦν καὶ διαφοράς τινας ἔχον ἐστίν, ὡς σαφῶς θεωρεῖται ἐν ταῖς τῶν ἱερῶν γραφῶν ἱστορίαις. ὅτι γὰρ θεῖοί τινες ἄνδρες, καὶ ὁ χριστὸς αὐτὸς θεὸς ὤν, ὑπὸ τῶν ἐχθρῶν ὑβρισθεὶς καὶ παθὼν δεινὰ ἀπέθανε, δῆλον. χριστοῦ δὲ πάθος ἐξαίρετόν τι καὶ ἴδιόν ἐστι, σωτήριον ὑπάρχον καὶ λυτρωτήριον. αὐτὸς γὰρ μόνος ὑπὲρ αἰχμαλώτων ἡμῶν προσηνέγκατο ἑαυτὸν ἀντίποινον, καὶ λύτρον περὶ τῶν ἡμετέρων ὀφειλημάτων, γεγονὼς ἁμαρτία καὶ κατάρα, ἵνα οἱ πιστεύοντες ὦσι δικαιοσύνη καὶ εὐλογία. τῶν δὲ ἄλλων ἁγίων καὶ ὁσίων ἀνδρῶν διωγμοὶ καὶ

παθήματα, μαρτύρια εἴη ἂν τῆς ἀληθείας, ὑπὲρ ἧς πάσχουσιν ἐκεῖνοι, ὄντες μέλη τοῦ χριστοῦ σώματος, ὅπερ ἀεὶ ὑπὸ τοῦ διαβόλου ἐνοχλούμενον πολεμεῖται, ὥσπερ καὶ ὁ παῦλός φησιν, ἀνταναπληροῦν ἑαυτὸν τὰ ὑστερήματα τῶν θλίψεων τοῦ χριστοῦ ἐν τῇ σαρκί αὐτοῦ ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία. καταλέγοιτο δ' ἂν, ὡς οἶμαι, οὐκ ἀνεπιτηδείως ἐνταῦθά γε, καὶ τὰ ἄνευ φανερᾶς ἐνίοτε αἰτίας συμβαίνοντα τοῖς ἀνθρώποις, ἤτοι τοῦ σώματος, ἢ τοῦ ἀξιώματος, ἢ τῆς κτήσεως λυμαντικά. τοῦ δὲ σώματος μάλιστα. τοῦ θεοῦ δῆτα δι' αὐτῶν τε ῥᾳδίως τῆς δυνάμεως ἔνδειξιν ποιήσασθαι, καὶ φανερῶσαι τὴν δόξαν αὐτοῦ βουληθέντος. τοῦτο μὲν γὰρ καὶ αὐτὸ μαρτύριον, ἄλλως δὲ πως ἢ τὸ πρότερον προσαγορεύοιτ' ἄν. καὶ δῆλον ὅτι καὶ καιρῶν ἐστιν οὐδαμῶς ἁπάντων, καὶ βουλῆς θείας ἐκκείτου τε καὶ ἀποκεκρυμμένης, καὶ σχεδὸν προσῆκον τῇ ἐξετάσει ἡμῶν οὐδέν. φησὶ δ' ὅμως ὁ χριστὸς παρ' ἰωάννῃ, οὕτως (ἠρώτησαν δὲ περὶ τυφλοῦ τινος ἐκ γενετῆς, οἱ μαθηταί) οὔτε οὗτος ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ θεοῦ ἐν αὐτῷ. περὶ

τούτου

τούτου δ' οὖν ὡς ἐν τῷ προόντι, ἄλλις. ἔστι δὲ καὶ δοκιμασία ἐνίοτε καὶ πειρασμὸς τὸ προσφερόμενον δεινὸν τῶν τε διωγμῶν καὶ ἄλλων θλίψεων, οἷον νόσων καὶ τῶν κοινῶν ἀτυχημάτων τε καὶ δυσχερειῶν τοῦ βίου. ἔστι γὰρ κατὰ τὸν ἅγιον ἰώβ, πειρατήριον βίος ἀνθρώπου ἐπὶ τῆς γῆς, καὶ ὥσπερ μισθωτὸς ἀναμένων τὸν μισθὸν αὐτοῦ. ὁ δὲ κοπιάσας μισθὸν λήψεται, καὶ ὁ ὑπομένας εἰς τέλος οὗτος σωθήσεται. ὁ δὲ παῦλος, καὶ καυχᾶσθαί φησιν, ἐν ταῖς θλίψεσιν, εἰδὼς, ὅτι ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. ἀμέλει καὶ ὄνομα ἔχει τὰ λυπηρὰ καὶ πονηρὰ καὶ οἱ μόχθοι, πειρασμὸν, ὅθεν καὶ προσευχόμενοι κελευόμεθα λέγειν, μὴ εἰσαγάγῃς ἡμᾶς εἰς πειρασμόν. ὁ δὲ θεῖος παῦλος καταλέγων πλεῖστα ὅσα τοῦ γένους τούτου, ἐν τῇ πρὸς κορινθίους γραφείσῃ δευτέρᾳ, μέμνηται καὶ τοῦ σατανᾶ κολαφίσεως, καὶ τελευτῶν φησιν ὅτι δύναμις τοῦ θεοῦ ἐν ἀσθενείᾳ τελειοῦται. εἰσὶ μὲν οὖν τάδε βαρέα ξύμπαντα καὶ ὀδυνηρὰ, ὑπερβάλλει δ' ὅμως αὐτὰ ἡ τῆς ψυχῆς ἀδημονία καὶ αἱ τῶν λογισμῶν ἀγωνίαι,

νίαι, καὶ μάχαι τῆς διανοίας παλαιούσης ὥσπερ πρὸς τὸν θεόν, ἐν τῷ πιέζεσθαι τῷ ἐπικειμένῳ ἄχθει τῆς ὀργῆς αὐτοῦ, καὶ πρὸ ὀφθαλμῶν φανταζομένου τοῦ αἴσχους καὶ δείματος τῶν ἁμαρτιῶν, καὶ ἀμηχανίας οὔσης πάντοθεν τοῦ σωθῆναι. ἀλλὰ ταῦτα, οὐ μὲν γὰρ ἄραιντ' ἂν οὐδὲ βαστάσαιεν ὁμοίως ἅπαντες, ἐῶμεν, γίνεσθαι δ' αὐτῶν τοὺς εὐσεβεῖς ὄντας καὶ πιστοὺς τῷ χριστῷ ἀνάγκη. τούτου δὲ τοῦ τῶν θλίψεων γένους, γυμνασίου τῆς πίστεως ὑπάρχοντος, εἶδος τόδε ἐξαίρετόν τε καὶ ἴδιον τῶν πορρωτάτω τῇ ὁσιότητι προκεχωρηκότων εὑρίσκεται ὄν. λοιπὸν δὲ ἔτι γένος ἔνεστι τῶν θλίψεων, τὸ τῶν τιμωριῶν. εἰσὶ δὲ αὗται ὑπὲρ τῶν εὐσεβῶν καὶ φοβουμένων τὸν θεόν, οὐχ οἷαι πρὸς τὸ ἐπιτρίψαι καὶ ἐξολεθρεῦσαι καὶ ἐκριζῶσαι αὐτούς, καθάπερ τοὺς ἀσεβεῖς, περὶ ὧν φησιν ἐν τῇ ἐξόδῳ, ᾗ δ' ἂν ἡμέρᾳ ἐπισκέπτωμαι ἐπάξω ἐπ' αὐτοὺς τὴν ἁμαρτίαν αὐτῶν, οἱ γὰρ παράνομοι (φησὶν ὁ δαβίδ) ἐξολεθρευθήσονται, τὰ καταλείμματα τῶν ἀσεβῶν ἐξολεθρευθήσονται. ἀλλ' ὡς παιδείας νουθετήσεως πατρικῆς ἕνεκεν αὐτὰς οἰητέον. καὶ λέγεται ἐν τῷ βιβλίῳ τοῦ ἰὼβ, μακάριος ἄνθρωπος,

θρωπος, ὃν ἤλεγξεν ὁ κύριος, νουθέτημα δὲ παντοκράτορος μὴ ἀπαναίνου. αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ καὶ πάλιν ἀποκαθίστησιν. ἔπαισε καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο. ἑξάκις ἐξ ἀναγκῶν σε ἐξελεῖται, ἐν δὲ τῷ ἑβδόμῳ, οὐ μὴ ἅψεταί σου κακόν. καὶ ἐν τῇ πρὸς ἑβραίους γέγραπται, ὃν ἀγαπᾷ κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης μᾶλλον ἐμποιητική, ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης. γίνεται δὲ τάδε ἐπὶ τοῖς ἁμαρτάνουσι παρὰ τοῦ θεοῦ εἰς ἀγαθόν, ἵνα μὴ ἀκόλαστοι διάγοντες εἰς ὕβριν ἐξοκέλλωσι καὶ ἐπιλάθωνται τοῦ κυρίου. διό φησιν, ἐγὼ ὅσους ἐὰν φιλῶ ἐλέγχω καὶ παιδεύω. καὶ ὁ ἅγιος παῦλος λέγει, γράφων τοῖς κορινθίοις, ὅτι κρινόμενοι ὑπὸ κυρίου παιδευόμεθα ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. ἔτι ἐν τῷ ψαλμῷ ρ ι ζ'. γέγραπται, παιδεύων ἐπαίδευσέ με ὁ κύριος καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με. ἔστιν ἄρα τὸ λυπηρὸν τῶν τιμωριῶν χρήσιμον πρὸς τὸ ἐπιστρέψαι τοὺς σκληροτέρους μετὰ τὸ πλα-

γλῶσσαι, ὥστε ζητεῖν τὸν κύριον ὃς ἰάσηται τὸ τραῦμα. οὕτω καὶ ὁ σὺν τῷ Χριστῷ Ἰησοῦ σταυρωθεὶς λῃστής, ἐν τῇ τιμωρίᾳ αὐτοῦ μετανοήσας, καὶ ἐπικαλεσάμενος τὸν κύριον ἐσώθη, καὶ λέγεται τοῦτο, ὡς οἶμαι ἀτρεκῶς, ὁδὸν εἶναι εἰς τὸν οὐρανὸν οὐχ ἧττον εὐθεῖαν καὶ βάσιμον ἐκ τοῦ ἀναγκαίου καὶ ἀπὸ δημίου, ἤπερ ἐκ τῶν μανδρῶν καὶ μονῶν τῆς ἀναχωρήσεως. γεγονυίας δὲ μνείας περὶ τῶν τιμωριῶν, καὶ τοῦτο ἐπιΐδωμεν, ὅτι πάντες μὲν καθόλου ἁμαρτωλοὶ ὄντες (ἐὰν γὰρ εἴπωμεν ἁμαρτίαν οὐκ ἔχομεν, ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν) καὶ ὑπέχειν δίκην τούτων ὀφείλομεν. τῆς ἁμαρτίας ἀρὰ καὶ κακίας φυσικῆς, κοινὴ ἡ κατάγνωσίς ἐστιν ἁπάντων, καὶ γενικὴ κατάκρισις, τῶν καθόλου συμφορῶν τε καὶ δυστυχιῶν, δι' ὧν περ τὸ ἡμέτερον φῦλον ὑποβέβληται πόνοις καὶ κόποις καὶ νοσήμασι καὶ ἄλλοις λυπηροῖς, ἕως καταστρέψωμεν ἐνταῦθα τὸν βίον. τῶν δ' ἑκουσίων ἁμαρτιῶν, καὶ αἱ τιμωρίαι ἐνταῦθα μείζους τε καὶ δεινότεραί εἰσι. τοῦτο γὰρ ἔχαβον εἶναι κακὸν πεπεισμένοι εἰσὶν ἄνθρωποι. καὶ ταῦτα μὲν ἀγνοήσαντες τἀληθὲς οἱ παρ' Ἕλλησι πάλαι σοφοί, ἐπὶ τὴν τύχην ἀνήνεγκαν.

ὅθεν

ὅθεν καὶ εἴρηται, τύχη τὰ τῶν ἀνθρώπων. καὶ ὅτι ἄνθρωπος πᾶν ἐστι συμφορή, φησὶν ἡρόδοτος. ἄλλος δέ τις εἶπεν ὅτι,

ὥσπερ κυαθίζουσ' ἡμῖν γίνεθ' ἡ τύχη
ἓν ἀγαθὸν ἐπιχέασα τρί' ἐπαντλεῖ κακά.

ἡμεῖς δὲ περί τε τούτων ὀρθῶς γινώσκοντες, καὶ εὖ διαιροῦντες αὐτά, μὴ πλανώμεθα τοῖς λογισμοῖς, μήτε ἀπατῶμεν αὐτοὺς αὐτοί. ὡς μὲν οὖν οὐδεὶς ἄνθρωπος ἀναμάρτητος εὑρίσκεται ἁπάντων, καὶ οἷος ἂν τῇ δικαιοσύνῃ οἰκείᾳ μεγαφρονεῖν καὶ σεμνύνεσθαι, οὕτως ἔστιν ὅτῳ ἂν ἡ καρδία μὴ καταγινώσκῃ ἐν ᾧτινι οὖν ἔργῳ, οὗτος ἔχει καὶ καύχησιν ὡς περὶ ἐκείνου τοῦ πράγματος, καθὸ συνείδησις ἀβλαβὴς καὶ ἀκέραιος διαμένει. καθάπερ ὁ Δαβὶδ φησι. κύριε ὁ θεός μου εἰ ἐποίησα τοῦτο, καὶ εἰ ἔστιν ἀδικία ἐν χερσί μου, καὶ τὰ λοιπά, ψαλμῷ ἑβδόμῳ. καὶ ἐν τῷ αὐτῷ κρῖνόν μοι κύριε κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί. οὕτω καὶ ὁ χριστός, οὔτε τὸν τυφλὸν ἐκεῖνον ἐκ γενετῆς, οὔτε τοὺς γονεῖς αὐτοῦ ἡμαρτηκέναι ἔλεγε. δηλαδή, ὥστε κατ' οἰκεῖόν τι παρανόμημα καὶ μύσος αἰτίους αὐτοῖς γεγονέναι τοιαύτης τιμωρίας.

ἀλλ' ὅμως οὐδεμία ἀνοίγεται πρὸς τὴν σωτηρίαν θύρα, παρεκτὸς μετανοίας καὶ ἐξομολογήσεως, ὅθεν καὶ πίστις καὶ ἄφεσις τῶν ἁμαρτιῶν χαριζδοτεῖται τοῖς βοβουμένοις τὸν θεὸν, ἐν χριστῷ ἰησοῦ κυρίῳ ἡμῶν. ὡς καὶ παῦλός φησιν, ὅτι πᾶσιν ὁμοίως διεμαρτύρετο τὴν εἰς τὸν θεὸν μετάνοιαν καὶ πίστιν τὴν εἰς τὸν κύριον ἡμῶν ἰησοῦν. καὶ ὁ ἰωάννης, ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. καὶ αἱ τῶν ἁγίων ἐξομολογήσεις ἄντικρυς αὐτὸ τοῦτο καταγγέλλουσιν, οἷον ἡ ἐν τῷ ρε. ψαλμῷ. ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν. ἠνομήσαμεν ἠδικήσαμεν. καὶ ὁ δανιὴλ, λέγων. ἡμάρτομεν, ἠδικήσαμεν, ἠσεβήσαμεν ἀπὸ τῶν ἐντολῶν σου. σοὶ κύριε ἡ δικαιοσύνη σου, καὶ ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου. καὶ ἄλλαι τοιουτότροποι συχναί. οὕτω τ' ἄρα ἡ σωτηρία τελέως καταλαμβάνεται, καὶ τὰ ὀφειλόμενα τοῖς ἡμαρτημένοις ἐπιχείρια ἐν τῷ βίῳ τούτῳ ἤτοι ἀφίεται πάμπαν, ἢ πραότερόν γε ἀπαιτεῖται. ἀλλὰ περὶ μὲν τούτων ἅλις, ἐν τῷ παρόντι. τῶν δὲ εἰρημένων διεξοδικώτερόν

πως

πως ἐκτεθειμένον, εἴ οὖν ἤδη ἔχοι, τὸ διὰ βραχέων, ἐπαναλαβόντας κατηχητικῶς ἐκεῖνα ἡμᾶς, οὕτω δὴ προβαίνειν ἐπὶ τὰ ἄλλα.

ΚΑΤΗΧΗΤΗΣ.

Ἐκ δὴ τῶν λεχθέντων, ὦ παιδία, μῶν πειράσαισθ' ἂν φράζειν, τί τε ὁ νόμος, περὶ οὗ ἡ πραγματεία ἡμῖν, καὶ τἄλλα ὅσα διήλθομεν συντομώτερόν πως ἀποκρινόμενοι ἐρωτηθέντες;

ΟΙ ΠΑΙΔΕΣ.

Πῶς γὰρ οὔ; οὐδὲν δ' οὖν οἷον πέρας λαβέσθαι, ἄλλως τε καὶ παρόντος τοῦ διορθωσομένου ἤν πού τι σφαλώμεθα.

Κατηχητής.

Τί ἐστιν ὁ θεῖος νόμος; εἴπατε δὴ ἀναμιμνησκόμενοι ἐκ τῶν προειρημένων.

Οἱ παῖδες.

Δῆλον οὖν ἐξ αὐτῶν, ὅτι ὁ αὐτὸς καὶ φυσικὸς νόμος, εἴη ἂν διάταξις τῶν πρακτέων καὶ φυλακτέων, φανερωθεῖσα διὰ τῶν ἐντολῶν τοῦ θείου θελήματος.

Κατηχητής.

Οὐκ ἐοίκατε φαύλοις τισὶν ἀκροαταῖς καὶ ἀμνήμοσι τῶν λεχθέντων εἶναι. μὲν οὖν δο-

κεῖτ' ἀποκριθῆναι τοῦτόγε. πῶς δὲ φατε; μῶν εἶναι τὸν θεῖον καὶ φυσικὸν νόμον ἕνα τινὰ ἀδιορίστως;

Παῖδες.

Οὐχ ἡμεῖς γε. ἀλλὰ τὸν μὲν ταῖς ἀνθρωπίναις ψυχαῖς ἔμφυτον νόμον καὶ ἄγραφον, διὰ τὴν περὶ φύσεως φθορὰν εἰρῆσθαι οἰόμεθα, ἀμαυρότερόν τε πως εἶναι, καὶ ἀδιορθωτότερον. τὸν δ' ἔγγραφον καὶ ὑπὸ τοῦ θεοῦ ἐκφωνηθέντα καὶ ἐγχαραχθέντα ταῖς λιθίναις πλαξὶ, πολλὴ ἀνάγκη νομίζεσθαι σαφῆ τε καὶ ἀκριβῆ καὶ ἀπηρτισμένον μᾶλλον ἐκείνου.

Κατηχητής.

Νόμος ἄρα φυσικὸς ὁ αὐτὸς τῷ θείῳ;

Παῖδες.

Εἴπερ δὴ ἀμφότερος ἀμετάβλητός τε καὶ ἀεὶ ὁ αὐτός ἐστι καὶ μένει, καὶ περὶ τῶν αὐτῶν πραγματεύεται, ὅτε κυρώσεως δεόμενος, ὅτε ἀποχειροτονίαν προσιέμενος.

Κατηχητής.

Ὀρθῶς εἰρήκατε. οὐ γὰρ ἐκεῖνα νόμιμα ἐκ ψηφισμάτων ἢ συνθηκῶν ἢ ὁμολογιῶν τινῶν κατὰ πόλεις ξυνετέθη, ἀλλ' ὑπὸ θείας προαγορεύσεως ἅπαντα ἐν ταῖς ψυ-

χαῖς

χαῖς ἁπάντων ἀνθρώπων εἰσενέχθη, καὶ με-
τέπειτα τῇ τοῦ θεοῦ δακτύλου διαγραφῇ
ἀνενεώθη. διὰ τοῦτο καὶ ἐθνικὰ προσαγορεύε-
ται αὐτά, διὰ τὸ ξυνιέντας ἅπαντας ὁμο-
λογῆσαι ὅτι εὖ τε καὶ καλῶς καὶ ὠφελίμως
ἔχει. τὰ δὲ ἄλλα πάντα πολιτικὰ νόμιμα
καλούμενα μετατίθενται κατὰ χρόνους τε καὶ
τόπους καὶ οὐκ ἐστὶ τῶν ἀμετακινήτων ὥσπερ
ἐκεῖνα, διὸ προσειπὼν τούτους ἀνθρωπίνους
νόμους, ὣ δ' ἵπως ὁρίσειε τὶς ἂν κατὰ τὸν ἀρι-
στοτέλη. ὅτι νόμος ἐστὶ λόγος ὡρισμένος
καθ' ὁμολογίαν κοινὴν πόλεως μηνύων
πῶς δεῖ πράττειν ἕκαστα.

Παῖδες.

Πότερον δὲ καὶ τὰ πολιτικὰ νόμιμα τη-
ρῆσαι χρὴ τοὺς χριστιανοὺς;

Κατηχητής.

Υμέτερον μὲν οἶμαι τὸ ἀποκρίνεσθαι. τί
ἄρα φατε;

Παῖδες.

Ημεῖς τοίνυν ἐκ τῶν εἰρημένων λέγοιμεν,
ὅτι χρή.

Κατηχητής.

Ορθῶς ἐλέξατε. καὶ μάλιστα διὰ αἰτίας
δύο. ὅτι καὶ ἡμεῖς ταῖς ὑπερεχούσαις ἐξου-
σίαις

σίαις ὑποτάχθημεν, καὶ ἡσύχως καὶ ἀρεϊωνικῶς διάγειν ἐν πάσῃ ταπεινοφροσύνῃ τὸν βίον ὀφείλομεν. μήποτε δὲ ὑμεῖς ὁμολογήσετε νόμιμον εἶναι τι, τὸ ἀπᾶδον ὃ μὴ συμφωνοῦν τῷ θείῳ καὶ τῷ φυσικῷ νόμῳ. οἷον πορνείαν ἢ ἀνθρωποφαγίαν;

Παῖδων.

Οὐ μὴ ποιήσαιμεν ἑκόντων γ' ἡμεῖς πώποτε

Κατηχητής.

Τί δ' ἐρωτώμενοι ἂν παρὰ ταῦτα ἔτι εἴποι τ' ἄν;

Παῖδων.

Περὶ τίνος ἢ τί φῄς;

Κατηχητής.

Πῶς τελεῖται ὁ θεῖος νόμος;

Παῖδων.

Εὖ μὲν σὺ ποιῶν ὑπέμνησας. ἄλλο τι δὲ ἢ τοῦτο πυνθάνῃ, τίς ἡ διανοία τῶν ἐντεταλμένων;

Κατηχητής.

Οὐκ. ἀλλὰ τοῦτο.

Παῖδων.

Ἐκεῖνα τοίνυν τὰ μὲν ποιητέα καὶ μὴ, φράζει τε ὃ διαστέλλει. οὕτω δὲ ὥστε ἀκροώ-

τως ἔχειν πρὸς τὸ πείθεσθαι τοῖς θελήμασι τοῦ θεοῦ.

Κατηχητής.

Τί τὸ τέλος.

Παιδίον.

Η τοῦ θεοῦ δικαιοσύνη καὶ βούλησις.

Κατηχητής.

Η καὶ τοῦτο προσθείη τ' ἄν;

Παιδίον.

Τὸ ποῖον;

Κατηχητής.

Τὸ εἰρημένον ὑπὸ παύλου. ὅτι τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου.

Παιδίον,

Προσθείημεν οὖν, εἰ σὺ κελεύσαις.

Κατηχητής.

Κελεύω δῆτ' ἔγωγε. ὅτι μόνος τρόπος οὗτος τῆς αὐτῆς δικαιοσύνην καὶ βούλησιν τοῦ θεοῦ καταντήσεως.

Παιδίον.

προσκείσθω ἄρα καὶ τοῦτο τοῖς λεχθεῖσιν.

Κατηχητής.

Εφικνούμεθα δ' ἡμεῖς τούτων, πληρούντων τὸν νόμον;

Παῖδος.

Ἥκιστα πάντων μὲν ἡμεῖς γε. μᾶλλον δὲ, οὔτ' αὐτὸν τὸν νομοθέτην, οὔτε τὰς ἐντολὰς, οὔτε τὸ τέλος, καταινοῆσαι ἀφ' ἑαυτῶν οἷοί τε ἐσμὲν ἡμεῖς, ἀλλοτριωθέντες διὰ τοῦ θεοῦ γνώσεως. καὶ οὐκ ἐπαΐοντες τῆς ἐννοίας τοῦ νόμου (ὃς τέλεια ἀπαιτεῖ πάντα) καὶ δὴ καὶ τῷ ἡμετέρῳ μᾶλλον ἢ τοῦ θεοῦ θελήματι ἑπόμενοι.

Κατηχητής.

Πῶς οὖν δικαιωθέντες σωθησόμεθα, ἐπειδὴ δίκαιοι μόνοι οἱ ποιηταὶ τοῦ νόμου, ἡ δὲ σωτηρία τῶν δικαίων;

Παῖδος.

Περὶ τούτου μὲν ἔλεγες σὺ, ὅτι πλέω ἔτι εἰπεῖν βούλοιο, ἡμεῖς δὲ τοῦθ' ὅμως ξυνήκαμεν, ὅτι οὐχ ἡ τελέωσις, ἀλλ' ὑπακοὴ καὶ σπουδὴ μόνον δίαπερ οὖν πρὸς ἡμῶν. καὶ ὅτι ταῖς ἡμετέραις ἀπεργασίαις μισθὸς εἴη προκείμενος παρὰ θεῷ, ἐπ' ἀμφότερα τὰ μέρη, διά τε ἀρετῆς καὶ τῆς κακίας.

Κατηχητής.

Ἅλις τούτων, ὡς γ' ἐν τῷ νῦν εἶναι. τί δ' ἔτι λείπεται; μῶν εἰσαῦθις διεξελθεῖν τὰς ἐντολὰς, καὶ διασκοπῆσαι περὶ ἑκάστης ἀκριβέστερον;

βέστερον; μακάριον γάρ που ἀποφαίνει ἡ γραφὴ, ἐκεῖνον ἄνδρα οὗ τὸ θέλημα ἐν τῷ νόμῳ τοῦ κυρίου, καὶ ὃς ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νύκτας. ἀγαπῶμεν οὖν καὶ ἡμεῖς ὦ παιδία ξὺν τῷ θείῳ δαβὶδ τὸν νόμον, καὶ μελετῶμεν ἐν αὐτῷ ἀεὶ, ἵνα φανερᾶς γενομένης ἡμῖν τῆς δικαιοσύνης διώκωμεν αὐτὴν, εἴπερ καὶ καταλάβοιμεν. ἄνωθεν οὖν ἀρχόμενοι περὶ τῶν καθ' ἕκαστον κεφαλαίου πραγμάτων, διασκεψόμεθα ἀκριβέστερον, ὥστε καλυπτόντων τὰ τῆς κακίας εἴδη, ἐν τῷ φεύγειν αὐτὰ, καταντῶμεν ὥσπερ τὰ τῆς ἀρετῆς ἐπιτηδεύματα. καὶ δὴ τότε καὶ καθεωρακότες ὡς ἀδυνάτως ἔχομεν πρὸς τὸ κατόρθουν, ἔξωθέ ποι ζητῶμεν τὴν τῆς θείας χάριτος ἐπικουρίας (κατ' ἐνδειξιν τοῦ θεοῦ ῥήματος ὅπερ ἐστι τὸ εὐαγγέλιον) ἐπιχορηγησούσης καὶ τὸ θέλειν καὶ τὸ δύνασθαι. διερχόμενοι δὲ ταῦτα ἅμα πειρασόμεθα λῦσαι ἀπορίας τινὰς ἐμπιπτούσας ἑκάστοτε, καὶ διασαφῆσαι περὶ τῶν μάλιστα ἐν τῷ ἡμετέρῳ βίῳ ἐπιπολαζόντων τε καὶ δοκούντων διασαφήσεως δεῖσθαι.

Γαῖδον.

οὕτω

Οὕτω δὴ ποιῶμεν, ὦ βέλτιστε καθηγητὰ καὶ διδάσκαλε τῶν θείων λόγων. σύ τι κατάλεξας ὅσα ἔτι μαθεῖν χρεῖαν ἔχομεν, ἡμεῖς τ' ἐπιμελῶς ἀκροώμενοι καθ' ὁδὸν σοὶ ἀκολουθήσομεν.

Κατηχητής.

Ἀλλ' ὦ παῖδες, πῶς διδάσκαλον ἐκαλέσατ' ἐμέ, καὶ τοῦτον βέλτιστον; ἢ οὐ μέμνησθε, ὅτι οὐδεὶς ἀγαθὸς εἰμὴ ὁ θεός; καὶ ὅτι ὁ μόνος ἡμῶν καθηγητής, οὐκ ἐᾷ διδασκάλους ἄλλους τινὰς ἐπὶ γῆς καλεῖσθαι;

Παῖδες.

Τοῦτο καὶ αὐτὸ σύγ' ἐρεῖς. ἡμεῖς γὰρ ἀποροῦμεν τί χρὴ ἀποκρίνεσθαι. πῶς γὰρ εἰδείημεν, τηλικοῦτοι γ' ὄντες;

Κατηχητής.

Μάθετε τοίνυν ὦ ἀγαπητὰ παιδία, ὅτι ὁ θεῖος λόγος, οὐκ ἔστι περὶ γλώσσης καταῤῥυθμιστικός, ἀλλὰ τῶν φρενῶν διορθωτικός. οὐδὲ καταρτίζει τὸ στόμα, ἀλλὰ τὸν νοῦν ἀπαρτίζει. γὰρ δεῖ καλῶς οὖν καὶ εὐσεβῶς φρονεῖν, ἔξεστι φράσει χρῆσθαι κοινῇ καὶ συνήθει, ὡς αὐτὸς Ἰησοῦς ὁ Χριστὸς πεποιηκὼς εὑρίσκεται. οὕτως ἄρα νοῶμεν. τὸν θεὸν αὐτὸν μόνον, ἁπλῶς εἶναι καὶ ὁσιωδῶς, πρῶτον μὲν

ἀγαθόν,

ἀγαθὸν, μετέπειτα δὲ πάντα ὅσα πρὸς τἀγαθὸν ὅπως δήποτε ὀνομαζόμενον τῇ ἐννοίᾳ ξυναγείρεται. οἷον, ἅγιον, δίκαιον, καλὸν, σοφὸν, χρηστὸν, ἰσχυρὸν, δυνατὸν, πλούσιον, ἀληθῆ, σώφρονα, βασιλέα, κριτὴν, κύριον, καὶ τὰ λοιπὰ τοιαῦτα. ἐπειδὴ δὲ εὐηρέστησεν ὁ θεὸς κοινωνῆσαι μεθ' ἡμῶν τὴν ἀγαθότητα αὐτοῦ, τοσοῦτον ὥστε καὶ ἐξουσίαν δοῦναι υἱοὺς αὐτοῦ γενέσθαι, οὐ σαρκογενεῖς καὶ φυσικοὺς, ἀλλὰ πνευματογενεῖς καὶ θετοὺς, οὕτω δὴ μεθέξει τινὶ ἢ μετουσίᾳ ἁρμόζει καὶ τὰ ὀνόματα ἐπακολουθήσαντα ταῖς δωρεαῖς τοῦ θεοῦ. ἔστι δὲ τοῦτο διττόν. ἐν γὰρ τῇ κοσμικῇ διατάξει τοῦτο τὸ θεόσδοτον ἀγαθὸν παρωνύμως ἀξιοῦται τῆς ἐπικλήσεως, ἀνθρώπινόν τε ὑπάρχον καὶ τῆς ἀπεργαστικῆς τελειώσεως μακροτάτω ἀπέχον, καὶ ἐσχάτως ἔσθ' ὅτε ἀποχωρῆσαν, ὅμως τοι τῆς πρώτης καὶ ἀρχεγόνου καὶ αὐτουργοῦ καὶ αὐτουσίου, μᾶλλον δὲ ὑπερουσίου ἀγαθότητος εἴληφε τὰ ὀνόματα, ἐπιτρεπούσης αὐτῆς ἐκείνης ἐν σκιαῖς τισι καὶ εἰκόσι, ταῖς τῶν ὄντων τε καὶ τῆς ἀληθείας φωναῖς καταχρήσασθαι ἡμᾶς. ὥστε λέγεσθαι ἀγαθὸν τὸ ἐπαινετὸν, ἐπειδὴ τοῦ ἀγαθοῦ ἀπεῖναι τὸ ἐπαι-

νετὸν οὐ δύναται. καὶ καλὸν τὸ εὔσχημον, καὶ σοφὸν τὸ θαυμαστὸν τοῖς ἀνοητοτέροις. καὶ τἄλλα ὁμοίως, καὶ δὴ καὶ βασιλέα καὶ ἀρχὰς καὶ ὑπεροχὴν, ὡς ὑπαρχικῶς ὑψώματα τοῦ θεοῦ καὶ πρωτεῖά τινα καὶ κυβερνήματα ἐπὶ γῆς. καὶ οὕτως ἔχει πως ἐπὶ τῆς ἐπιχθονίας διακοσμήσεως. τὸ δὲ τῆς θείας ἐπιγνώσεως ἐγγυτέρω ἐφαψάμενον μέρος τῶν εὐσεβῶν καὶ πιστῶν καὶ χριστιανῶν, οἰκονομεῖται ἁπλούστερόν πως καὶ καθαρωτέρως καὶ θειοτέρως. τὸ γὰρ μόνον καὶ ἀΐδιον ἀγαθὸν διὰ τοῦ χριστοῦ, ᾧ τῇ πίστει ἡνώθημεν, κατιδόντες, οὐκέτι δυνάμεθα τοὺς ὀφθαλμοὺς πρὸς ὁποιονοῦν πλάσμα ἀποστρέφειν, ἀλλ᾽ ἀτενίζοντες εἰς τὸν ποιήσαντα καὶ αἴτιον, ὥσπερ ἐκεῖνος ὄντος ἐστὶν, οὕτω καὶ φάσκομεν αὐτὸν εἶναι ἀγαθὸν, καὶ πάντα τὰ τοῦ ἀγαθοῦ ἐχόμενα. καὶ ἐπὶ τοῦτο ἀνακύψαντες, οὐκ ἐπιγινώσκομεν ἄλλο οὐδὲν, οὔτε ἐν οὐρανῷ, οὔτε ἐπὶ γῆς. καὶ εἴτις που ταύτην ἐπωνυμίαν αὐτὸς κατ᾽ αὐτὸν ἰδιοποιῆσαι τολμᾷ, τούτῳ οὐδαμῶς τ᾽ ἐπιβλέπομεν, καὶ ὑπερμαχοῦμεν τῆς δόξης καὶ ἁγιότητος καὶ μεγαλειότητος τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν. οὐδ᾽ ἄρα οὐδ᾽ ἐκτὸς ἡμετέρου καθηγητοῦ ἰη-

σοῦ χριστοῦ, προχειρισάμενός τις αὐτὸν, ὥστε τὸ καθηγεῖσθαι καὶ διδάσκειν, ἀπρόσδεκτος, ἀλλὰ παντάπασιν ἄπωστος ἐσόμενος ἡμῖν ἴσω, τοῖς οὐδενὸς ὅτι μὴ χριστοῦ ἰησοῦ ἀκούειν, καὶ τούτῳ καθ' ὁδὸν τῆς εὐσεβείας καὶ πίστεως ἕπεσθαι μαθητευθεῖσι. τοῖς δ' ἐκ καρδίας εὐθείας καὶ ὀρθοῦ νοῦ καὶ ταπεινῆς πρὸς τὸν θεὸν φρονήσεως, λαλοῦσιν ὥσπερ συνήθως καθ' ἑκάστων πατρίδα καὶ ἔθνος καὶ γλῶσσαν, οὐδὲ τὸ θεῖον δυσχεραίνειν πεποίθαμεν, καὶ παρ' ἡμῖν ἐξουσία ἐστί, διαλέξει χρῆσθαι τῇ μάλιστα καὶ εὐκατανοήτῳ καὶ ἀνεπαχθεῖ οὔσῃ, πρὸς αὔξησιν τοῦ τῆς βασιλείας κηρύγματος, καὶ οἰκοδομὴν τῆς ἐκκλησίας, ὥστ' ἕκαστόν τινα ποιοῦντα καὶ λέγειν ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνὰ ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ἅπαντα ὡς ἐν χριστῷ ἰησοῦ κυρίῳ ἡμῶν, ᾧ δόξα καὶ κράτος καὶ σοφία εἰς αἰῶνας τῶν αἰώνων.

Λοιπὸν οὖν ἐστι δεξιοδικῶς ἐκτεθῆναι τὰ κατὰ τῶν ἐντολῶν ἑκάστοτε ἁμαρτήματα. καὶ κατὰ τῆς δὴ πρώτης εὐθὺς τάδε δῆλα.

Περὶ τῶν ὅσα κατὰ τῆς πρώτης ἐντολῆς ἁμαρτάνονται.

α΄.

Τὸ ἄθεον καὶ βέβηλον, καὶ τῆς θείας προνοίας διασυρτικόν. ὃν εἰώθαμεν ἐπικουρεισμὸν ὀνομάζειν.

β΄.

Αἱ εἰδωλολατρεῖαι. τοῦτο δὲ ποικίλον ἐστίν. ὅταν τὸ θεοῦ κτίστῃ προσῆκον νέμεται ταῖς κτίσεσιν. οἷον ἡ πολυθεΐα πάντοτε, ὅπωσοῦν προσαγορευομένη ἐστί τε καὶ ἦν καὶ ἔσται. οὐ λέγω δὲ μόνον τὰς δημώδεις τῶν θρησκειῶν περὶ τοὺς παρ' ἕλλησι καὶ ἄλλοις ἔθνεσι καλουμένους θεούς τε καὶ δαίμονας, ἀλλὰ καὶ τὰς σφὰς ἐνθυμήσεις καὶ συλλογίσεις περὶ θείας δυνάμεως καὶ οὐσίας καὶ ἐνεργείας περιγραφομένας ταῖς ἀνθρωπίναις διανοίαις.

γ΄.

Τὸ περὶ θεοῦ ἰδιοσκοπεῖν καὶ αὐτογνωμονεῖν, καὶ ἕπεσθαι τοῖς ἑαυτοῦ διαλογισμοῖς, ἀμελοῦντας τοῦ θείου λόγου διασαφήσεώς τε καὶ ἀποταγῆς. ὡς οἱ ἰουδαῖοι ὅσοι ἄπιστοι διαμένουσι, καὶ μαχομετισταί, καὶ πάντες αἱρετικοὶ ποιοῦσι.

δ΄. αἱ

δ'.

Αἱ μαγεῖαι τῶν ἐπῳδῶν καὶ γοητειῶν καὶ ψυχοπομπειῶν καὶ μαντειῶν. οἷα ἐστὶ τὰ διὰ κλήρων, τὰ διὰ κοσκίνου, δι' ὕδατος, πυρός, παλμῶν. οἰωνοσκοπικά, θυτικά, καὶ δὴ καὶ φλυαρίαι τινὲς ἀστρολογικαὶ καὶ χειροσκοπικαὶ καὶ ὀνειροκριτικαί, καὶ φυσιογνωμικαί, καὶ ἄλλαι πᾶσαι ἐπιτηρήσεις, οἷαι δή ποτε, ταῖς θείαις γραφαῖς ἐναντίαι.

ε'.

Τὸ θεῖον κλείσαι καὶ δόξῃ ἀνθρωπίνῃ ἰδρύσαι ὑπὸ ῥηταῖς καθιερώσεσιν, ἢ περὶ εἰκόνας καὶ ἀγάλματα, ἢ ἐν τόπῳ οἰκείῳ ἢ ἐπ' ἔργῳ ἰδίῳ τινί.

ϛ'.

Ἡ ὑπόκρισις, ἥπερ οὐ μὲν ἀθεότης ἐστὶ σαφῶς, σχηματιζομένη δὲ καὶ ψευδομένη πανουργοῦνται περὶ τὴν εὐσέβειαν, καὶ θεοφιλὴς δοκεῖν ἐθέλουσα, οἰκείαν ζητεῖ εὐημερίαν. ἔστι δὲ τῶν πάνυ κρυφίων καὶ δυσδιακρίτων τὸ κακόν. ὁ δὲ θεὸς ἀληθῆ καὶ ἁπλᾶ, καὶ τὰς καρδίας ἀπαιτεῖ.

ζ'.

Ἡ ἀπόγνωσις καὶ ἐξ αὐτῆς τὸ θεομισές. οἷον ὅθ' ὁ Σαοὺλ ὁρῶν αὐτὸν ἀποδοκιμασθέντα

τα ὀργίζεται παρὰ θεῷ, πρώτη βασιλ. εἰκοστῷ ὀγδόῳ κεφ.

η.

Η περὶ ἰδίας δικαιοσύνης ἢ σοφίας ἢ δυναστείας ἢ οἵωνουν ἀγαθῶν ἀναθεώρησις, καὶ τὸ πεποιθέναι αὐτοῖς. καὶ πᾶσα ὑπερηφανία. παράδειγμα ὁ φαρισαῖος λουκᾶ. ιη.

θ'.

Διςαγμὸς καὶ διαπόρησις περὶ τῆς εὐνοίας τοῦ θεοῦ, ἐν τῷ ἀμφισβητεῖν πότερον ὁ θεὸς εἰσακούει προσευχομένων, καὶ εἰ συγγνώμην ἔξει ἡμαρτηκόσιν, ἢ οὔ;

ι.

Τὸ δυσχεραίνειν καὶ ἀφηνιάζειν ἐν τοῖς κακοῖς καὶ ταῖς θλίψεσιν αἷς ὑπέταξε τὸ ἀνθρώπινον γένος ὁ θεὸς ἐφ' ὑπομονῇ πρὸς δοκιμὴν κατεργάζουσαν τὴν οὐ καταισχύνουσαν ἐλπίδα.

ια.

Καταφρονεῖν ἢ ἀμελεῖν τοῦ θείου λόγου. ἢ καὶ παντελῶς ἀφίστασθαι, ἢ διὰ φόβον, ἢ διὰ σκάνδαλα, ἢ δι᾽ ἡδονὰς, ἢ διὰ πλοῦτον, ἢ δι᾽ ἥντιν᾽ ἄλλην αἰτίαν.

ιβ'.

Τὸ

τὸ τὸν θεὸν παρεάσασθαι, οἷον ἄνευ ἀναγκαίας αἰτίας εἰς κίνδυνον ῥίψαι, ἤτοι ψυχὴν ἢ σῶμα, ἢ καὶ συναμφότερα.

Τούτων δὲ ἐν γένος ἁπάντων ἡ τοῦ θεοῦ ἀπόστασις, καὶ ἀνυποταξία, καὶ ὅλως ὑπερηφανία καὶ ὕβρις, καθ' ἧς καὶ οἱ ἔξω σοφοὶ, ὡς ἐναντίας οὔσης καὶ ἐχθρᾶς τῷ θεῷ, διέθεντο παντοπαραδόξους, ὡς ἔοικε, τινὰς γνώμας. οἷον ὁ ἡρόδοτος, ὅτι ὁ θεὸς τὰ ὑπερέχοντα κολούει. καὶ ἄλλος τις εἶπεν, ὅτι ὁ θεὸς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων. καὶ ὁ πίνδαρος ἐχθρὰν φησὶν εἶναι σοφίαν, τὸ λοιδορῆσαι θεόν.

Ὅτι δὲ καὶ δεινὰς τιμωρίας ἐκδικεῖται ἡ εἰς τὸν θεὸν ὕβρις, ἐνέδειξαν διά τε τὸν τοῦ σαλμωνέως θάνατον, σκηπτοῦ ἐμπεσόντος αὐτῷ μεταξύ που μιμησαμένῳ τὰς βροντὰς καὶ ἀστραπὰς, καὶ πρότερον ἔτι διὰ τόλμης καὶ ἀφανισμοῦ τῶν ἀλωαδῶν. ἱστορεῖται δὲ καὶ περὶ φερεκύδου τοῦ συρίου, ὅτι τὸν βίον ἀλγεινότατον κατέστρεψεν, φθειριάσας κατὰ πᾶν σῶμα, ταύτην δήπου τὴν ζημίας ἐκτίσας ἀνθ' ὧν τοῦ θείου κατεφρόνησε, καθήμενός ποτε ἐν δήλῳ μετὰ τῶν μαθη-

τῶν καὶ περὶ αὐτῶν λογῶν ἄλλα τε πολλά, καὶ ὅτι οὐδέποτε οὐδεμίαν θυσίαν ἐπετέλεσεν. ὁ δὲ τοῦ ἀμύντου φίλιππος, μεθύων ἤδη ταῖς εὐτυχίαις, ἐν πομπῇ τινι κομιζομένων τῶν δυώδεκα θεῶν, τὴν τρίτην καὶ δεκάτην αὐτοῦ εἰκόνα ὅτι θεοπρεπεστάτην κατασκευάσας προὔπεμψε, καὶ μετ' οὐ πολὺ ὑπὸ τοῦ παυσανίου ἀνῃρέθη.

Παῖδες.

Ἀλλ' οὗτοι ἅπαντες ἀναμφισβητήτως εἰδωλολάτραι, καὶ τῆς ἀληθοῦς περὶ θεοῦ γνώσεως ἐστερημένοι ἦσαν.

Κατηχητὴς.

Εὖ μὲν καὶ καλῶς, ὦ φίλοι παῖδες, ὑπεθήκατε. ἀλλά, οὐ γὰρ ὁσίας πέρι, καὶ λατρείας καὶ θρησκείας τῆς πρὸς τὸν θεὸν, νῦν ὁ λόγος, μὲν σκοπεῖσθε, ὅτι τοῦ θείου αὐτοῦ ἥτις ἂν καταφρόνησις καὶ ὕβρις ἀσεβὴς, ἀθεότης τίς ἐστιν. οὐ γὰρ εἰς τὸν νομιζόμενον δία ὁ σαλμωνεὺς καὶ οἱ ἀλωεῖδαι, οὐδ' εἰς τὸν ἀπὸ δήλου φαιζόμενον ἀπόλλωνα, ὁ συεῖος, οὐδ' αὖ εἰς τοὺς καλουμένους δώδεκα θεοὺς ὁ ἀμύντου, ἀλλ' εἰς αὐτὸ τὸ θεῖον ὕβρισέ τι καὶ παρῴνησε. καὶ δικαίως αὐτίκα τὴν δίκην ὑπέσχεν, ὀλιγοστὸν δὲ, καὶ μᾶλλον οὐδὲ

πολλοστόν τι μέρος πρὸς τὴν αἰωνίαν κόλασιν, ἣν ἕνεκε τούτου θ᾽ ἅμα καὶ τῶν ἄλλων ἁμαρτημάτων, ὑποβέβληται μετὰ τῶν διαβόλων καὶ πάντων ἀσεβῶν τε καὶ ἀνοσίων καὶ ἀπίστων καὶ ὑβριστῶν. καὶ τούτου μεμνημένοι πρὸς ὁμοίας διαπορήσεις ὀρθῶς αὖ χρείαν παραλήψεσθε.

Ἰστέον δὲ ὅτι καθόλου περί τε τὸ θεῖον καὶ περὶ θεὸν, πλημμελεῖ μόνη σχεδὸν ἡ περὶ σοφίας καὶ πολυμαθείας ἄσκησις. ὅπου μὲν δὴ πάντες ἀεὶ βάρβαροι διετέλεσαν ὁμολογοῦντες εἶναι θείαν τινὰ δύναμιν, ἥν τε προσκυνῆσαι καὶ ἐπικαλέσασθαι καὶ σεβῆσαι δέον, τῶν δ᾽ ἑλλήνων πλεῖστοι ὅσοι σοφιζόμενοι εἰς ἀθεότητα παρερρύησαν. διὰ τοῦτο εἴ τις καὶ συνεχόντως εἴρηκε, θεὸν ὅτι ἔστιν οὐ χρὴ δίζεσθαι. αὐτόθεν δ᾽ ἄριστον πεπιστευκέναι. ζητήσεως γὰρ προτεθείσης ἀφορμὴ ἤδη δέδοται ταῖς ἀντιλογίαις, ἐν αἷς καὶ τὰ ἀπιστότατα συνιστάμενος ὅμως ἐθέλει κρατεῖν. ἐγένοντο δὲ παρ᾽ ἕλλησι (λεγέσθω γὰρ καὶ τοῦτο ὅλου παρέργως) διαβόητοι ἐπ᾽ ἀθεΐας μάλιστα οἵδε. Εὐήμερος ὁ μεσσήνιος ἢ τεγεάτης. διογένης ὁ φρύξ. ἵππων ὁ ταραντῖνος. διαγόρας ὁ μήλιος. σωσίας οὐκ

οἶδ' ὅστις. θεόδωρος ὁ κυρηναϊκός. πύῤῥων γὰρ ὁ ἠλεῖος καὶ ξενοφάνης καὶ πρωταγόρας οὐκ ἦσαν μὲν οἷοι σαφῶς ἀνελέσθαι τὸ θεῖον, τὸ δὲ δόγμα ἀμφιβολίαις παντοίαις ἐμπλέξαντες, δόξαν ἀθεότητος ἐκτήσαντο καὶ αὐτοί. ἔσχατος δὲ ἐπίκουρος τὰ τῶν προτέρων ἀνακεφαλαιωσάμενος, τῷ μὲν λόγῳ τὸ θεῖον συνίστη, τῷ δ' ἔργῳ ἀνῄρει, κατειρωνευόμενος αὐτοῦ, τῇ τε διαγραφῇ καὶ τῷ ἀλλοτριῶσαι τῆς προνοίας καὶ κυβερνήσεως καὶ ἐπισκοπῆς τῶν ἐν τῷ κόσμῳ.

Παιδίον.

Ταῦτα μὲν θαυμαστὸν πῶς ἥσθημεν ἀκούσαντες ἱστοροῦντός σου, καὶ ἐλπίς ἐστιν ὅτι ἐξ αὐτῶν καὶ ὠφεληθησόμεθα. σὺ δὲ λέγε μετὰ τάδε, πῶς πληροῦται ἡ ἐντολή;

Κατηχητής.

Ὑφ' ἡμῶν μὲν οὐδαμῶς, ὁ δὲ χριστὸς πλήρωμα τοῦ νόμου δωρεῖται μὲν χ' ἡμῖν τὸ πληρῶσαι αὐτόν, ἡμεῖς δὲ ἀρχόμεθα ἐν τῇ πίστει τῇ εἰς χριστὸν μετὰ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν. καὶ ἐστὶν ἡμῖν ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁδός, δι' ἧς πρὸς τὸν θεὸν ἀφικέσθαι ἤδη δυνατὸν τοῖς ἀσκοῦσι τὴν πίστιν, τὸν φόβον, τὴν ἐλπίδα, τὴν ἀγάπην, τὴν εὐχαριστίαν, τὴν

αν, τὴν ὑπομονὴν, τὴν ταπεινοφροσύνην, καὶ ὅλως δικαιοσύνην τινὰ καθολικὴν πρὸς τὸν θεόν.

Περὶ τῶν ἁμαρτανομένων κατὰ τὴν δευτέρας ἐντολῆς.

Καὶ τούτων δὴ μετρίως ὡσδέπως περὶ τὴν πρώτης τοῦ δεκαλόγου ἐντολῆς διειλημμένων, ἀκόλουθον ἂν εἴη κατὰ ταῦτα καὶ περὶ τῶν λοιπῶν διασκέψασθαι. καὶ ἔπονται δὴ διεσταλμέναι μετὰ τάδε δῆτα αἱ ἁμαρτίαι κατὰ τὴν δευτέρας ἐντολῆς.

Οὐχ ὅτι δ' ἀποφαντικῶς ἐξεινέχθη ἡ ἐντολὴ, οὐδὲν ἄρα παραγγέλλει τῶν ποιητέον, ἀλλ' ὅσα τε ἀπαγορεύει τούτοις τἀναντία δηλονότι ἐντέλλεται. ἔστι δὲ τὰ ἀπειρημένα τάδε πη.

α.

Αμελῆσαι τῆς ἐπικλήσεως καὶ προσευχῆς καὶ δεήσεως καὶ εὐχαριστίας.

β'.

Επικαλέσασθαι ἄλλο τι ὄνομα εἰμὴ τὸ θεῖον. καὶ εἴδωλα, ἢ τινα πνεύματα, ἢ ἀνθρώπους γεγονότας καὶ ἄλλα ζῶα, ἢ τι ἕτερον τῶν ἐν τῇ φύσει θρησκεύειν καὶ προσκυνῆσαι

ἢ λα-

ἢ λατρείᾳ ἢ πεποιθήσει ἀποθεῶσαι. καὶ καλινδεῖσθαι ἐν τοῖς σηκοῖς περὶ τὰς ἀνδριάντας, καὶ ψευδιερατείας.

γ΄.

Ψευδῆ διδάσκειν καὶ διαλέγεσθαι ἀσεβῆ περὶ τοῦ θεοῦ. ἢ τοὺς οὕτω διδάσκοντας ἢ διαλεγομένους περιέπειν ἢ προΐστασθαι αὐτῶν. καὶ τὴν ἀλήθειαν λυμαίνεσθαι ἤτοι ἀντιστάντας καὶ ἐμποδίζοντας τὸ κήρυγμα, ἢ καὶ σοφίσμασι καὶ διαβολαῖς ἐπισκοτοῦντας καὶ διαστρέφοντας τὰ δόγματα.

δ΄.

Θρησκείαν ἀσεβῆ τινὰ καὶ ἀνόσιον εἰσάγειν ἢ διαφυλάττειν καὶ αὔξάνειν.

ε΄.

Μὴ ὁμολογῆσαι ἐπερωτωμένους τὴν τῆς εὐαγγελικῆς ἀληθείας ὑγιᾶ διδαχήν.

ς΄.

Μὴ ὑπηρετῆσαι τῷ θελήματι τοῦ θεοῦ, ἐν τῷ κηρύττειν ἢ διδάσκειν τὸ εὐαγγέλιον κληθέντας πρὸς τοὔργον τοῦτο. καὶ ἀμελῆσαι τῶν ἀληθῶν ἐξηγήσεων, καὶ ἀμέριμνον εἶναι περὶ τῶν διαφόρων καὶ ἀμφισβητησίμων δογμάτων, ἐξ οὗ μάλιστ' εἴωθ' ἐν τῇ ἐκκλησίᾳ βλαστῆσαί τε καὶ αὐξηθῆναι τὰ ψευ-

δῆ τῆ

δὴ τῆς ἀσεβείας, ἑτεροδιδασκαλίαι τε καὶ τὸ παραδοξολογεῖν, καὶ διαστροφαὶ τῶν ὑγιαινόντων λόγων, καὶ ζητήσεις καὶ λογομαχίαι, καὶ τέλος, τὸ πεισμὸν δοκεῖν εἶναι τὴν εὐσέβειαν. τούτων δὲ φυλάξασθαι ἔργον ἐστὶ τῶν ἐπισκόπων καὶ ποιμένων καὶ προεστώτων τῆς ἐκκλησίας.

ζʹ.

Αἱ βλασφημίαι καὶ κατάραι καὶ βωμολοχεύματα ἐπικούρεια, καὶ μῦθοι βέβηλοι. μάλιστα δὲ οἱ τοῦ θείου ὀνόματός τε καὶ λόγου ὀνειδισμοὶ καὶ διωγμοί. ὥσπερ φαραώνος καὶ ῥαψάκου καὶ τῶν φαρισαίων ὑπὲρ χριστοῦ τε καὶ τῶν ἀποστόλων. ὁμοίως καὶ τὰ σκανδαλίζοντά τε καὶ συνταράττοντα τοὺς ἀσθενεῖς καὶ ὀλιγοπίστους. καὶ ἔτι αἱ ἀγανακτήσεις καὶ δυσθυμίαι τῶν ἀπογνώσεων τε καὶ δισταγμῶν περὶ τῶν θείων. Τῷ δὲ τῶν καταρῶν, σκαιότατόν ἐστιν ἁμάρτημα. οὐ λέγω τὴν ἐμφανῆ τινῶν παραφρόνησιν καὶ μανίαν, οἳ καὶ αὐτὸν ποτὲ τὸν θεὸν ἐν οὐρανοῖς κακῶς λέγουσι μαργαίνοντες. αὕτη γὰρ τῶν ἄκρων ἀνομιῶν ἐστι, καὶ τῶν ὀλιγάκις ἀκουομένων, μηδ' ἀκούοιθ' ὅλως, τοιαύτη γ' οὖσα. λέγω δὲ τὰς, ἤτοι ἐφ' ἑαυτῷ (καὶ γὰρ

καὶ

καὶ οὕτως ἐσθ' ὅτε ἀφραίνει ἢ λυμαίνεθ' ἡ ὀργὴ τοὺς χολῶντας τῶν ἀνθρώπων) ἢ ἄλλοις τισι τῶν τέλας γγνομένας κατάρας. τοῦτ' ἄρα τῶν πάνυ δεινῶν ἡγητέον, καὶ οὐδαμῶς ἐκφαυλιστέον, διά τε τὸ ἐπικαλεῖσθαι τὸν καταρώμενον τὴν θέαν δύναμιν ἐπὶ ματαίῳ, καὶ παροξύνειν τὸ ὄνομα τοῦ θεοῦ, καὶ τὸ πράττειν ἐπὶ κακῷ ἢ ὀλέθρῳ τοῦ πλησίον, δέον προσεύχεσθαι ὑπὲρ τῶν ἐπηρεαζόντων ἡμᾶς κατὰ τὴν τοῦ χριστοῦ ἐντολὴν, ἢ ἑρμηνέυς, ὅτι δοῦλον κυρίου οὐ δεῖ μάχεσθαι ἀλλ' ἤπιον εἶναι πρὸς πάντας διδακτικὸν, ἀνεξίκακον ἐν πραότητι. καὶ ὅτι δεῖ ἡμᾶς ὑπομονητικοὺς εἶναι, ὥστε καὶ τῇ δοκιμῇ λιπέσθαι χώραν, καὶ κτήσασθαι τὴν ἀνεπαίσχυντον ἐλπίδα. καὶ ὁ ἀπόστολος ἐν τοῖς τοῦ πνεύματος καρποῖς καὶ τὴν πραότητα κατατέθειμεν. παρανομοῦσι δὲ καθόλου ἐνταῦθα πάντες οἵτινες μὴ δοξάζουσι τὸν θεὸν ἐν τῷ λέγειν καὶ πράττειν κατὰ τὸν βίον ὅσα θεοσεβῆ καὶ καλὰ καὶ εὔσχημα καὶ εὐάρεστα αὐτῷ ἐστι καὶ πρὸς οἰκοδομὴν τείνει τῶν ἄλλων. οὗτοί εἰσιν οἱ μὴ ἀξίως τῆς κλήσεως περιπατοῦντες ἢ καταισχύνοντες τὸ εὐαγγέλιον χριστοῦ, καὶ τὰς τῶν ἀσθενῶν

ψυχὰς

ψυχὰς τραυματίζοντες, καὶ ὥσπερ ἀφο-δεύοντες καὶ μὴ κατακρύψαντες τὴν ἀ-σχημοσύνην ἐν περεμβολῇ κυρίου.

η.

Απηγόρευται ἐνταῦθα, ἥ τε τοῦ καζομνύναι προπέτεια, καὶ τῶν ἐπιορκιῶν βεβηλό-της, τὸ μὲν γὰρ ὀμόσαι ἀφ᾽ ἑαυτοῦ ἐκ προ-αιρέσεως κακῆς ἢ καὶ ἔθους πονηροῦ ἀκόλα-στον τε καὶ ἀπρεπέστατον καὶ μισητὸν ἐστι πα-ρά τε θεῷ καὶ τοῖς ἀνθρώποις. οἱ δ᾽ ἐπι-ορκήσαντες καὶ δίκας ἔτισαν ἀεὶ βαρυτά-τας, καὶ ἄξιοί εἰσιν ἐκτίσαι, διότι ἐπ᾽ ἀδί-κῳ ὤμοσαν ἐπιμαρτυράμενοι τὸ θεῖον. ἔστι δὲ τῆς ἐντολῆς ἡ γνώμη, ὡς συνελόντι εἰ-πεῖν, ὅτι δεῖ οὐ μόνον πεπεῖσθαι θεὸν εἶναι, ἀλ λὰ λόγῳ θ᾽ ἅμα καὶ ἔργῳ τὴν θεοσέβειαν ἐμφανίσαι. τοῦτο δ᾽ ἐν τέτταρσι μάλιστα θεω-ρεῖται, ἐν ταῖς προσευχαῖς, ἐν ταῖς δεήσε-σιν, ἐν ταῖς εὐχαριστίαις, ἐν τοῖς ὕμνοις. καὶ ἐκ ταύτης δῆλον ὅτι φυσικῆς ἐννοίας κα-τά τε τὰς τῶν ἁγίων καὶ φιλοθέων πατέ-ρων ὑποθήκας, πᾶσαι αἱ θρησκεῖαι ἀρχὴν εἰλήφασιν. καὶ πάντων τῶν αἰνέσεων πρω-τεύουσιν ἀεὶ παρὰ πᾶσιν, αἱ περὶ τῶν τοῦ θείου τιμῶν καὶ σεβασμῶν. ὅθεν ἐστὶ τοῦτο πεποίηται:

οἱ δ᾽

Οἱ δ' ἀεὶ βούλονται θεοὶ μεμνῆσθαι ἐφετμῶν.

Καὶ ἡγεῖταί τις δεῖν εὔχεσθαι, ὅτι πάντες δὲ θεῶν χατέουσ' ἄνθρωποι. ὁ δὲ θέογνις λέγει,

Θεοῖς εὔχου τοῖς ἐστὶ μέγα κράτος.

Ο δὲ τοῦ πλάτωνος τίμαιός φησι. τοῦτό γε δὴ πάντες ὅσοι καὶ κατὰ βραχὺ σωφροσύνης μετέχουσιν, ἐπὶ πάσῃ ὁρμῇ καὶ σμικροῦ καὶ μεγάλου πράγματος θεὸν ἀεί που καλοῦσιν. τὸ δὲ τῶν ἀχαιῶν τεῖχος, διότι θεῶν ἀέκητι τέτυκτο,

Αθανάτων, τὸ κ' οὔτι πολὺν χρόνον ἔμπεδον ἦεν.

Καὶ ὅπως μήτις τῷ τῆς πολυθείας ὀνόματι ἐνταῦθα ἐπιτιμήσῃ. ἐν τοῖς ἔμπροσθεν γὰρ περὶ τῆς φυσικῆς παραφθορᾶς, καὶ τῶν αἰτιῶν τῆς ἀσεβείας διειλέχθημεν. τοῦτο δὲ νυνὶ πρόκειται δεῖξαι, ὅτι φυσικόν πως ἐστὶ νόμιμον, τὸ κελεῦον θρησκείαις τε θεραπεύειν τὸ θεῖον καὶ εὐσεβεῖν προσευχομένους τε καὶ ἐνορκοῦντας. ἐπειδὴ γὰρ ὁ ὀμνύων μάρτυρα τὸν θεὸν ἐποίησεν, οὐκ ἂν ἔχοι λόγον, τὸ ψεῦδος, ὡς ὑπὸ θεῷ μάρτυρι εἰρημένον, ἀτιμώρητον εἶναι. διὰ τοῦτο καὶ ὑπὸ τοὺς ἀπογόνους, τὰς ὀφειλομένας τοῖς ἐπι-

ἐπιόρκοις ἐκδικήσεις ἐφικέσθαι πεπίστευται ἐκ τῶν συμβῆναι ἱστορηθέντων, ἣν μήτις πρότερον πανωλεθρίᾳ, τὸ λεγόμενον, καὶ πανοικεὶ, πρόῤῥιζος ἐκτριφθῇ, κατὰ τὸ παρ' ἡροδότῳ περὶ τοῦ γλαύκου διήγημα, τοῦ ἐπὶ διανοηθέντος μόνον περὶ τοῦ νοσφίσαι τὴν παρακαταθήκην ἐπιορκήσαντα. τὰ δὲ τοῦ ἡσιόδου γνώριμα, ὡς νήκεστον ἀάτην, ὅτις ἑκὼν ἐπίορκον ὀμόσσας ψεύσεται. φασὶ δέ τινα κορίνθιον ἐπιορκήσαντά ποτε, δοκεῖν ἀεί που νύκτωρ καθεύδοντα δάκνεσθαι ὑπὸ γαλῶν, καὶ οὕτω διαποροῦντα τέλος ἀνελεῖν ἑαυτόν. ὁ δὲ θέογνις, ὅστις ὅρκῳ ἀδίκῳ ἐκτήσατό τι, οὗτος φησίν,

Αὐτίκα μὲν γὰρ φέρειν κέρδος δοκεῖ. ἐς δὲ τελευτὴν (νόος.
Αὖθις ἔγεντο κακὸν. θεῶν δ' ὑπερέσχε
καὶ αὖθις: (λισι
Ἀλλ' ὁ μὲν αὐτὸς τίσε κακὸν χρέος, ὃς δὲ φί-
Ἄτην ἐξοπίσω παισὶν ἐπεκρέμασε.

Τὸ μὲν οὖν τοῦ εὐριπίδου, κομψότατα εἰρημένον, ἡ γλῶσσ' ὀμώμοχ' ἡ δὲ φρὴν ἀνώμοτος, καὶ τὰ θέατρα ἀπεστράφησαν, συρίττοντά τε καὶ ἀποδοκιμάζοντα. τὸν δὲ ἤτοι λυσάνδρου ἢ φιλίππου λόγον, ὅτι δεῖ τοὺς

παῖδας τοῖς ἀστραγάλοις ἐξαπατᾷν, τοὺς δ' ἄνδρας τοῖς ὅρκοις, ἀνοσιώτατόν τ' οἰητέον, καὶ οἷον ὡς οὐκ ἤδη ἐπάξοντα τὴν προσήκουσαν ἐκδίκησιν τῆς ἀπωλείας.

Περὶ τοῦ ῥητοῦ μὴ ὀμόσαι ὅλως καὶ περὶ εὐχῶν.

Ζητήσεις ἐμπίπτουσιν ἐνταῦθα δύο τῶν μάλιστ' ἀξίων διαλῦσαι. ὧν ἡ πρώτη περὶ τοῦ ῥητοῦ, ἐγὼ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως. πῶς ἄρ' εὑρίσκονται ὀμωμοκότες οἱ προφῆται καὶ ὁ θεὸς αὐτός. ἔπειτα τί ἂν εὖ ἔχοι γινόμενον, διδομένου ποτὲ τοῦ ὅρκου, οἷον ἐν ταῖς διαδικασίαις γενέσθαι φιλεῖ; φαμὲν οὖν, ὅτι ἀπεῖπε τοῖς αὐτοῦ ὁ χριστὸς, τὸ μὴ εὐπετῶς μήτε προχείρως ὀμνύειν, κελεύων δὲ ναί, καὶ οὔ, ἐν ταῖς συνήθεσιν ὁμιλίαις ἀρκεῖσθαι. Τὸ γὰρ περισσόν, φησι, τούτων ἐκ τοῦ πονηροῦ ἐστίν. ἢν δέ τις ἀνάγκη ἡμᾶς καταλάβῃ τοῦ ὀμνύειν, οὐκ ἤδη τὸν ὅρκον ἑκόντες αἱρούμενοι ἡμεῖς, ἀλλὰ διδόμενον καὶ ἐπακτὸν προσδεχόμεθα. ἔπειτα τότ' οὐδαμῶς ἁμαρτάνει ὁ ὀμνύων, ἢν πρῶτον μὲν ὑπὲρ τὴν τοῦ θεοῦ δόξαν, μετέπειτα δὲ πρὸς τὸ χρήσιμον καὶ τὴν ὠφέλειαν τῆς κοινῆς συμ-

βιώσεως χρῆται τῷ ὅρκῳ. πάντως δὲ μεμνησόμεθα μηδαμῶς χρηστέον τῷ ὅρκῳ ἄνευ μεγίστης αἰτίας, εἰ γὰρ καὶ τῶν ἔξω τινὲς, οὐδὲ τὴν ἀρχὴν ῥαδίως ὀμνύναι ὅσιον εἶναι ἀπέφηναν. καὶ ὁ Ἰσοκράτης Δημονίκῳ παραίνεσιν, ἕνεκα χρημάτων μηδαμῶς θεὸν ὀμόσαι, μηδ᾽ ἂν εὐορκεῖν μέλλῃς. ὅσῳ δὴ μᾶλλον πεφυλαγμένως εἰκὸς ἔχειν τοὺς χριστιανοὺς, καὶ φεύγειν τὸ φιλορκεῖν, ἄλλως τε καὶ τῆς ἐντολῆς διαῤῥήδην τὴν τοῦ ὀμνύναι εὐχέρειαν καὶ ῥᾳδιουργίαν ἀπαγορευούσης.

Ζητεῖται πάλιν, περὶ τοῦ ῥητοῦ, μὴ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ κυρίῳ τοὺς ὅρκους σου, πότερον πᾶσαν εὐχὴν, ἥν περ ἂν εὔξαιτο, ἀποτελέσαι, καὶ ὅσα ὤμοσέ τις ἐποιῆσαι χρή; ἔστι δὲ ἡ λύσις αὐτόθεν ἐκ τοῦ ῥητοῦ φανερὰ, ὅθι πρόσκειται τὸ, ἀποδώσεις τῷ κυρίῳ. τὰ δὲ διὰ ἁμαρτίας πραττόμενα, οὐ μή ποτ᾽ ἀποδοθῇ τῷ κυρίῳ. προσήκει δὲ τὸ τῶν ὅρκων ἄθραυστον καὶ ἀπαράβατον, οὐκ εἶναι ἄρα τῆς ἁμαρτίας καταστατικὸν, ἀλλὰ τῆς δικαιοσύνης συμβιβαστικόν. οὐ τοίνυν ἔχρην οὔτε τὸν Ἡρώδην ὀμόσαντα προσίεσθαι τὴν ἀνόσιον καὶ διάπτυστον αἴτησιν

τῆς ὀρχηστρίδος, ὅτε τινὰ τὰς ψυχὰς ἃς ἠνύξατο ἐκτίσαι, ἐὰν κατανοήσῃ ἐν τῷ φυλάξαι ἀδικίαν καὶ ἀνομίαν, τὸ μάλιστ' εἰ ἀσέβημά τι ἐνορῴη αὐταῖς συντελούμενον. κἀκ τούτων γνοίη τις ἂν σαφῶς, ὅτι πολλὰς τῶν ἐν τῇ ἐκκλησιαστικῇ πολιτείᾳ ἐπιπολαζουσῶν ψυχῶν, ἄμεινον ἀκυρῶσαι μᾶλλον ἢ συντηρῆσαι. περὶ ὧν καὶ διακρίνειν ῥάδιον τῷ πνευματικῷ καὶ φιλαλήθει. οἱ γὰρ φάσκουσι διδάσκοντες, ταύτην εἶναι τὴν ἐθελοθρησκείαν, οἵαν ἀξιωθῆναι τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ θείας χάριτος, φοβερὸν τὸ ψεῦδός ἐστι, καὶ αἰσχρὸν τὸ τῆς σωζούσης καὶ ἐλευθερούσης ἀληθείας ἀγνόημα, τῷ ἕνα καὶ μόνον εἶναι τὸν υἱὸν τοῦ θεοῦ, οὗτινος αἵματι κατηλλάγημεν τῷ θεῷ, καὶ δι' οὗ ἔχομεν ἀπολύτρωσιν, τὴν ἄφεσιν ἁμαρτιῶν, πάντα εἰρηνοποιήσαντος διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ. ἀλλὰ περὶ τούτων ἅλις, ἔν γε τῷ παρόντι.

Ἁμαρτίαι κατὰ τῆς τρίτης τῶν ἐντολῶν.

Τὸ τρίτον τοῦτο νομικὸν κεφάλαιον περιέχει διάταξιν περί τε καιροῦ τῶν θρησκειῶν

σκηνῶν καὶ τόπου καὶ τρόπου. καὶ οὐδὲν ἧττον νομιστέον γενικὴν εἶναι ταύτην τὴν διαγόρευσιν, εἰ καὶ πρός τε τὸ ἰουδαϊκὸν φῦλον ἰδίως ἐπετηδεύθη, καὶ διωρισμένον χρόνον τοῦ φυλαχθησομένου προλέγει. τοῦτο γὰρ ἐνταῦθα τὸ εἶδος, δῆλον ὅτι θετόν ἐστιν. ἐκεῖνα δὲ περὶ τῆς τοῦ θεοῦ θεραπείας, ἅπερ εἴπομεν, τῆς φυσικῆς καὶ ἀμεταβλήτου προαιρέσεως μέρος ὑπάρχειν ἡγητέον. ἀκόλουθον γάρ, εἴπερ ὀφείλομεν τὸν θεὸν τιμᾶν πρὸς τοῦτο δημοσίως συνέρχεσθαι. ἐντεῦθεν αἱ, τε τῶν πανηγύρεων καὶ ἀγώνων καὶ θυσιῶν καὶ πομπῶν παρ' ἕλλησι καθιερώσεις παρεσήχθησαν, ὅτι τὰ ταῖς ἑορταῖς προσήκοντα καιροῖς τε καὶ τόποις καὶ τρόπῳ διαληφθῆναι ἀνάγκη. ἡμῶν δὲ τῶν ἐν ἀληθείᾳ τοῦ θεοῦ θρησκευόντων αἱ εὐφημίαι τῶν προσευχῶν καὶ τῶν δεήσεων καὶ τῆς εὐχαριστίας καὶ τῶν ὕμνων εἰσίν, αἷς λογικαῖς δῆτα θυσίαις οὔσαις γεραίρομεν τὸν ἕνα καὶ μόνον θεὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα. καὶ συναγόμεθα τοίνυν καὶ συνερχόμεθα ἐπὶ τοῦτο, ὡς ἔοικεν, εὐσχημόνως καὶ συντεταγμένως, πρὸς τὸ δοξάσαι τὸν θεόν, ὥσπερ ἡ ἐντολὴ κελεύει, λέγουσα τὴν τῶν σαββάτων

ἡμέραν ἁγιάζειν. ἀνοιστέον ἄρα πρὸς αὐτὴν τὰ πρὸς ἅπαν ἐκκλησιαστικὸν τάγμα ἀνήκοντα, καὶ τὰς τῶν λειτουργιῶν τελετὰς, καὶ τὴν τῶν μυστηρίων μεταχείρισιν, καὶ τὰ κανονικὰ τῶν διακοσμήσεων, καὶ τῶν θείων τε καὶ ἀποστολικῶν παραδόσεων φυλακήν. διὰ ταῦτ᾽ ἄρα ἀπειθοῦσι παρ᾽ ἡμῖν τῇ ἐντολῇ.

α.

Οἱ καταφρονηταὶ τῶν ἐκκλησιαστικῶν συνάξεων, καὶ τῆς εὐαγγελικῆς πολιτείας, καὶ τοῦ κηρύγματος ἀμελοῦντες ἢ ὀκνηρῶς καὶ ἀκηδῶς ἀκούοντες.

β΄.

Τῶν μυστηρίων ἤτοι μὴ μεταλαβεῖν σπουδαίως, ἢ μετέχειν ἀναξίως, ἢ τὸ ὑβριστικῶς ἀπέχεσθαι, παρὰ ταύτην τὴν ἐντολὴν παρανομεῖται.

γ΄.

Τὰς ἑορτασίμους τῶν ἡμερῶν μετενεγκεῖν εἰς ἄλλας τινὰς ἀσχολίας, δι᾽ ὧν ἐμποδίζοιτ᾽ ἂν ὁ ἁγιασμός. αἴσχιστον δὲ τὸ συμποσίοις τότε ἢ παιδιαῖς ἐνδιατρίβειν, καιρόν τε καὶ σπουδὴν εὐσεβῶν μελετῶν, εἰς ἀσελγειῶν καὶ ἀτοπιῶν ἄνοιαν καὶ κουφό-

τῆτα μεταβάλλειν. ἔστι δὲ κἀνταῦθα τὸ σκάνδαλον μέγα, καὶ οὐ μόνον τὸ πρᾶγμα ἀξιέλεγκτον, ἀλλὰ καὶ τὸ παράδειγμα βλαβερόν.

δ'.

Τὰς λειτουργήσεις μὴ τελεῖν καὶ τοῖς κηρύγμασι μὴ προσέχειν ἐπιμελῶς, μήτε καθαρῶς τε καὶ ἀδιαστρόφως προστατεῖν ἐκείνου. οἷον ὅταν λυμαίνηται ἡ τῶν λειτουργῶν νωθρότης καὶ ῥαθυμία τοῖς ἐκκλησιαστικοῖς πράγμασι, καὶ μᾶλλον ὅταν θρησκείας καθιστῶσιν ἐξευρίσκοντές τινας ἤτοι παντελῶς ἀσεβεῖς, ἢ παρεφθαρμένας, καὶ τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀσυμφώνους, καὶ ἐπισκοτιζούσας τῇ ἀληθείᾳ. οὗτοί εἰσιν οἱ ἐκ τῶν ἐκκλησιαστικῶν ὑπηρεσιῶν καὶ λατρειῶν, χρηματισμὸν καὶ πορισμὸν ποιούμενοι, καὶ πωλοῦντες τὰ ἱερατικὰ τέλη, καὶ τραπεζίταις μᾶλλον ἢ ἱερεῦσιν ἐοικότες. εἰσὶ δὲ αἱ τοιαῦται τῶν πλεονεξιῶν καὶ ἐργασιῶν παντάπασιν ἀφόρητοι, καὶ αἴτιαι ἐγένοντο καὶ ἔσονται αἴτιαι τῷ ἐκκλησιαστικῷ συστήματι μεγάλων κακῶν καὶ ὁλοσχεροῦς μεταβολῆς.

ε'.

Τὸ σὺν πιστοὺς κήρυκας τοῦ λόγου καὶ ποι-

μένας καὶ διδασκάλους μὴ ὠφελεῖν, μᾶλλον δὲ βλάπτειν, ἤτοι ὑφαιρεθέντων τῶν ἀναγκαίων ὅσων τε πρὸς διατροφὴν καὶ σκέπην χρείαν ὁ τῶν ἀνθρώπων βίος ἔχει. ἢ καὶ διὰ ἀτιμίας ἀχθέντων αὐτῶν, ἢ καὶ παντάπασιν ἀπελαθέντων καὶ ἐκδιωχθέντων ὑπὸ τῶν τῆς ἀληθείας τὰ ἡδέα καὶ κοσμικὰ προτιμώντων. ὡσαύτως καὶ τὸ, τῆς καλῆς παιδείας ἀμελεῖν, μὴ δὲ διαφυλάττειν αὐτὴν, παράνομόν τε ἐστὶ, καὶ σφόδρα ἁμαρτάνουσιν οἱ μὴ αὔξοντες μήτε περιέποντες τοὺς σχολαστικοὺς συλλόγους τῶν εὐσεβῶν κατὰ τὸ ἐπιβάλλον καὶ δυνατόν.

Περὶ τῆς τοῦ σαββατισμοῦ ἀλληγορίας.

Ὅτι μὲν δὴ ἡ τοῦ σαββάτου ἐντολὴ πρὸς τὸ ἰουδαϊκὸν φῦλον κυρίως ἐπετηδεύθη, οὐδὲν γ᾽ ἧττον γενικὴ οὖσα κατ᾽ ἀφορισμὸν τοῦ καιροῦ καὶ τρόπου τῆς εὐσεβοῦς θρησκείας, ἐν τοῖς ἔμπροσθεν ἐλέχθη, τινὲς δὲ καθ᾽ ὑπόνοιαν ἐκ τῶν προφητικῶν λόγων τὴν περὶ σαββάτου διάταξιν, πρὸς τὴν εἰρήνην ἐκδέχονται ἐν ᾗ ἀναπαύονται οἱ πιστοὶ καὶ ἑορτάζουσιν ὑμνοῦντες τὸν θεὸν διὰ ἰησοῦ χριστοῦ, καὶ πρὸς τὸ ἀργῆσαι παντάπασιν ἐκ

κακίας

κακίας καὶ ἀνομίας. καὶ φασὶν ὅτι ἴνδαλμά πως τῶν περὶ τῆς μετὰ τὴν ἀνάστασιν ἐσομένης ζωῆς αἰωνίου σὺν χριστῷ. τότε γὰρ πάντων καμάτων καὶ πραγμάτων ἐλεύθεροι, μεθ' ἁγίων ἀγγέλων ἀδιαλείπτως τὸν θεὸν ὑμνήσουσιν οἱ πεπιστευκότες διὰ τῆς χάριτος κηρύγματι, καὶ ὑπακούσαντες ῥήματι τοῦ θεοῦ, καὶ ἔσται τότε ἑορτὴ ἀΐδιος καὶ ἀέναος ὅλη ἡ τῶν σωθέντων διαγωγή. ἧς ἀρχὴ ἡ τῆς πίστεως ἐνταῦθα πολιτεία, ὥσπερ καὶ τῆς βασιλείας τοῦ θεοῦ, ἡ τῆς ἐκκλησίας ἐπίγειος οἰκονομία, τοῦ τέλους ἀποκειμένου ἐν ταῖς οὐρανίαις ποτὲ ἐσομέναις πανηγύρεσι, τῇ ἀνεπαισχύντῳ τῶν πιστῶν ἐλπίδι. εἰσὶ δὴ ταῦτα οὐκ ἄλλῳ τρόπῳ ἠλληγορημένα, καὶ σαφῆ μαρτύρια ἔχουσι τῶν προφητικῶν ῥητῶν, οἷον τοῦ ἡσαΐου λβ'. ἔσται τὰ ἔργα δικαιοσύνης εἰρήνη, καὶ κρατήσει ἡ δικαιοσύνη ἀνάπαυσιν, καὶ πεποιθότες ἔσονται ἕως τοῦ αἰῶνος. καὶ οϛ'. ἔσται μὴν ἐκ μηνὸς, καὶ σάββατον ἐκ σαββάτου. ἔστι δὲ καὶ σαββατισμὸς συνεχὴς, ἡ ὁλοσχερὴς καὶ ἀπρόκειτος ὑπακοὴ τῶν πειθομένων ῥήματι θεοῦ, καὶ ἀποταττόντων πᾶσι τοῖς ἑαυτῶν. καθάπερ ὁ αὐτὸς προφήτης ἐπαγγελλόμενος

τῷ ἰσραῆλι ἀτελεύτητον εὐδαιμονίαν, ἐάν, φησιν, ἀποστρέψῃς τὸν πόδα σου ἀπὸ τῶν σαββάτων τοῦ μὴ ποιεῖν τὰ θελήματά σου ἐν τῇ ἡμέρᾳ τῇ ἁγίᾳ, καὶ καλέσῃς τὰ σάββατα τρυφερὰ ἅγια τῷ θεῷ σου. καὶ ταῦτα μὲν, ὡς εἴπομεν, εὖ ἠλληγόρηται, πάντως δ' ἐκεῖνο ἀληθὲς εἶναι νομιστέον, τὸ ἐνταῦθα τήν τε τῆς θρησκείας ὁσιότητα καὶ τὴν λειτουργιῶν διακονίαν παραγγέλλεσθαι, τὸ δὲ πρᾶγμα ἅπαν διαστέλλεσθαι χρεὼν καὶ συντάττεσθαι ἔκ τε ῥήματος καὶ κατὰ λόγον τοῦ θεοῦ. αὐτὴ γὰρ ἡ ὑπογραφὴ τηρητέα ἀμετάθετος, καὶ πᾶν τὸ ἐναντιούμενον ἢ καὶ ὁπωσοῦν ἀπᾷδον, οὔτε προσφιλὲς τῷ θεῷ οὔτε προσδεκτὸν τῇ ἐκκλησίᾳ χριστοῦ ἡγητέον.

Περὶ παραδόσεων καὶ διατάξεων ἐκκλησιαστικῶν.

Οὔσης τῆς ἐντολῆς παραγγελτικῆς τῶν θρησκειῶν, ζητεῖται ἐνταῦθα περί τε τῶν ἐκκλησιαστικῶν θεσμῶν καὶ τῆς καλουμένης αὐθεντίας τοῦ νομοθετεῖν ἢ κανονίζειν ἐν ἐκκλησίᾳ, καὶ ἐν λόγῳ προέδρων καὶ ἀρχῶν ἐκκλησιαστικῶν. ὄντος δὲ τοῦ ζητή-

ματος

ματος τῶν πάνυ χαλεπῶν, καὶ περὶ τοῦ πάν-
ποτε τὴν τῆς εὐσεβείας πολιτείαν ἤτοι σω-
ζόντων ἢ διαφθειρόντων, καὶ νυνὶ τούτου
κινηθέντος, παντοίων ἅμα ταραχῶν ἐγερ-
θεισῶν, ἡμεῖς μὲν οὐκ ἐσμὲν οἷοι τὰ ἐμπίπτον-
τα ἀμφισβητήματα διαλῦσαι, καὶ εἴη αὖ
τόδε οὐδαμῶς κατηχητικὸν, ἀλλ' ἐρευνητι-
κὸν περὶ τῶν μεγίστων. οὐ μὴν ἀλλ' ἐπειδὴ
τὰ τῆς ἐκκλησιαστικῆς πολιτείας, ὥσπερ οἰ-
κίας παλαιᾶς καὶ ἠμελημένης ἐν τούτῳ μά-
λιστα κάμνει καὶ οἱονεὶ σαλεύεται, εὖ ἂν ἕξειν
ᾠόμεθα διὰ βραχέων καὶ περὶ τούτου ὑπο-
θέσθαι ὑμῖν τῶν προὔργου τι, πρός τε τὸ τῆς
γνώμης ἀσφαλὲς καὶ τῆς ἀποκρίσεως, εἰ ταύ-
της ποτὲ χρεία γένοιτο, εὔστοχον. ἰστέον τοί-
νυν ὅτι διττὸς ὁ περὶ θρησκείας λόγος. ὁ
μὲν πρῶτος τε καὶ τῆς ἀληθοῦς καὶ ἀρεσκού-
σης τῷ θεῷ θρησκείας συστατικὸς, τὸ ποιῆ-
σαι ὅσα ἐντέταλται ὁ κύριος, καὶ λατρεύειν
αὐτῷ κατὰ τὸ ῥῆμα αὐτοῦ, μήτε ἀφαιρού-
μενον μήτε προστιθέντα. δεύτερος δὲ ὁ συμ-
βεβηκότος τόπον ἐπέχων, τὸ ὑπηρετεῖν
τὴν ἡμετέραν φρόνησιν καὶ σπουδὴν, τῇ
θείᾳ βουλήσει, καὶ πάντα εὐσχημόνως καὶ νο-
μίμως διαπρᾶξαί τε καὶ καταστῆσαι καθ'

ἑκά-

ἑκάστην τε χώραν καὶ πόλιν, ὥστε μηδὲν γε-
νέσθαι ἀτάκτως καὶ θορυβωδῶς μᾶλλον δὲ
μεταχειρίζεσθαι εὐλαβῶς καὶ νουνεχόντως
ἅπαντα, ὡς ἐνώπιον τοῦ θεοῦ καὶ τῶν ἀγγέ-
λων. ὅτι δὲ τὰς τῆς εὐσεβείας θρησκείας
καὶ λατρείας, οὐκ ἐθελεῖ κατὰ τὴν ἀνθρω-
πίνην δόξαν ἀλλὰ πρὸς τὴν ἑαυτοῦ ὑφήγη-
σιν ἐκτελεῖσθαι ὁ θεὸς, πάντων μάλιστα δεῖ
πεπεῖσθαι ἡμᾶς, καὶ ἐκ τῶν ἁγίων γραφῶν
φαίνεται δεικνύμενον. λέγει γὰρ ὁ κύριος
διὰ ἱερεμίου. ζ΄. τὸ ῥῆμα τοῦτο ἐνετειλάμην αὐ-
τοῖς λέγων. ἀκούσατε τῆς φωνῆς μου καὶ ἔσο-
μαι ὑμῖν εἰς θεὸν καὶ ὑμεῖς ἔσεσθαί μοι εἰς
λαὸν, καὶ πορεύσεσθαι ἐν πάσαις ὁδοῖς μου
αἷς ἂν ἐντέλωμαι ὑμῖν, ὅπως εὖ ἂν ἔη ὑ-
μῖν. καὶ πάλιν. ἀκούσατε τῆς φωνῆς μου καὶ
ποιήσατε πάντα ὅσα ἐὰν ἐντέλωμαι ὑμῖν.
καὶ αὐτὸς ὁ σωτὴρ προσχρησάμενος τῷ διὰ
ἠσαΐου εἰρημένῳ, ἐπιτιμᾷ τοῖς διὰ ἀνθρωπί-
νων ἐνθυμήσεων καὶ ἐκ παραδόσεως σέβε-
σθαι τὸν θεὸν προῃρημένοις, εὖ προεφήτευ-
σε περὶ ὑμῶν, φησὶν, ὑποκριταὶ, ὁ ἠσαΐ-
ας λέγων, ἐγγίζει μοι ὁ λαὸς οὗτος ἐν τῷ
στόματι αὐτοῦ καὶ ἐν τοῖς χείλεσιν αὐτῶν τι-
μῶσί με, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέ-

χεῖ ἀπ' ἐμοῦ. μάτην δὲ σέβονται με διδάσκοντες ἐντάλματα ἀνθρώπων καὶ διδασκαλίαν. καὶ ὁ ἠσαΐας αὖθις, δι' ἐμέ, φησιν, ἁγιάζουσι τὸ ὄνομά μου. ἐκ δὴ τούτων φανερόν, ὅτι πᾶσαν θρησκείαν ὀφείλουσαν γε ἀρέσκειν τῷ θεῷ, καὶ τῆς εὐλαβείας καὶ ὁσιότητος ὀνόματος ἀξιωθησομένην, δεῖ ἠρτῆσθαι ἐκ μόνης τῆς τοῦ θεοῦ ῥήματος ἐντολῆς καὶ διατάξεως, καὶ πᾶν τὸ ἐκτὸς αὐτοῦ θρησκείαν καὶ σεβασμὸν νομιζόμενον εἰδωλολατρείας οὐδὲν διαφέρειν ἡγητέον. οὐδὲν γὰρ εἰδωλοποιόν ἐστιν ἄλλο ἤπερ ἡ τῆς διανοίας διαγλυφὴ καὶ ἐκτύπωσις, αὕτη δὲ ἐστι ψευδὴς ὑπόληψις περὶ τῆς εὐσεβείας, ἐν τῷ προσέχειν τὴν γνώμην λογικοῖς τισι καὶ ψυχικοῖς θεωρήμασι καὶ μὴ ἀκουούσης τὸ λαλούμενον ἐν αὐτῇ πρὸς κυρίου διὰ προφητικῶν καὶ ἀποστολικῶν λόγων. οὕτω γὰρ διαστροφὴ γίνεται ταχεῖα τῆς ἀληθείας καὶ ἀντιπαράστασις τῶν ψευδῶν, ἃ μισεῖ εἰς τοὔσχατον ὁ θεός. διὸ καὶ ὁ ἱερεμίας σαφῶς ἀπεῖπεν, ὅτι οὐδ' ἐνετείλατο ὁ θεὸς περὶ ὁλοκαυτωμάτων καὶ θυσιῶν, ἀλλὰ περὶ τοῦ ἀκοῦσαι τῆς φωνῆς αὐτοῦ. καὶ παραφθορὰ γίνεται τότε τῆς ἀληθοῦς καὶ ὑπὸ τοῦ θεοῦ νομο-

τεθη-

τεθητέσης θρησκείας. δι᾽ ἣν μάλιστα αἰτίαν αἱ ὁλοσχερεῖς ἀπώλειαι ἐπιπέμπονται θεόθεν ταῖς τε πόλεσι καὶ τοῖς ἔθνεσιν. ὥς φησιν ἀμὼς προφήτης, καὶ ἀπεξελέξατο ὁ ἅγιος στέφανος. μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι, οἶκος ἰσραὴλ, τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ, καὶ ἀνελάβετε τὴν σκηνὴν μολὸχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν ῥεμφαὶν, τοὺς τύπους οὓς ἐποιήσατε ἑαυτοῖς, καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα δαμασκοῦ. ἀνάγκη ἄρα πάντα τὰ ἐν τῇ ἐκκλησίᾳ πραττόμενα καὶ ἐπιτηδευόμενα, ἤτοι κατὰ ῥητὸν τῆς θείας ἐντολῆς καὶ διατάξεως γίνεσθαι, ἢ τῆς γε διανοίας αὐτοῦ μὴ ἁμαρτεῖν. τὰ μὲν οὖν τοῦ ῥητοῦ φανερὰ, τὰ δὲ τῆς διανοίας ἀκριβεστέρας δεῖται ἐξετάσεως, περὶ ἧς ὅτε δήποτε συνέβη ἑτεροδοξίαν ἐμπεσεῖν, οἱ ἅγιοι καὶ εὐσεβεῖς καὶ ἔμπειροι τῶν γεγραμμένων λογίων ἐπίσκοποι καὶ προστάται τῆς ἐκκλησίας, συνελθόντες διεσκέψαντο, καὶ κατὰ τὸ ἐκ τῶν ἱερῶν γραφῶν πεισάμενοι διέλυσαν τἀμφίβολα, καὶ τὸ ψεῦδος ἐξορίσαντες ἀνεθεμάτισαν. ἕως μὲν οὖν τούτου σχεδὸν ἀναμφίλογον γίνεται τὸ πρᾶγμα. τὸ δ᾽ ἑπόμενον ζήτημα, περί τε τῶν θεσμῶν

ἐκκλη-

ἐκκλησιαστικῶν, καὶ τῶν φατιζομένων παρα-
δόσεων, ποικιλωτέραν τε ἔχει θεωρίαν καὶ
ἀπορίαν πλείονα. Πρὸ πάντων δ' ὅμως
τοῦτο κρατυνθήτω ἀμφοτέραις, φασί, τὸ μὴ
εἶναι ἐν ἐκκλησίᾳ παράγγελμα μηδὲν οἷον ἀΐ-
διον καὶ ἀμετάβολον καὶ ἀναγκαῖον δια-
παντός, παρεκτὸς τῶν ῥητῶς διὰ ῥήματος
τοῦ θεοῦ διαταχθέντων. αὐτὰ γάρ ἐστιν ἃ
παρέδοσαν ταῖς ἐκκλησίαις οἱ ἀπόστολοι λα-
βόντες παρὰ κυρίου, ἐν οἷς πρώτη ἡ τῆς διδα-
χῆς καὶ τοῦ κηρύγματός ἐστι παράδοσις, ἀεί
τε κυρία οὖσα καὶ ἀνεξάλειπτος παντάπα-
σι. καὶ μετὰ ταύτην ἡ τῶν μυστηρίων καὶ τῆς
ἁγίας καὶ θεοπρεποῦς ἀναστροφῆς, ἀδιάγρα-
πτος καὶ αὐτή. τρίτην δὲ χώραν ἐπέχουσιν
αἱ παραδόσεις τῶν διατάξεων καὶ θεσμῶν
ἀναλογοῦσαι τῇ τῆς πίστεως διδαχῇ καὶ συμ-
φωνοῦσαι ταῖς ἐγγράφοις καὶ προδήλοις τῶν
παραγγελιῶν τοῦ τε χριστοῦ καὶ τῶν ἀποστόλων.
ἃς καὶ αὐτὰς οὐδαμῶς παραβαίνειν ἀδιακρί-
τως ἔξεστιν, οὐ μέντοι παντάπασι καὶ πάν-
τοτε καὶ πανταχοῦ ὁμοίως ἀμεταθέτους εἶναι
νομιστέον. ἰσχύουσι γὰρ αὐταὶ αἱ παραδό-
σεις, ὥσπερ τε χρόνον τινὰ καὶ παρ' ἔθνει ἢ πό-
λει, καὶ καιροῖς οἰκείοις, καὶ ἅτινες ἄλλαι εἰσὶ
τῶν

τῶν περιστάσεων δι' ἃς τηρεῖσθαι ἀξιοῦνται, ὥστε πάντα γενέσθαι εὐσχημόνως καὶ κοσμίως καὶ εὐλαβῶς, ἐν ταῖς ἐκκλησιαστικαῖς πραγματείαις καὶ συνάξεσι. παράδειγμα δὲ καὶ τεκμήριον σαφὲς καὶ μέγα, τὸ μὴ εἶναι ἁπλῶς ἀλύτους τὰς τοιαύτας τῶν διατάξεων, τὸ καὶ τὴν πρώτην τῶν ἀποστόλων συνοδικὴν θεσμοθέτησιν μετέπειτα ἀθετηθῆναι, οὐ δή γε καταφρονούντων τοῦ ἀποστολικοῦ ἀξιώματος τῶν ἀμελησάντων, ἀλλ' ἁπλῇ διανοίᾳ τῆς κοινῆς ἐλευθερίας ἀντεχομένων, ἥνπερ ἐν τοῖς πρώτιστα παράδοσιν ἠπίσαντο δεξάμενοι. δεῖ δὲ ἀπεῖναι δηλαδὴ τοῦτον τῶν παραδόσεων γένους, τό, τε ἐναντιούμενον τῷ θεοῦ ῥήματι, καὶ τὸ παραφθεῖρον τὴν αἰωνίαν καὶ ἀΐδιον τῆς ἀληθείας παράδοσιν, κατὰ συμφωνίαν ὁμόλογον καὶ συνεχῆ πάντων ἁγίων ἀπὸ καταβολῆς τοῦ κόσμου. ἔπεται ἄρα ταῖς παραδόσεσιν, ὅσαι τοιαῦται, ἤτοι αὐτῶν τῶν ἀποστόλων λεγόμεναι, ἢ τῶν μετ' ἐκείνους προστατούντων τῆς ἐκκλησίας, τοιαύτην ἀξίαν περιάπτει, ὥστε μὴ ἴσον κρατεῖσθαι ἀξιοῦν ταῖς γραφικαῖς παραγγελίαις περὶ ὧν ἀμφισβήτησις οὐδεμία ἐστίν, ἢ καὶ τὴν τῆς ἀληθείας (ὅς ἐστι λόγος θεοῦ, ἰωαν. ιζ'.)

σωτη-

σωτηρίαν, καὶ τῆς εὐσεβείας ἀνάγκην, καὶ τὴν ἐλπίδα τῆς πίστεως περιτίθησιν ἐκείναις, τούτου οὐκέτι ἀκροατέον, ὥσπερ κατασπῶντος καὶ ἀναιροῦντος τὸ θεμέλιον τῆς σωτηριώδους διδαχῆς καὶ τοῦ εὐαγγελικοῦ κηρύγματος. ὅσα δὲ μήτε ἐναντιούμενα τῷ θείῳ ῥήματι μήτε πλανῶντα καὶ ἀπάγοντα τὴν διάνοιαν τῆς ἀληθείας, μήτε ψευδῆ δόξαν περὶ τῆς εὐσεβείας παριστάνοντα, χρήσιμα δὲ καὶ εὔσχημα καὶ καλά, καὶ προσφιλῆ, ἢ ὁπωσοῦν ἐφαρμόζοντα, τῷ τε καιρῷ καὶ τόπῳ καὶ τρόπῳ τοῦ παρόντος ἀεὶ βίου, ὅσα, φημὶ ἐγώ, τοιαῦτα οἱ προεστηκότες τῶν ἐκκλησιαστικῶν πολιτειῶν καὶ διοικήσεων, ἑκάστοτε, πρὸς οἰκοδομὴν τῆς ἐκκλησίας, καὶ ζωῆς ἐναρέτου ἐθισμὸν νομοθετοῦσι, περὶ τῶν μέσων ἢ ἀδιαφόρων λεγομένων, οἷάπερ ἐστὶν ὅσα προαγορεύειν εἰώθασι καὶ ψηφίζεσθαι περὶ στολῶν ἱεροπρεπῶν. περὶ ἡμερῶν ἑορτασίμων ἢ μή. περὶ καιροῦ καὶ τόπου συνάξεων. περὶ νηστειῶν καὶ διαίτης καθηκούσης. περὶ τῶν ᾠδῶν καὶ ὕμνων καὶ προσευχῶν δημοσίων. καί, ὡς συνελόντι εἰπεῖν, περὶ σχήματός τινος τῆς ἐκκλησιαστικῆς πολιτείας, ταῦτ᾽ ἄρα, οὐ κατ᾽ ἀνάγ-

κὴν, ἢ δεισιδαιμονίαν, οὐδ᾽ ὡς ζυγόν τινα ἐπιθέσθαι καὶ βρόχον ἐμβαλεῖν τοῖς πιστοῖς, ἀλλ᾽ ἐκ συμφώνου καὶ εὐσεβοῦς λογισμοῦ πρὸς διόρθωσιν τῆς ἀκαταστασίας, ἀπ᾽ ἐπιεικοῦς τινὸς καὶ μετρίου φρονήματος, ἐπιταττόμενά τε καὶ παραδιδόμενα, ἐπὶ πάντη φυλακτέα, καὶ οὐδαμῶς αὐθαδείᾳ τινὶ περιτρεπτέα, ἢ καινονοίᾳ διαβλητέα ἐστί. μᾶλλον δὲ ὅσοι ἀπειθοῦσι τούτοις, αὐτοί τε μεγάλως ἁμαρτάνουσι, καὶ ἐκείνους ὡς θορυβοποιοὺς καὶ στασιαστὰς καὶ καχέκτας παραιτεῖσθαι ἢ καὶ ἀποσκευάζεσθαι χρὴ πάντως. ὥσπερ δὲ τούτοις τοῖς ἐριστικοῖς καὶ τολμηροῖς οὐδαμῶς ἐπιτρεπτέον, ἀλλ᾽ ὡς ὑβρισταῖς καὶ ἐκταράσσουσι τὴν ἐκκλησίαν προθύμως ὁμόσε ἰτέον, οὕτω δὴ τὰ εἰσαγόμενα καὶ προφερόμενα, ὡς παραδοθέντα ὑπὸ τῶν πάλαι, ἢ καὶ προβαλλόμενα νεώτερόν τι κράτος καὶ ἀξίωμα, προσίεσθαι χρὴ οὐδαμῶς, ὄντα γε αὐτὰ οἷάπερ εἴπομεν, ἤτοι μαχόμενα ταῖς γραφικαῖς ἀποδείξεσιν, ἢ τὸ δόγμα τοῦ κηρύγματος καὶ τὴν τῆς πίστεως ὑγιῆ διδαχὴν παραφθείροντα. καὶ ἐστὶ μὲν γνῶναι τε καὶ διαστεῖλαι ταῦτα ἔργον οὐδενί, τοῖς μὴ πρὸς ἀλήθειαν φιλονεικεῖν προῃρημένοις.

μένοις. ὅσων δὲ γνώμη καὶ σύνεσις, ἐπισκοπεῖ ἐφ᾽ ἑκάτερα, ἢ περὶ φιλοτιμίας, δεινὸν κακὸν, κατὰ τὴν τραγωδίαν, ἢ τὸ κενόδοξον, ἢ αὔθαδες, ἢ καὶ φιλάργυρον καὶ φιλήδονον, ἢ τοιοῦτό τι ἄλλο, τῶν εἰωθότων τυφλοῦν τὴν διάνοιαν καὶ διαστρέφειν τὰς φρένας, τούτοις οὐκ ἔστιν οὐδ᾽ ἔσται κακῆς ἔριδος ἀνάπαυσις. οὓς δὲ ἀπολιπόντος τῇ δικαιοκρισίᾳ τοῦ θεοῦ, ἀντεχώμεθα, κατὰ τὸ δυνατὸν, περὶ προφανοῦς ἀληθείας. ὁπότε τοίνυν λέγῃ τις, ὅτι παραδέδοται τι (φαμὲν γὰρ ὅτι καὶ ταῖς παραδόσεσι χρηστέον) τότε, διὰ τὸ τοῦ χρόνου μῆκος καὶ τοῦ λόγου ἀμφίβολον, καὶ τῶν πραγμάτων παρεφθαρμένον, ζητητέον αὖ εἰη δύο τάδε μάλιστα, πότερον ἔστιν ἡ παράδοσις περὶ πίστεως καὶ τῶν παρεπομένων αὐτῇ, ἢ ἄλλως περὶ πολιτείας καὶ τῶν θεσμῶν ἐκκλησιαστικῶν. τὰ μὲν οὖν τοῦ προτέρου εἴδους συνάδειν διαπαντα ἀνάγκη ταῖς ἀποστολικαῖς καὶ προφητικαῖς γραφαῖς, αἳ θεόπνευστοι εἰσί τε καὶ καλοῦνται, μᾶλλον δὲ χρὴ ἀπεκδοχὰς εἶναι τούτων, ὥστε ἐκ μόνου καὶ φανεροῦ τοῦ θεοῦ ῥήματος ἰσχὺν δὲ αὐθεντίαν λαβεῖν. κατὰ τὸ εἰρημένον ἐν τῇ προτέρᾳ πρὸς κορινθίους ἐπι

στολῇ, ὑπὸ παύλου, παρέδωκα ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον, ὅτι χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς. καὶ τὰ λοιπά. ἔτι περὶ τούτων. ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ κύριος ἰησοῦς. καὶ τὰ λοιπά. εἰ δέ τις δογματίζειν τολμᾷ τι παρὰ τὰ γεγραμμένα, οὗτος, ὡς τῶν τοῦ χριστοῦ προβάτων ἀλλοτρίας φωνῆς οὐδαμῶς ἀκουσόντων, οὕτως γινωσκέτω. οἷον, λόγου ἕνεκα, εἴ τις τὰ περὶ τῶν εἰκόνων καὶ λειψάνων ἀπὸ τῶν ἁγίων ποτὲ γεγονότων ἀνδρῶν, πρόδηλα ψεύδη, πρεσβεύειν ἔτι βούλοιτο, τὰ γὰρ πάλαι ἐθνικῆς εἰδωλολατρείας οὐδὲν διαφέροντα. τὸ δ' ἕτερον εἶδος ἐχέτω καὶ αὐτὸ τὸ αὐτοῦ κῦρος, οἷον εἰκός, οὐ μέντοι δογματικὸν καὶ ἀμετάβολον καὶ ἀΐδιον, ἀλλ' ὡς θετικὸν καὶ διατακτικὸν τοῦ καλοῦ καὶ κοσμίου χάριν. ὥσπερ τὸ τοὺς ἄνδρας ἀκατακαλύπτῳ κεφαλῇ προσεύχεσθαι, κεκαλυμμένῃ δὲ τὰς γυναῖκας. καὶ τοὺς ἱερατευομένους πρέπουσαν στολὴν ἀμφιέννυσθαι. καὶ νομίσωμεν ὀρθῶς πεποιηκέναι Εὐλάβιον τὸν ἐπίσκοπον καθηρηκότα τὸν ἴδιον υἱὸν Εὐστάθιον, διότι ἀνάρμοστον τῇ ἱερωσύνῃ στολὴν ἠμφίεστο. ὃ

καὶ

καὶ τὰ αἱρετικὰ δόγματα προσενεχθέντα ὕ-
στερον ὑπ' αὐτοῦ, τὸ τῆς φύσεως κακόηθες,
καὶ ἀδόκιμον τοῦ νοῦ, προδήλως ἐξήλεγ-
ξαν. δεῖ δὴ προεδρείας τε εἶναι καὶ τεθῆναι
νόμους καὶ κανόνας τινὰς τῆς κατὰ τόπους καὶ
βίους καὶ καιροὺς διαφόρους τῆς ἐκκλησιαστι-
κῶν διαχειρίσεως, εἰ μή τι πάντα βουλοίμε-
θα συγκεχύσθαι. πρὸς δὲ ταῦτα τὰ τῶν ἐθῶν
καὶ τῆς καταστάσεως διατάγματα προσά-
πτειν ὁσιότητά τινα θρησκευτικήν, ἢ ἐξι-
λάσεις, ἢ ἀξιώσεις καὶ τιμὰς καὶ δικαιοσύνην
ἐνώπιον τοῦ θεοῦ, καὶ προσαγωγὴν ἔργων
οἰκείων, ταῦτα καὶ τοιουτότροπ' ἄλλα μα-
χόμενα δῆθεν ἄντικρυ τῇ τῆς ἀληθείας δι-
δαχῇ καὶ τῇ τῶν ἱερῶν γραμμάτων παραδόσει,
καὶ τῆς ἐκκλησίας ὁμόφρονι γνώμῃ, ἀποδο-
κιμαστέα τε καὶ φευκτέα ἐστίν, ὥσπερ λοι-
μὸν ἀληθείας καὶ πίστεως, καὶ λύμην τῆς δια-
θήκης τοῦ χριστοῦ. καὶ πᾶσι τούτοις ἀντιθείη
τις ἂν εὐκαίρως τὴν τῶν ἀποστόλων πρὸς τοὺς
ἀρχιερεῖς ἀπολογίαν ἐν ταῖς πράξεσιν, ὅτι
πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις. εἰ
δὲ καὶ τῶν παλαιῶν τινὲς ἀδιορίστως μᾶλ-
λον καὶ ἀνεξετάστως περὶ τούτων διελέχ-
θησαν, οὐκ ἐχρῆν ἄρα, πρὸς τὸ ἐπισφαλὲς καὶ

ἐπικίνδυνον καὶ δὴ καὶ μοχθηρὸν τῶν πρατ-
τομένων, καὶ τὴν ἀπέραντον τῆς προεδρείας
ἐξουσίαν, τοῦ δογματίζειν ἐν ἐκκλησίᾳ ἐλευ-
θερωθείσῃ τῷ αἵματι τοῦ υἱοῦ θεοῦ, ἐκεῖνα τε
παρατεθῆναι, καὶ τὸ ψεῦδος δι' αὐτῶν κα-
θοπλισθῆναι, ὥστε γινόμενον ἰσχυρότερον
τὴν ἀλήθειαν βιάζεσθαι καὶ πιέζειν. καὶ ἦν ὁ-
σιώτερόν τε καὶ δικαιότερον δοκιμάζειν
τὰ εἰρημένα, καὶ ἐξετάζειν τὰ γιγνόμενα,
καὶ ἐλέγχειν τὰς ἁμαρτίας, καὶ μὴ ὥσπερ ἐν
νόσῳ κολακεύειν τὸ πάθος, καὶ περιστέλ-
λειν καὶ συγκαλύπτειν τὸ κακόν, μήπως
ἀναφανὲν αἰσχύνην τινὰ ἐπιφέροι, θεραπεί-
ας δ' ὅμως δύναιτο τυχεῖν. ἀλλὰ ταῦτα
μὲν ἤδη κατ' εὐχὴν λέγεσθαι μᾶλλον ἢ οἷά
τε εἶναι γενέσθαι, οἰηθείη τις ἄν. οὐ γὰρ δόξαν
θεοῦ ζητοῦσιν, ἀλλὰ τὴν παρ' ἀνθρώπων οἱ
πλεῖστοι. δεῖ δ' ὅμως εἰρῆσθαι τἀληθές, ἵνα
ἀποστραφῇ πᾶς τις ὁ σώζεσθαι ἐθέλων, ἀπὸ
τοῦ ψεύδους καὶ ἀκολουθήσειε τῇ ἀληθείᾳ,
ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ, ὥσπερ
τῷ Τιμοθέῳ ὁ ἅγιος Παῦλος παρήγγελλεν·
ἔσεσθαι γὰρ καιρόν, ὅτε τῆς ὑγιαινούσης δι-
δασκαλίας οὐκ ἀνέξονται, ἀλλὰ κατὰ τὰς
ἐπιθυμίας τὰς ἰδίας, ἑαυτοῖς ἐπισωρεύου-
σι δι-

σι διδασκάλους κινηθόμενοι τὴν ἀκοὴν. καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. νήφειν ἄρα δεῖ, οὐκ ἀπειθοῦντας, ἀλλὰ διαφυλάττοντας τὴν τῆς ἀληθείας πίστιν ἐπὶ πάντα. ἡμεῖς δὲ τὸν λόγον ἐνταῦθα καταπαύσαντες, ἐπ' ἄλλας ἤδη προχωρῶμεν τῶν ἐντολῶν.

Περὶ τετάρτης τῶν ἐντολῶν.

Ενταυθοῖ μὲν οἱ πλεῖστοι τὴν τοῦ δευτέρας πλακὸς ἀρχὴν, καὶ ἀριθμοῦντες τετάρτην πεποιήκασι ταύτην τὴν ἐντολήν. ὁ δὲ ἰώσηπος ἀρχαιολογῶν τὰ ἰουδαϊκὰ, τοὺς μὲν καταλελειμμένους ὑπὸ μωσεῖ δέκα λόγους, οὐ θεμιτὸν, φησι, φανερῶς πρὸς λέξιν ἐξαγορεῦσαι. τὰς δυνάμεις δὲ δηλώσας οὕτω καταλέγει. τὸ δὲ περὶ τοῦ κεκρύφθαι κατ' αὐτὸν δεούσης ἐξαγορεύσεως ὁμοίως ὥσπερ καὶ τἄλλα πλεῖστα παρὰ τὴν ξυγγραφεῖ, τῆς ἰουδαϊκῆς φρενοβλαβείας ἔχεται, ἀλλ' ἐκείνου ὅμως ἡ διήγησίς ἐστιν ἥδε. διδάσκει μὲν οὖν ἡμᾶς ὁ πρῶτος λόγος, ὅτι θεός ἐστιν εἷς, καὶ δεῖ τοῦτον σέβεσθαι μόνον.

ὁ δὲ δεύτερος κελεύει, μηδενὸς εἰκόνα ζώου ποιήσαντας προσκυνεῖν.

ὁ τρίτος δ' αὖθις μηδενὶ φαύλῳ τὸν θεὸν ὀμνύναι.

ὁ δὲ τέταρτος παρατηρεῖν τὰς ἑβδομάδας ἀναπαυομένους ἀπὸ παντὸς ἔργου.

ὁ δὲ πέμπτος γονεῖς τιμᾶν.

ὁ δὲ ἕκτος ἀποσχέσθαι φόνου.

ὁ δὲ ἕβδομος, μὴ μοιχεύειν.

ὁ δὲ ὄγδοος, μὴ κλοπὴν δρᾶν.

ὁ δὲ ἔνατος, μὴ ψευδομαρτυρεῖν.

ὁ δὲ δέκατος, μηδενὸς ἀλλοτρίου ἐπιθυμίαν λαμβάνειν. καὶ ἕπονται μὲν καὶ ταύτῃ τῇ τάξει τινές. ἡμῖν δὲ οὐ τόσον σπουδαστέον, (ὄντος μέντοι καὶ τούτου τῶν πρὸς τὴν τῆς εὐσεβείας κατήχησιν ἀναγκαίων) περὶ τὸ ἀπαριθμῆσαι καὶ διαστεῖλαι ῥηματίοις τὰς ἐντολάς, ὅσον τῇ ψυχῇ ἐγχαράξαι καὶ τῇ μελέτῃ διορεῖσαι αὐτάς. εἴη δ' οὖν, ἡ τετάρτη τῶν ἐντολῶν, κατὰ τὴν εἰθισμένην διάταξιν, ἡ κελεύουσα τιμᾶν τοὺς γονεῖς. καὶ κατ' ἀκολουθίαν πρέπουσαν, χωρίζουσα τὰ σύνταγμα ἑπτὰ κεφάλαια τῶν προτέρων τεσσάρων, ὡς τῶν μὲν διασαφούντων τὰ περὶ τὸ θεῖον, καὶ ἃ θρησκευτικὰ ἰδίως λέγεται, τῶνδε μᾶλλον τὸν ἀνθρώπινον βίον καταρρυθμούντων, οἷον τρόπον ἐν κοινωνίᾳ τῇ πρὸς

ἀλλή-

ἀλλήλους τοὺς εὐσεβοῦντας διάγειν, καὶ πῶς συναναστρέφεσθαι χρὴ αὐτούς, ὑπακούοντας μὲν ταῖς τοῦ θεοῦ παραγγελίαις, ἀμέμπτως δὲ πρὸς τοὺς πέλας περαίνοντας τὸν τῆς ἐνθάδε παροικίας χρόνον. ἔστι δὲ ταῦτα σχεδὸν περὶ ὧν τε οἱ φιλόσοφοι λόγους ποιοῦνται διαλεγόμενοι περὶ ἀρετῆς καὶ κακίας, καὶ οἱ νομοθέται πραγματεύονται, προαιροῦντες ἅτε πράττων τις καὶ ὧν ἀπεχόμενος εὖ τε καὶ καθηκόντως διαβιώη, καὶ τῶν νομικῶν ἐπιτιμίων τὰς ζημίας φεύγων πολίτου χρηστοῦ χώραν ἐπέχοι. καὶ διδάσκουσιν οἱ φιλοσοφοῦντες ὅτι φύσει καλόν τε καὶ ἐπαινετόν ἐστιν ἡ ἀρετή, ψεκτὴ δὲ καὶ αἰσχρὰ ἡ κακία. τὴν δ' ἀρετὴν φασὶν εἶναι, ἕξιν τινὰ τῆς ψυχῆς προῃρημένης πράττειν ὅσα ἂν ὀρθῶς λόγος ὑποθοῖτο. ὀρθὸν δὲ λόγον, τὴν τῆς διανοίας ἀκέραιον κρίσιν, ἔμφυτον οὖσαν περί τε τῶν πρακτέων καὶ φευκτέων. ὅτι δὲ ἡ ἀρετὴ καὶ τῷ θεῷ προσφιλὴς καὶ τοῖς ἀνθρώποις εὐδόκιμος, εἰρήκασι πάντες σχεδὸν οἱ περὶ αὐτῆς μνείαν πεποιημένοι. ὁ γοῦν Πλάτων λέγει σαφῶς ὅτι ὁ σώφρων τῷ θεῷ φίλος, καὶ ὅτι πᾶς ὅ τε ὑπὲρ γῆς καὶ ὑπὸ γῆν χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος.

καὶ ποιητοῦ τινὸς φέρεται τάδε,

Τοῦ γὰρ δικαίου κᾂν βροτοῖσι κᾂν θεοῖς,
Ἀθάνατος ἀεὶ δόξα διατελεῖ μόνου.

Ἐξ ὧν φανερὸν ὅτι φυσικόν τε νόμιμόν ἐστι, καὶ τῇ τοῦ θεοῦ ἐπιτάξει ἐκυρώθη, τὸ κατ' ἀρετὴν ζῆν τοὺς ἀνθρώπους. ἡ δ' ἀνθρωπίνη ἔννοια εἶναι πέποιθεν, ὅτι,

Ἐσθλῶν μὲν ἀνδρὶ ἐσθλὰ καὶ διδοῖ θεός.

καὶ, τὸ σωφρονεῖν τε καὶ σέβειν τὰ τῶν θεῶν κάλλιστον, κατὰ τὸν Εὐριπίδην.

ὅστις δὲ βροτῶν
κακὸς πέφυκε ζημιοῦσιν οἱ θεοί.

Οὐ μέντοι τῆς τοῦ θεοῦ βουλήσεως καὶ τιμῆς στοχάζεται, ἀλλ' ἐφίεται ἀγαθοῦ τινος καὶ λυσιτελοῦς ἐκ τῆς τοιαύτης σπουδῆς συμβησομένου. οὐ μεμοιραμένοι γὰρ εὐσεβοῦσί τε καὶ φιλόθεοι δοκεῖν εἶναι βούλονται οἱ ἄνθρωποι, σφαλλόμενοι δὲ καὶ δυσπραγοῦντες, δεινολογοῦνται καὶ θεοῦ τε καὶ ἀνθρώπων κατηγοροῦντες, ἕως ἄρα καὶ πρὸς ἀσέβειαν ἐσχάτην ἐξοκείλαντες, καὶ ἄθεοι γενόμενοι, οὐδὲ τὸ θεῖον ἔτι φάσκουσιν εἶναι οἷόν γε φύσει τε ὂν ἀεὶ καὶ αὐτοκρατορικὴν δύναμιν ἔχον, καὶ προνοητικὸν τῶν ἀνθρωπίνων καὶ ὅλως κυβερνητικὸν τοῦ κόσμου. ἄλλοτε γοῦν

ἐπ'

ἐπ᾽ ἄλλα τρεπομένη ἡ διάνοια, οὐδ᾽ ἐν περὶ τοῦ θεοῦ βέβαιον συλλογίζεσθαι δύναται, ὅθεν καὶ ἡ ἐν τραγωδίᾳ δυστυχὴς ἑκάβη, ἡδονὴν λαβοῦσα ὑπὲρ τῇ τῆς ἑλένης προσδοκωμένῃ τιμωρίᾳ, τοιῶνδ᾽ ἦκε λέγουσα, ἅπερ νοοῦσιν ἐν ταῖς φορτικαῖς τῶν περιστάσεων οἱ ἀνήκοοι τῆς θείας ἀληθείας καὶ ἀπειθεῖς τῶν ἀνθρώπων. φησὶ τοίνυν ἡ ἑκάβη τάδ᾽ ἐκβοήσασα,

ὦ γῆς ὄχημα κἀπὶ γῆς ἔχων ἕδραν,
ὅστις ποτ᾽ εἶ σὺ, δυσόπαστος εἰδέναι
ζεὺς, εἴτ᾽ ἀνάγκη φύσεως, εἴτε νοῦς βροτῶν.

ὁρᾶτε, ὅτι ἡ γυνὴ ἐν ἑαυτῇ περισκοποῦσα τὸ θεῖον, πάντας τοῦ θεοῦ ἁμαρτάνει. αὐτόθεν ἐβλάστησαν καὶ τὰ πρωταγόρεια περὶ τῶν ἀρετῶν σοφίσματα, καὶ τὰ ἐπικούρου ἄθεα δόγματα, καὶ τῶν φασκόντων, νόμῳ ἐπὶ ὑπολήψει εἶναι τὰ καλὰ, οὐ φύσει. οἷα τίς ἐστιν ἡ τοῦ πολυάρχου φλυαρία παρ᾽ ἀθηναίῳ ἐν τῇ. ιβ΄. καὶ φέρεται ἀρχελάου δόγμα τὸ αὐτό. ἡμῖν δὲ πρὸ πάντων ἀναμφίλογον ἔστω, τὸ τὰς ἐνάρετους πράξεις πλείστην ὅσην ῥοπὴν ἔχειν πρὸς τὸ ὁπωσδήποτ᾽ οὖν εὐδαιμονεῖν ἐν τῷ βίῳ τούτῳ, εἶναί τε αὐτὰς δι᾽ αὐτῶν αἱρετὰς, ἢ ἀληθέστερον εἰπεῖν, διὰ

τὸ

τὸ τοῦ θεοῦ θέλημα. ὃς τοιαύτην ἀξίωσιν αὐταῖς περιθεῖναι εὐδόκησεν. ὅσα τοίνυν καὶ παρὰ φιλοσόφοις τοῖς ταύτην ὑποθεμένοις ὑπόθεσιν λαμπρῶς καὶ μεγαλοπρεπῶς ἐῤῥήθη, ἐκεῖνα ὠφελίμως τε καὶ ὀρθῶς ἔχειν ἡγητέον, καὶ εἶναι ἀληθῆ. τὸ γὰρ καλὸν, ὥς εἶπέ τις τῶν ἐκκλησιαστικῶν συγγραφέων, ἔνθα ἂν ᾖ, ἴδιον τῆς ἀληθείας ἐστί. τὸ δὲ τέλος ἐπιμελέστατ' ἀεὶ προσαπτέον, τὴν τε τῷ θεῷ ὀφειλομένην ὑπακοὴν, καὶ τὸ ἀναφέρειν ἐπ' αὐτὴν, ἅπασαν οἱονεὶ ὑπηρεσίαν τῆς ἡμετέρας καλοκαγαθοποιΐας. ὅτι γὰρ τοὺς τὴν θείαν εὐλάβειαν ἀσκοῦντας ἀνάγκη φιλοτιμεῖσθαι περὶ τὰς τοιαύτας τῶν πράξεων, καὶ ἐδείξαμεν ἐν τοῖς πρότερον, καὶ πανταχοῦ τὰ τῆς ἀποστολικῆς διδασκαλίας παραγγέλματα παρίστησι. τὸ δὲ πέριττον καὶ ἐξαίρετον τῆς εὐσεβείας, ἐστὶ κἀνταῦθα ἡ πρὸς τὸν θεὸν ἀποβλέπουσα γνώμη τε καὶ προθυμία τοῦ κατ' ἀρετὴν ζῆν ἐννόμως, ἥπερ ἐν μόνοις ἔνι τοῖς γινώσκουσί τε τὸν θεὸν καὶ ἐν ἐπιγνώσει σέβουσιν, οἳ οὐδ' ἕνιοι εἰσὶν ἄλλοι πλὴν ὅσοι προσδέχονται τὸ εὐαγγέλιον, ὥστε κατὰ τὸν ἅγιον παῦλον, τέλος εἶναι τοῦ νόμου χριστὸν εἰς δικαιοσύνην παν-

τὶ

τῇ τῷ πιστεύοντι. καὶ ἵνα ἡμεῖς κομιζώμεθα τὸ τέλος τῆς πίστεως ἡμῶν, σωτηρίαν ψυχῶν, ὥς φησιν ὁ πέτρος. οὐκ ἄρα ὁ σωκράτης ἐγκρατευσάμενος, καὶ τοῖς νόμοις πειθόμενος, καὶ ἀνδρείας τὸν ἀδίκως καταγνωσθέντα θάνατον ὑπενεγκὼν, θεοφιλής. πῶς γάρ; πολλοῦ γε καὶ δεῖ, ὅσπερ ἀλλότριος μὲν ἐγένετο τῆς ἀληθοῦς τοῦ θεοῦ ἐπιγνώσεως. πίστις δὲ ἥτις ἐστὶ τῶν ὑπ' αὐτοῦ τοῦ θεοῦ, περί τε τῆς φύσεως καὶ τοῦ θελήματος ἰδίου φανερωθέντων, οἶδεν οὐδ' ἀρχήν. τῆς δὲ πεποιθήσεως τῆς ἐπὶ τὸ ἔλεος τοῦ θεοῦ διὰ τὸν χριστὸν, καὶ τῶν δεήσεων κατεγέλασ' ἂν ἀκούσας. ὁ δὲ παῦλος ἐν πᾶσι τούτοις καὶ ὁμοίοις ἄλλοις ἔργοις καλοῖς ἀναστρεφόμενος, ἐνάρεστός τε ἐστὶ τῷ θεῷ καὶ ἀγαπᾶται ὑπ' αὐτοῦ, ὅτι καὶ εὐσεβεῖ περὶ τὴν ἐπίγνωσιν, καὶ πιστός ἐστιν ἐν τῷ ὑπακούειν τῷ θελήματι αὐτοῦ, καὶ τοῦ τέλους ἀεὶ ἐφίεται, τοῦ τιμᾶν τε καὶ δοξάζειν τὸν θεὸν ἐν ἀγαθοποιΐᾳ. ἀλλὰ καὶ περὶ τούτων ἐφθάσαμεν ἤδη προειρηκότες οὐκ ὀλίγα. δήλου τοίνυν ὄντος, ὅτι ἅπαντα τὰ νομίμως πραττόμενα, καὶ τὰ καλὰ τῶν ἔργων, σεβάσματος καὶ θρησκείας τρόπον κατέ-

κατέχει ἐν τοῖς πιστοῖς, ἐν ἄλλοις δὲ δημώδης καὶ πολιτικὴ μόνον ἐστὶν ἀρετὴ, καὶ ἀνθρώπινον ἀγαθὸν, οὕτω νῦν περὶ τῶν προκειμένων εἴπωμεν τὰ λειπόμενα.

Τὴν περὶ τῆς τῶν γονέων τιμῆς ἐντολὴν ὡς γενικὴν ἐκδέχεσθαι χρή. πᾶν γὰρ κράτος καὶ τὸ κύριον τῆς ἐξουσίας ἐπὶ ταύτῃ τῇ ἐντολῇ ὥσπερ στερεῷ τινι θεμελίῳ ἱδρυμένον ἵσταται, καὶ ἠσφάλισται. οὐ γὰρ μόνον οἱ γεννήσαντες καὶ αἱ τεκοῦσαι πατέρες καὶ μητέρες εἰσί τε καὶ λέγονται, ἀλλ' ὅσοι προστατοῦντες περιέπουσί τε ἡμᾶς καὶ δεομένοις βοηθείας ὑπερέχουσι τὴν χεῖρα, καὶ ἐκ τῶν δεινῶν ῥύονται, καὶ ὅλως ὠφελείας τινός εἰσιν αἴτιοι, καὶ ὥσπερ πλεόντων ἐν θαλάσσῃ κυβερνῆταί εἰσι τοῦ βιοπόρου σκάφους, καὶ ὅσοι διδάσκοντες προτρέπουσιν ἐπὶ τὰ βελτίω. διόπερ ἐν τῇ συνήθει διαλέξει καὶ πατέρες καλοῦνται οἱ οἰκοδεσπόται, καὶ τὸν Συρίας ὕπαρχον Νααμὰν πατέρα ὀνομάζουσιν οἱ δοῦλοι, καὶ ἐστὶν ὥσπερ τῶν τέκνων οὕτω καὶ τῶν ἄλλων ὑπεξουσίων ἐπίκλησις κοινὴ ἡ τῶν παίδων. ἐστὶ δ' ὁ διάκοσμος οὗτος τῆς θείας ἐνεργείας καὶ κατασκευῆς, ἄρχειν τε καὶ ἐξουσίαν ἔχειν τινὰ,

ἄρχεσθαι

ἄρχεσθαι δὲ καὶ ὑπεξούσια εἶναι ἕτερα, ὥσπερ καὶ ἐν τοῖς οὐρανίοις ἄρχει μὲν ὁ ἥλιος λάμπων καὶ φωταγωγῶν, ἄρχεται δὲ ἡ σελήνη φέγγος ἀποδιδομένη ὅσον ἐνέστιλψεν ἐκεῖνος καὶ οὕτως ἐν διαφόροις σχήμασι φανταζομένη. πάντως ἄρα τὴν τῆς ἀρχῆς κατάστασιν θείαν εἶναι νομιστέον, καὶ οὐχ ὡς ἔτυχε, διὰ τὰς ἀνθρωπίνας χρείας ἐξανατείλασαν οὕτως ἰσχῦσαί τε καὶ αὐξηθεῖσαν βίᾳ διαμεῖναι. ὅταν δὲ λέγῃ ἡ ἐντολή, τιμᾷν τούτους, δῆλον ὅτι καὶ εἶναι αὐτοὺς λέγει πρότερον. ὥσπερ οὖν ἡ γένεσις τῶν τικτομένων ἔργον οὐκ ἔστιν, ἀλλὰ τῆς ἀπὸ τοῦ θεοῦ φυσικῆς τῶν συνδυαζομένων δυνάμεως, οὕτω καὶ τὸ εἶναι ἄρχοντάς τε καὶ ἀρχομένους, οὐκ αἰτιατέον τὴν ἀνθρωπίνην ἀγχίνοιαν ἢ φροντίδα, ἀλλὰ τὴν τῆς θείας προνοίας διαταγήν. πρῶτον οὖν αὐτοὶ οἱ φυσικοὶ γονεῖς καὶ ὅσοι ἄλλοι κατὰ τὴν τοῦ θεοῦ διαταγὴν προστατοῦντες εἰσὶν ἡμῶν, οἷς ὑποβάλλει τοὺς ὑπακούοντας ἡ ἐντολή, μανθανέτωσαν, ὅτι εἰσὶ μετὰ τὸν θεὸν χρῆμα αὐτοὶ τιμιώτατον καὶ τέλος ἐπιφανέστατον, καὶ οἱονεὶ τόπον ἐπὶ γῆς ἐκείνου τηροῦντες, νομοφύλακες ὑπάρχοντες τῶν θείων προσαγορεύσεων, καὶ διά-

κονοι

κονοι τοῦ θεοῦ καὶ λειτουργοί, οὓς ἡ τῶν ἱερῶν γραφῶν γένεθλον ἐκφώνησις καὶ θεοὺς ἀποκαλεῖ, ὄντας ὥσπερ ὑπάρχους ἐν τῇ γῇ τοῦ θεοῦ ἀνθρώπους, καὶ ἐκ τούτων γινοσκέτωσαν οἵαν φροντίδα τῆς λειτουργίας αὐτοὺς, καὶ ὅσην ἐπιμέλειαν ἔχειν χρὴ τῶν ὑφ' αὐτῶν, ὥστε παρέχεσθαί τε ἀσφάλειαν τοῖς ἀρχομένοις καὶ εὑρεθῆναι πιστοὺς διακόνους αὐτοὺς καὶ φρονίμους οἰκονόμους τοῦ θεοῦ. οὐ γάρ τοι πρὸς τὸ βιάζεσθαι καὶ ὑβρίζειν καὶ ὑπερηφανεῖν, ὁ θεὸς ἔκτισε τὰς ἐξουσίας, ἀλλὰ πρὸς τὸ βουλεύεσθαι καὶ πράττειν ἅπαντα τὰ περὶ τῶν ὑποτατομένων σωτηρίαν ἅμα καὶ εὐθηνίαν τείνοντα. αὐτὴ γὰρ τάξις, ἐκείνη δὲ ἀταξία ἐσχάτη γένοιτ' ἂν, ἥνπερ αἰτίαν προσάπτειν τῷ ἀγαθοποιῷ θεῷ, οὐδαμῶς ὅσιον. γινοσκέτωσαν δὲ καὶ τοῦτο. ὅτι καθάπερ ἡ περὶ τῆς γῆς ὑπεροχὴ καὶ δυναστεία καὶ δόξα ἰδίως αὐτῶν ἐστὶν ὥσπερ μισθὸς τῆς λατρείας καὶ τῶν θείων νόμων φυλακῆς, ἐν τῷ τοὺς πονηροὺς τιμωρεῖσθαι, καὶ εὖ ποιεῖν τοὺς χρηστοὺς, οὕτω καὶ τὴν τῆς ῥαθυμίας καὶ μᾶλλον ἔτι τῆς κακίας καὶ ἀσελγείας καὶ ὠμότητος ζημίαν βαρυτάτην ἔσεσθαι. ἔστι δὲ τὸ ἀξίωμα καὶ ἡ σεμνότης οὐδαμῶς οἰκεία

τῶν

τῶν οἷον προσωπεῖον τῶν περικειμένων, ἀλ λὰ τῆς διατάξεως τοῦ θεοῦ. οὐκ ἄρα οἱ δυνατοὶ καὶ μετέχοντες ἐξουσίας ὑψηλοφρονεῖν ἐφ' ἑαυτῶν ὀφείλουσιν, ὥσπερ ὄνος, κατὰ τὴν παροιμίαν, ἄγων μυστήρια. πάντας γὰρ ὁ θεὸς τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται ταπεινῶσαι. ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ, δώσει αὐτὴν, φησὶν ὁ δανιηλός. εὑρεῖν δ' οἷον ἐστὶ ὑπεροχῆς καὶ ἐξουσίας προελθεῖν ὥσπερ βαθμούς τινας, ὡδί πως. α. πατρὸς καὶ μητρὸς πρὸς ἐκγόνους. β'. ἀνδρὸς πρὸς γυναῖκα νομίμην. γ'. διδασκάλου πρὸς τοὺς μαθητάς. δ'. γερόντων πρὸς τοὺς νέους. ε. δεσπότου πρὸς δούλους, καὶ ὅσοι κύριοι ἄλλων τινῶν εἰσι. ς'. ἄρχοντος πρὸς τοὺς ἀρχομένους. τῶν δ' ἀρχόντων εἴδη πολλά. διὸ γενικῶς κελεύει ὁ παῦλος ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι. ὁ δὲ πέτρος διασαφῶν ὡδί πως φησίν. ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει, διὰ τὸν κύριον, εἴτε βασιλεῖ ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν ὡς δι' αὐτοῦ πεμπομένοις, εἰς ἐκδίκησιν μὲν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν.

διαστολὴ τῶν τιμῶν.

Τῆς δ' ἐντολῆς κελευούσης τιμᾶν τοὺς γονεῖς, καὶ ἐπισημαινομένων ἡμῶν ὅτι τὸ αὐτὸ περὶ πασῶν ἐξουσιῶν ὡς γενικὸν διάταγμα ἀποδεκτέον, λοιπὸν ἂν εἴη καὶ τὴν τιμὴν ἐν οἷς ἐστὶν ἐμφανίσαι.

α.

Πρῶτον οὖν ὑπὲρ θεῷ ὑπὲρ τῆς εἰρηνικῆς καὶ κοσμίου καὶ ἡσυχίου καταστάσεως τοῦ βίου, καὶ ἁπάντων ὅσων χρηστῶν ἀπολαύομεν, τῆς τε ζωῆς καὶ τῆς εὐζωΐας μετειληφότες, ὑπὲρ τῶν αὐτῶν γεγεννηκότων καὶ προϊσταμένων ἡμῖν, ἀδιαλείπτως εὐχαριστεῖν καὶ εὔχεσθαι ὀφείλομεν. τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν θεοῦ. ὡς γέγραπται ἐν τῇ προτέρᾳ πρὸς τιμόθεον.

β'.

Δεύτερον, ὀφείλομεν ὑποτάσσεσθαι καὶ ὑπήκοοι εἶναι αὐτῶν, οὐ μόνον διὰ ὀργὴν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν, ὡς γέγραπται ἐν τῇ πρὸς ῥωμαίους ἐπιστολῇ. ὁ γὰρ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκε. οἱ δ' ἀνθεστηκότες κρίμα λήψονται. περὶ δὲ γυναικῶν καὶ τέκνων καὶ δούλων ἐν τῇ πρὸς κολασσαεῖς φησιν ὁ παῦλος, αἱ

γυναῖ-

γυναῖκες ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν. τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα, τοῦτο γάρ ἐστιν εὐάρεστον τῷ κυρίῳ. οἱ δοῦλοι ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλείαις ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας φοβούμενοι τὸν θεόν. κατήκοοι τοίνυν εἰσὶν οἱ ἀγαπῶντες τοὺς γονεῖς καὶ κυρίους καὶ ἡγουμένους, καὶ ὑπηρετοῦντες αὐτοῖς πᾶσαν ὑπηρεσίαν νομίμην, τρέφοντες καὶ περιέποντες κατὰ τὸ δυνατὸν, τοὺς γεννήσαντας, καὶ ὅσοι φέροντες τὸν ὡρισμένον ἔρανον παρά τε τῆς φύσεως καὶ τῶν νόμων, ἀποτελοῦσιν αὐτοῖς ἑκόντες. ὁ δὲ κύων διογένης λυσσῶν ἐξυλάκτησε τὸ, μὴ ἐκτίειν χάριτας τοῖς τεκοῦσι. περὶ δὲ τῶν λατροφῶν καὶ τῶν εἰσφορῶν, γέγραπται καὶ ἐν τῇ πρὸς τιμόθεον, καὶ ἐν τῇ πρὸς ῥωμαίους, ὅπου καὶ πάσας πᾶσιν ὀφειλὰς ἀποδοῦναι κελευόμεθα, τὸν φόρον, τὸ τέλος, τὸν φόβον, τὴν τιμὴν, μηδενὶ μηδὲν ὀφείλοντες εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους.

γ'.

Τρίτον δ' ἂν εἴη ἡ θεραπεία καὶ αἰδὼς, τοῖς τε γονεῦσι καὶ κυρίοις, καὶ τοῖς ἐν τέλει ὀφειλομένη.

λʹ.

Τέταρτον ἡ ἁπλότης ἐν τῷ ὑπηρετεῖν καὶ πειθαρχεῖν. καὶ μὴ συκοφαντεῖν τὰς τῶν κρατούντων πράξεις, καὶ φέρειν εὐκόλως τὰ ἀμπλακήματα. ὥσπερ ὁ πέτρος κελεύει τοὺς οἰκέτας ὑποτάσσεσθαι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις οὐ μόνον τοῖς ἀγαθοῖς ἀλλὰ καὶ τοῖς σκολιοῖς.

Πάντως δ' ἐπισκεπτέον προστάττεσθαι τὴν προσήκουσαν ἀνθρώποις τιμήν. καὶ ὅτι διὰ τοῦτο, ἥτε προσκύνησις πρέπουσα τῷ θεῷ, καὶ ἀποθέωσις τῶν ἀνθρώπων, καὶ πᾶσα θωπεία παρόμοιος, εἰδωλολατρεία πρόδηλος οὖσα φευκτέα. ὡς ὅταν τὸν ἀλέξανδρον ἐθεοποιήσαντο οἱ κόλακες. καὶ οἱ ῥόδιοι πυθόμενοι τοῦ χρηστηρίου, εἰ συμβουλεύει πτολεμαῖον τὸν λάγου ὡς θεὸν, καὶ συγκαταθεμένου τούτου τὸ πτολεμαῖον ᾠκοδόμησαν, ὡς διόδωρος ἱστόρησεν. ἡ δὲ γονυκλισία καὶ πρόσπτωσις ἔννομός τε καὶ ἐν ἔθει γενομένη, οὐδαμῶς ὡς ἀσεβὴς ἀποδιωκτέα.

Ἕως παρατείνεται τὸ τῆς ὑπακοῆς.

Τὸ δὲ ὑπακοῦσαι, νοητέον δηλαδὴ περὶ τῶν ἐπιταττομένων οὔτ' αἰσχρῶν, οὔτ' ἀθεμίστων,

μίσων, οὔτ' ἀσεβῶν ὄντων. πρὸς τοιαῦτα γὰρ ἄντικρυ διαμαχητέον καὶ μηδαμῶς τὴν ἀθετοῦσαν τὸ θέλημα τοῦ θεοῦ ἀξίωσιν, ἔμπροσθεν τῆς φανερᾶς τοῦ θεοῦ βουλήσεως θεῖναι, καὶ ἀεὶ τοῦτο πρόχειρον ἔχειν χρή, ὅτι θεῷ μᾶλλον πειθαρχεῖν δεῖ ἢ τοῖς ἀνθρώποις. τοῖς τοιούτοις ἄρα τῶν ἐπιταγμάτων ἀνδρείως ἐναντιούμενοι, καὶ τὴν ὑπακοὴν ἀκέραιον φυλάττοντες ταῖς ἀϊδίαις τοῦ θείου νόμου ἐντάλμασι, τὸ λοιπὸν ἀναρτήσομεν εἰς τὸν θεόν, καὶ πεισόμεθα ὅτι καὶ δέον. τὰ δ' αἰσχρὰ καὶ ἄνομα, ἀναμφίλογα εἶναι χρή, καὶ μὴ δοκοῦντα ἢ καὶ ὑπολήψεως πλασῆς κατάστασιν ἔχοντα, ἀεὶ δή τινων ὄντων τοῖς πᾶσι δυσφορουμένων. οἳ ὡς ἐπιτὸ πλεῖστον ταρακταί τ' εἰσὶ καὶ νεωτεροποιοί, οἷς ἐπιπληκτέον ὡσδήπως.

ὃν ὁ θεὸς στήσειε τοῦδε χρὴ κλύειν,
καὶ σμικρὰ καὶ δίκαια καὶ τἀναντία.

Δῆλον ὅτι, δοκοῦντα εἶναι τοιάδε τοῖς περιεργαζομένοις καὶ ἐρευνῶσι τἀλλότρια, καὶ ζητοῦσιν ὥσπερ δεσμά τινα τῆς ὑπακοῆς διαρρῆξαι. ἀεὶ γάρ τι εὑρίσκοιεν ἂν οἱ τοιοῦτοι, οἷον ὡς ἄδικον καὶ παράνομον καὶ βίαιον αἰτιᾶσθαι. ἡμεῖς δὲ κελευόμεθα οὐχ

ὅτι μικρολογεῖν περὶ τῶν ἐξουσιαστικῶν μεταχειρήσεων, ἀλλὰ καὶ ὑποτάσσεσθαι τοῖς δυσκολωτέροις, καὶ τὰ πλεῖστα τῶν ἐπιταττόντων οὐχ ὁρᾶν. οὐ τῆς ἰδίας μόνον ἀσφαλείας, ἀλλὰ καὶ τῆς εὐσεβείας ἕνεκα, εἰρηνεύοντας ἐν ὑποταγῇ διὰ τὴν συνείδησιν, ὡς εἴρηται. τὸ γὰρ, τῶν ἐν οἵᾳ δήποτ' ἐξουσίᾳ προεστηκότων τῶν ἄλλων, ἀνηκουστεῖν, καὶ αἰτίας περισκοπῆσαι τοῦ ἀπειθεῖν, ἢ καὶ ἐπιλαβέσθαι σφάλματός τινος, οὐδὲ πρὸς θεοῦ φίλον, καὶ τῆς ἀνθρωπίνης κοινωφελείας βλαπτικόν, ὅθεν ὁ ἀριστοτέλης εὖ τε καὶ χρησίμως παρῄνεσε λέγων ἐν τῷ. β'. τῶν πολιτικῶν, φανερὸν ὡς ἐατέον ἐνίας ἁμαρτίας καὶ τῶν νομοθετῶν καὶ τῶν ἀρχόντων, οὐ γὰρ τοσοῦτον ὠφεληθήσεται κινήσας, ὅσον βλαβήσεται τοῖς ἄρχουσιν ἀπειθεῖν ἐθισθείς.

Ἐπισημειώσαιτο δ' ἄν τις ἐνταῦθα ὅτι οἱ πάλαι ὑπεξουσιαστικοὶ νόμοι ἐκεῖνοι ἀπανθρωπότερόν πως καὶ ἀνεπιεικέστερον, αἷς συνεχωρήθη καὶ τοὺς δούλους καὶ τὰς γαμετὰς τιμωροῦντας τοὺς κυρίους ἄνευ καταχρίσεως, καὶ δὴ καὶ τὰ τέκνα ἀναιρεῖν ἐκθεμένους ἢ ὁπωσοῦν ἐθέλοιεν. εἰ γὰρ στοργὴ ἔμφυτός τε οὖσα καὶ οἰκεία τῆς ὑπὸ τοῦ θεοῦ κτίσεως,

σεως, ἐν τοῖς γονεῦσιν ἂν εἴη πρώτη, ἐπεὶ κατὰ φυσικὴν τὴν ἀκολουθίαν, οὕτω πως ἐπ᾽ αὐτοὺς ἀπὸ τῶν ἐκγόνων παλινδρομήσειεν. τῶν δὲ συγγάμων πρὸς ἀναγκαίαν κοινωνίαν τοῦ βίου καὶ ξυνοικίαν ἐν τελῇ ἰσότιμος ἡ τύχη. ὅσῳ δὲ ἀσθενέστερον τὸ γυναικεῖον φῦλον, τοσούτῳ μείζονος σπουδῆς καὶ ἐπιμελείας ἄξιον. ἡ δὲ πρὸς τοὺς δούλους ὠμότης, παρὰ ἀνθρωπίνης ἅπασι κοινῆς τύχης λήθη γένοιτ᾽ ἄν. δεῖ οὖν τὰ τέκνα τρέφειν ἀπροφασίστως, καὶ τὰς συζύγους στέργειν, οὐχ ἡδονῆς ἀλλὰ παιδοποιίας καὶ ἁγνῆς συνουσίας ἕνεκα ἔχοντας, καὶ κολάζειν γε τοὺς δούλους ἐν δίκῃ, οὐ τυραννικῶς ἀλλ᾽ οἰκοδεσποτικῶς, ἐννοοῦντας ὅτι κατὰ τὸν κωμικὸν, κἂν δοῦλος ᾖ τις, οὐδὲν ἧττον ἄνθρωπος οὗτός ἐστι.

Περὶ τυραννοκτονίας.

Ζητήσειε δ᾽ ἄν τις ἴσως ἐνταῦθα καὶ περὶ τοῦ τῆς τυραννοκτονίας νόμου, τοῦ παρ᾽ Ἕλλησί ποτε κειμένου. ἀλλὰ ταῦθα πρὸς ἡμᾶς οὐδὲν, παρ᾽ οἷς αἱ βασιλεῖαι καὶ δυναστεῖαι νομίμως, ἤτοι αἱρεταὶ ἢ καὶ κατὰ διαδοχὴν διαμένουσαι καθίστανται. διὸ χρὴ ὑποτάττε-

θαι ἅπαντας κατὰ τὰ εἰρημένα. παραιτητέον τοίνυν ἐν τῷ παρόντι τὴν σκέψιν, ὡς ῥητορικοῦ μᾶλλον γυμνάσματος ἢ τῆς εὐσεβείας θεωρήματος δοκοῦσαν εἶναι.

Περὶ ἱεραρχιῶν.

Περὶ δὲ τῶν ἱερατικῶν ἀρχῶν, ἄλλος ἂν εἴη λόγος. νῦν γὰρ πρόκειται διάσκεψις τῶν πρὸς τὴν τῆς ἐνταυθοῖ βίου διαγωγὴν, οὖσαν σωματικήν τε καὶ πολιτικὴν, ἀναφερομένων. εἰς ὃν καὶ γινομένους παρελθεῖν ἅπαντας, καὶ κοινωνοῦντας ταῖς χρείαις οὕτω διαμένειν ἀνάγκη. διόπερ καὶ τοὺς τῆς γενέσεως καὶ λυσιτελοῦς ἀναστροφῆς ἀρχηγοὺς, ὥσπερ μεγίστων εὐεργεσιῶν αἰτίους, ἔπειτα οὐ τιμῶσιν, ὡς δυνατὸν καὶ κατὰ τὸ αὐτοῖς ἐπιβάλλον, ἐκείνους ὡς ἀνοσίῳ ἀχαριστίᾳ μεμολυσμένους, οἵ τ' ἔγγραφοι παρὰ πᾶσιν, ὡς εἰπεῖν, ἀνθρώποις θεσμοὶ κολάζουσι, καὶ τὴν ἐκ θεοῦ δίκην οὐ μὴ διαφύγωσιν ἂν οὔποτε παρανομοῦντες ἐν ἀναισχυντίᾳ τῇ ὑπὲρ πάντα τὰ αἰσχρὰ ἡγεμονευούσῃ. ταῦτα δὲ περὶ τὰς σωματικάς τε καὶ πολιτικὰς προστασίας καὶ κυβερνήσεις καὶ διακοσμήσεις, σκοποῦμεν ἅπαντα, ἐν ᾧπερ ἔδει τὸ ἐκκλησιασι-

κὸν

κὸν κῦρος καὶ τὴν ἱερατικὴν ὑπεροχὴν οὐ τακτέον. εἰ δὲ αὐτοὶ ἰδιοποιοῦντες καταλαμβάνουσι ταύτην οἱονεὶ ἀκρόπολιν τῆς πολιτικῆς δυνάμεως, ἀφαιρούμενοι τῶν κυρίων, οὐκ ὀρθῶς ποιοῦσι λύοντες τὸν θεῖον νόμον τῆς συντάξιας, καὶ ἀντιπαρεισάγοντες ἀκαταστασίαν. ὁ γοῦν χριστὸς κατηγορεῖ βαρέως τῶν φαρισαίων, ἀκυρωσάντων τὴν ἐντολὴν περὶ τιμῆς γονέων, διὰ τὴν ἰδίαν παράδοσιν. Ἔχει δὴ τὸ πρωτεῦον ἐν ἐκκλησίᾳ ἀρχὴν διακονικὴν καὶ διδασκαλικὴν καὶ δὴ καὶ τιμωρητικὴν τῶν ἐν αὐθαδείᾳ καταφρονούντων τῆς ὑγιοῦς διδαχῆς καὶ νουθετήσεων ἠπιωτέρων. καὶ εἰσαῦθις θεραπευτικὴν καὶ παρηγορικὴν τῶν ἀναστρεψάντων καὶ μετανοησάντων. καὶ ἐπιτέτραπται τούτοις πνευματική τις ἀλλ' οὐ σαρκικὴ ἐπιμέλεια. καὶ τούτου τοῦ διαφόρου μεμνησόμεθα, ὥστε μὴ ἐν τῇ συγχύσει τῶν μεγίστων πλανωμένους ἀποτυχεῖν τῆς ἀληθείας, καὶ βαρύτατα ζημιωθῆναι κατὰ τοῦτο τὸ μέρος. διέστειλε δὲ τὰς ἀρχὰς ὁ χριστὸς αὐτὸς ἐμφανῶς, λέγων, ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν, οὐχ οὕτως ἔσται ἐν ὑμῖν, καὶ

πάλιν, οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται, ὑμεῖς δὲ οὐχ᾽ οὕτως. εἴπισι τοίνυν ἄλλοις τῶν ἐν προεδρία ὄντων, καὶ τοῖς τῇ ἐκκλησία τοῦ θεοῦ προϊσαμένοις ὀφείλεται ὑπακοὴ καὶ τιμή. ταύτῃ γὰρ ἀρχῇ ἅπασαι ἄλλαι ὑποβέβληνται, ὅπου γ᾽ αὐτὴ ἐν τῇ τῶν οὐρανῶν βασιλεία ἀναγορεύεται, ἐκεῖναι δὲ ἐν τῇ γῇ δυναστεύουσι. τὸ δ᾽ ἀξίωμα τῆς ἐκκλησιαστικῆς προστασίας εἴτις φαῦλον καὶ εὐκαταφρόνητον ἡγεῖται, ἐκεῖνος ἴστω τὸν χριστὸν αὐτὸν ἐξουδενίζων, ὅς φησιν, ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ. ἔστιν ἄρα ἡ ἐκκλησιαστικὴ ὑπεροχὴ μεγίστη· ὧδε δὲ τῆσδε ἄλλος ἂν ἁρμόζοι λόγος ἢ ὁ κοσμῶν τὰς πολιτικὰς ἀρχὰς καὶ ἐξουσίας. καὶ ὑμῖν πλέω νυνὶ περὶ ταύτης εἰπεῖν οὐκ ἐν δέοντι γένοιτ᾽ ἄν. ὅσα δὲ ἁμαρτάνουσιν οἱ ἄνθρωποι ἀνηκοστοῦντες τῇ δὲ τῇ ἐντολῇ ἐκ τῶν εἰρημένων φανερὸν, τὰ γὰρ ἐπιταχθέντα ὑπὸ τοῦ νόμου μὴ πράττοντες, δῆλον ὅτι παρανομοῦσιν ἀπειθοῦντες. εἰ δὲ μαινόμενοί τινες ταῖς φρεσὶ τολμῶεν καὶ τοῖς ἐναντίοις ἐγχειρῆσαι, τούτους ἤδη καὶ ταῖς ἐσχάταις τιμωρίαις ἐνέχεσθαι ἀνάγκη.

ὧν

τῶν καὶ βραδυνόντων ἐνίοτε, καταλήψεθ'
ὅμως εἰς τέλος ποτὲ ἡ δίκη. τοὺς ἐν τοιαύ-
τῃ ἀσελγείᾳ καὶ παροινίᾳ προχωροῦντας.
οἷοι εἰσὶν οἱ πατραλοῖαι, καὶ μητραλοῖαι, καὶ
στασιώδεις καὶ ἐπηρεασταὶ καὶ ψιθυρισταί, καὶ
λοιδορίαις καὶ βλασφημίαις τοὺς γονεῖς, δι-
δασκάλους, ἄρχοντας προπηλακίζοντες.
διὸ καὶ ὁ παῦλος ἐν τοῖς ἐσχάτοις τῶν ἁμαρ-
τημάτων κατηρίθμησε, τὸ ἄστοργον καὶ ἀ-
πειθεῖν τοῖς γονεῦσι. πάντων δὲ τῶν ἐν-
τολῶν ἐχουσῶν καὶ ἐπαγγελίας τοῦ τηρῆσαι,
καὶ ἀπειλὰς τοῦ ἀφυλακτῆσαι, ἥδε πρώ-
τη ἐστίν, ὡς καὶ πρότερον εἴπομεν, ἡ ῥητῶς
μετ' ἐπαγγελίας προενεχθεῖσα, κατὰ τὸν ἅ-
γιον παῦλον. καὶ ἡμεῖς ἄρα τοσαῦτα καὶ
περὶ ταύτης τῆς ἐντολῆς ὑποθέντες ἴδω-
μεν ἤδη τὰ ἔτι λειπόμενα.

Περὶ τῆς πέμπτης ἐντολῆς.

Παρὰ πάσας τῶν ἐφεξῆς ἀεὶ ἐντολῶν ἀνα-
βλεπτέον μετὰ τὰς πρώτας, καὶ σπουδαστέον
περὶ τῆς ἀληθοῦς εὐσεβείας ἐν ἐπιγνώσει καὶ
ἀγάπῃ καὶ ὑπακοῇ τοῦ θεοῦ. οὕτω γὰρ τὰ κα-
λὰ τῶν ἔργων ἐν τοῖς πιστοῖς ἐτυμοθρησκεία
γίνεται, ἐν δὲ τοῖς ἄλλοις πολιτικὴ μόνον ἀρε-

τὴ

τῇ καὶ κοινῇ. αἱ χεῖρες ἄρα ἀπέχονται μὲν φόνου παραπλησίως ἐν ἅπασι τοῖς σπουδαίοις καὶ ἐπιεικέσι, διὰ τὸ κοινῇ λυσιτελὲς, καὶ ὅτι μιαιφονίας καθαροὶ εἶναι βούλονται, καὶ τὰ ἐκ τῶν νόμων ἐπιτίμια, καὶ αὐτῶν δὴ τῶν ἐριννύων διωγμὸν φεύγουσι, γνόντες ὅτι θαυμαστῶς οἱ ἀνθρωποκτόνοι ἐνίοτε πρὸς τὴν ἐκδίκησιν ἁρπάζονται. καὶ ὅτι ἡ συνείδησις οὐδέποτε παύεται ἐπεξιοῦσα τῷ μύσει. οἱ δ᾽ εὐσεβεῖς ἀληθῶς εὐλαβούμενοι, καὶ φοβούμενοι τὸν θεὸν, καὶ πεποιθότες τῇ χρηστότητι αὐτοῦ ἐν χριστῷ, καὶ αὐτὴν τὴν ψυχὴν καθαρεύειν, καὶ τῷ θεῷ ἁπλῶς ὑπηκόους παρέχεσθαι ἑαυτοὺς, καὶ δύσνοιαν καὶ κακοβουλίαν καὶ μῖσος καὶ φθόνον καὶ πάσας ἐνθυμήσεις ἐχθρὰς τῇ φιλανθρωπίᾳ κατασβεννύειν καὶ ἐκριζοῦν πειρῶνται. λύσιν ἄρα τὴν ἐντολήν.

α΄.

Οἱ τὰς ἰδίας χεῖρας τῷ τῶν ὁμογενῶν αἵματι μιαίνοντες. πάντες γὰρ ἄνθρωποι ἓν φῦλον, καὶ ἀπὸ τῆς πρώτης ἀρχῆς ὅμαιμοι καὶ συγγενεῖς.

β΄.

Οἱ ἐπιβουλὴν ἐνιστῶντες καὶ ξυμπράττοντες τοὺς φόνους.

γ΄. Οἱ

γʹ.

Οἱ φθονεροὶ, ὀργίλοι, πικροὶ, διάβολοι, πανοῦργοι, φιλολοίδοροι, χλευαστικοὶ, ἀνελεήμονες, συκοφάνται, οἳ λέγονται ἄγριοι καὶ θηριώδεις καὶ σκορπιώδεις, ζητοῦντες ᾧ ἐγχείψουσι τὰ κέντρα, σφήκιοι, καὶ ἰοῦ γέμοντες καὶ ὄφιν φοροῦντες ἐν κόλπῳ. ὁ δὲ Παῦλος ἐφεσίοις γράφων, φησὶ, πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν. ὅτι δὲ τῆς διανοίας καὶ προαιρέσεως ἐστὶ τὸ τῶν φόνων ἀδίκημα, καὶ οἱ νόμοι οἱ κείμενοι δεικνύουσι, τοὺς ἐκ προνοίας φόνους τιμωρούμενοι, καὶ τοῖς ἀκουσίοις συγγνώμην νέμοντες, καὶ κελεύοντες ἀεὶ τὴν βούλησιν τοῦ δράσαντος οὐ τὸ ἔργον σκοπεῖσθαι. Τὸ δὲ τῶν συκοφαντῶν καὶ διαβόλων ἀνθρώπων φῦλον ἐστὶ κάκιστον καὶ βλαβερώτατον, οἳ καὶ ἐν τῷ ἀπολλύναι καὶ διαχειρίζεσθαί τινας, εἰρωνευόμενοι ὅμως ὑποκρίνονται τὴν τῆς σωτηρίας σπουδήν. περὶ τούτου τοῦ κακοῦ ὁ Δαβίδης ψαλμῷ ρμʹ. εὐχόμενός φησι, θοῦ κύριε φυλακὴν στόματί μου καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. μὴ κλίνης τὴν καρδίαν μου εἰς λόγους πονηρίας τοῦ προφασίζεσθαι πρόφα-

σιν

σιν ἐν ἁμαρτίαις. ἡ δὲ τῆς ἐντολῆς ἐξήγησις ἐκτέθειται ὑπὸ ματθαίου κεφαλαίῳ ε. ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις οὐ φονεύσεις, ὃς δ' ἂν φονεύσῃ ἔνοχος ἔσται τῇ κρίσει. ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει. ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥακὰ, ἔνοχος ἔσται τῷ συνεδρίῳ. ὃς δ' ἂν εἴπῃ μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. ὡς δ' αὕτως καὶ οἱ προφῆται, ἐξελέξαντο αὐτήν. οὕτω καὶ ὁ δαβίδης ψαλμῷ νς'. υἱοὶ ἀνθρώπων οἱ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη, καὶ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα. καὶ ψαλμῷ ρλθ'. ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. δῆλον ἄρα ὅτι ὡς ἐπὶ τούς τε λόγους καὶ τὴν διάνοιαν ἡ ἐντολὴ ἀπ' αὐτῶν τῶν πράξεων καὶ χειρῶν ἀδίκων, ἐφικνεῖται. εἰσὶ γοῦν τὰ τῆς ἐντολῆς ἔργα καλὰ τάδε. δικαιοπραγεῖν, ἡσύχιον καὶ εἰρηνοποιὸν εἶναι, ἀγαπᾶν καὶ εὐεργετεῖν τὸν πλησίον. ἐγκρατῆ εἶναι τῆς ὀργῆς καὶ θυμοῦ. τὸ εὐπροσήγορον, τὸ ἐπιεικὲς, τὸ πρᾶον, τὸ εὐηθὲς, τὸ ἀνεξίκακον, τὸ φιλόστοργον καὶ φιλάνθρωπον, καὶ συμπαθὲς πρὸς τοὺς ἀλ-

λους,

λους, τὸ συγγνωομονικόν. τούτοις ἀντίκειται, μῖσος, κακόνοια, ἀδικία, ὄρεξις τοῦ βλάπτειν καὶ κακοποιεῖν. τὸ μισάνθρωπον, ἡ ἀκοινωνησία καὶ ὠμότης, τὸ ἀπαρηγόρητον, τὸ ἄστοργον, ἀνέντευκτον, ἀπαραίτητον, σκληρὸν, ἡ ἐπιχαιρεκακία. ἅπαντα γὰρ ἐστι φονικὰ τάδε καὶ φθοροποιὰ καὶ δηλητήρια τοῦ ἀνθρωπίνου βίου. καὶ σαφῶς εἴρηκεν ὁ ἅγιος ἰωάννης, πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστί.

Περὶ τοῦ ἀμύνασθαι.

Τῆς ἐντολῆς οὐ μόνον κωλυούσης τὰ φονικὰ, ἀλλ' ἅμα καὶ ἐπιταττούσης τὸ περὶ βίας καὶ ὕβρεως ἀνεξίκακον, κατὰ τὸ εἰρημένον, μὴ ἀντιστῆναι τῷ πονηρῷ, παρεμπίπτει δια πόρησίς τις ἐνταῦθα, πότερον ἄρα οἰστέον πᾶσαν βίαν καὶ ἀφεκτέον ὅλως τῆς ἐκδικήσεως καὶ ἐναντιώσεως ἀμυντικῆς. περὶ τούτου τοίνυν καὶ αὐτοῦ λεκτέον ἂν εἴη διὰ βραχέων. πρῶτον μὲν οὖν ἐπιεικέστερόν πως ἐκληπτέον τὸ ῥητόν. εἰ γὰρ ἀδιακρίτως ὑποβλήθημεν τῇ βίᾳ καὶ πάσχειν ἔδει τὸ ἐπιφερόμενον δεινὸν ἀπροφασίστως, οὐδ' ἀπείργειν ἐξῆν, πῶς ἄρα κελευόμεθα προ

σδυ-

συνευχόμενοι αἰτῆσαι, ῥυσθῆναι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ; ἐκ γὰρ τούτων δῆλον ὅτι ἀσυγχώρητος τοῖς χριστιανοῖς, καὶ κοινὸς λυττῶντος ἀποστροφὴ καὶ ἄμυνα, ὅπερ τῶν ἀτοπωτάτων ἂν νομισθείη δικαίως. οὔτε γὰρ τὴν τῶν χριστιανῶν ψυχὴν οὕτω φαύλην καὶ εὐτελῆ καὶ ἀπόβλητον ἡγητέον, ὥστε ὀρθῶς ἔχειν πρὸς τὰς τυχούσας ἀεὶ ἐφόδους προδοθῆναι καὶ ἀφαιρεθῆναι αὐτήν, ζημιωθέντας ἡμᾶς βίου τιμιωτάτου τοῦ ἐν ἁγιότητι καὶ εὐσεβείᾳ διαγομένου, ὅτε ὁ χριστὸς ἀγωνιῶν καὶ εὐχόμενος ὑπὲρ τῶν αὐτοῦ ἀντιβολεῖ καὶ ἱκετεύει τὸν πατέρα, ἵνα ἄρῃ αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃ ἐκ τοῦ πονηροῦ. φανερὸν τοίνυν ὅτι τὸ ἐννόμως ἀμύνασθαι καὶ ἀντιπράξαι τῇ παρανόμῳ βίᾳ καὶ ὕβρει, συγχωρεῖται πάντως, καὶ ἀκατηγόρητόν ἐστι παρά τε τῷ θεῷ καὶ τοῖς ἀνθρώποις. ὅθεν καὶ λέγεται τῆς φύσεως εἶναι νόμιμον τοῦτο, τὸ ἐξεῖναι τὴν βίαν ἑτέρᾳ βίᾳ ἀποτρέψαι. καὶ ὅτι τὸ βίαιον καὶ ὑβριστικὸν καὶ ἄδικον οὐ μή ποθ' εὑρίσκοι ἂν ἀσφάλειαν κατ' οὐδεμίαν τῶν περιστάσεων, τοῦ κατατρέχειν τῶν ἀσθενεστέρων καὶ ἰδιωτῶν καὶ πραττόντων τὰ αὐτῶν ἐν ἠρεμίᾳ. οὐδὲ μόνον περὶ τοῦ ἰδ-

τελῶν

τελῶν καὶ οἷον εἰ συμμοιρῶν τῶν ἀληθὲς τὸ εἰρημένον, ὅτι οὐδαμῶς ἀπηγόρευται τὸ τοὺς βιαζομένους ἐννόμως ἀμύνεσθαι, ἀλλ' ἔτι καὶ αὐτῶν τῶν προστατῶν ἐφικνεῖται, οἷς οὐδ' αὐτοῖς ἐπιτρεπτέον, ὡς εἴπομεν καὶ πρότερον, ἐγχειρήσασιν ὑβριστικῶς ἀδικεῖν καὶ παρανομεῖν. τὰ γὰρ λεχθέντα περὶ τῆς τῶν ἀρχόντων ὑπεροχῆς τε καὶ ἐξουσίας, ὀρθῶς ἔχει ἀποδέχεσθαι μὲν περὶ τῶν δικαίως καὶ κατὰ τοὺς κειμένους νόμους ἀρχόντων, περὶ δὲ τῶν ὑβριστῶν καὶ τῆς τυραννίδος οὔ. καὶ ἱστόρηται δὴ περὶ τραϊανοῦ, γνωμικοῦ τε καὶ ἐπικληθέντος βασιλέως ἀρίστου, ὅτι χιλίαρχόν ποτε καταστησάμενος λικίνιον τὸν σούραν καλούμενον, καὶ παραδοὺς κατὰ τὸ ἔθος, τὸ ἀπὸ τῆς ζώνης κρεμαστὸν ξίφος, ᾧ παραζώνιον ὄνομα, γυμνὸν, τούτῳ, ἔφη, χρῶ ὑπὲρ μὲν ἐμοῦ ἐννόμως τε καὶ δικαίως, κατ' ἐμοῦ δὲ ἀδίκως καὶ τυραννικῶς ἄρχοντος. τὰς δὲ τοιαύτας τῶν πλημμελειῶν οἷς ἔξεστί τε μὴ ἐκφεύγειν καὶ ὧν ἀπείργοντες τὴν λύμην οὐχ' ἁμάρτοιμεν ἂν, δεῖ ἀναμφηρίστως καὶ ὁμολογουμένως εἶναι τυραννικὰς καὶ ἀθεμίτους καὶ σχετλίας. οἷον αἱ ἀσέλγειαι γένοιντο καὶ διαφθοραὶ καὶ ὕβρεις, καὶ μοιχεῖαι, καὶ λῃστρι-

καὶ ἔφοδοι, καὶ ἁρπαγμοὶ περὶ τὰ χαλκοί. τοῖς γὰρ τὰ τοιαῦτα βιαζομένοις, οὐδεὶς ἂν ὑπὲρ ἑαυτοῦ τε καὶ τῶν οἰκείων μαχόμενος καὶ ἐναντιούμενος παντὶ σθένει, λύειν τὴν ἐντολὴν ἂν ἀληθῶς λεχθείη. ἀλλ' εἴτις καὶ ἐκποδὼν ποιήσασθαι δύναιτ' ἂν, ἀναιρῶν τὸν λῃστὴν καὶ ἅρπαγα καὶ βίαιον καὶ ἀσελγῆ, οὐκ ἂν ἁμάρτοι. τὴν δ' ὅμως συγχώρησιν ταύτην, οὐ παραληπτέον ἄνευ ἀνάγκης τινὸς ἐσχάτης, ἢ καὶ προσωθέντος οὕτω δὴ μόλις, οὐ μόνον πρὸς τὰς μάχας καὶ ἀνταγωνισμοὺς, ἀλλὰ καὶ πρὸς τὰς δικαδικασίας καὶ ἀμφιλογίας καὶ ἀμφισβητήσεις ἐνθένδε παρελθεῖν ὀφείλομεν. οὐ γὰρ μάτην ὁ σωτὴρ παρήνεσεν ὁ χριστὸς, ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιάν σου σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον, καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἓν, ὕπαγε μετ' αὐτοῦ δύο. γέγραπται γὰρ δὴ ταῦτα ἵνα καὶ ποιεῖν παραθέντες, ὑπήκοοι τῷ θείῳ λόγῳ φανώμεθα. δεῖ γὰρ πάντας προσδέξασθαι ζῆν κατὰ τὸ θέλημα τοῦ θεοῦ, καὶ μὴ κατ' ἐπίδειξιν τῶν τῆς εὐσεβείας μόνον λόγων, ἀλλ' ἔργῳ τελοῦντας τὰς θείας

ἐντο-

ἐντολάς, ἐν ὥστε μάλιστα βαστάζειν τὰ ἀλλήλων βάρη. οὕτω γὰρ ἀναπληροῦται ὁ νόμος τοῦ χριστοῦ, ὥς φησιν ὁ παῦλος. ὁ δὲ ποιῶν τὴν δικαιοσύνην δίκαιος κατὰ τὸν ἅγιον ἰωάννην. ἔτι δὲ τὸ ἀμύνεσθαι ἀεί πως ἐπικίνδυνόν ἐστιν. ὁ γὰρ ἀδικούμενος ἐμπαθὴς δήπου γίνεται. οἱ δ' ἐν πάθεσιν ὄντες ὡς ἐπὶ τὸ πλεῖστον ἁμαρτάνουσι τοῦ ὀρθοπραγεῖν. καὶ οὕτω πολλάκις ὁ ἀδικούμενος ἀνταδικῶν εὑρίσκεται, ὥστε ὑπερβαίνειν τοὺς τῆς ἐννόμου ἐκδικήσεως ὅρους. διὸ καὶ ὁ πλάτων, βέλτιον εἶναι κατασκευάζει τὸ ἀδικεῖσθαι τοῦ ἀδικεῖν. ὁ δὲ παῦλος τί φησιν; ἤδη μὲν οὖν ὅλως ἥττημα ἐν ὑμῖν ἐστιν, ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν. διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς. οὐκ ἄρα προπετῶς ἔχειν χρὴ τοὺς χριστιανούς, καὶ πρὸς τὰς οὐκ ἀπειρημένας τῆς ἐκδικήσεως καὶ ἀμυνῶν, δεῖ γίνεσθαι ἀνυπομονητικούς, ἀλλὰ προθύμους εἰς τὸ φέρειν πολλὰ τῶν ἀηδῶν καὶ λυπηρῶν, καὶ μὴ οἵους προφασίζεσθαι ἀεί τι πιθανὸν ταῖς τιμωρίαις. σφάλλουσι γὰρ οὗτοι τὸν μὲν θεὸν οὐδαμῶς, αὐτοὶ δὲ ἑαυτούς. πολλοὶ γὰρ τῆς τιμω-

είας ἢ γίνεται ἤτοι αὐτῷ τινὸς ἢ ἑτέρῳ βοηθῆσαι δοκεῖν ἐθέλοντος, ἐν τῷ ἀποδιδόναι ἴσον ἴσῳ, διαῤῥήδην ἴσμεν τὴν ὑγιῆ διδαχὴν ἀπαγορεύουσαν τοῦτο, τὸ παρ' ἀνθρώποις εὐδοκιμοῦν καὶ μεγαλοπρεπὲς νομιζόμενον. ταπεινὸν γὰρ ἦθος μᾶλλον καὶ δουλοπρεπὲς, παρατίθησιν ἐνταῦθα τοῖς αὐτοῦ ὁ χριστὸς λέγων, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς. καὶ ὁ παῦλος, εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὐλογεῖτε καὶ μὴ καταρᾶσθε. καὶ μετ' ὀλίγον, μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες. καὶ αὖθις. μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀλλὰ δότε τόπον τῇ ὀργῇ. γέγραπται γὰρ ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω. καὶ παροιμιῶν. κ΄. μὴ εἴπῃς τίσομαι τὸν ἐχθρόν, ἀλλ' ὑπομένων τὸν κύριον ἵνα σοι βοηθήσῃ. καὶ οὐχ ἡγητέον ταῦτα καθ' ὑπερβολὴν λέγεσθαι τρόπον τοῦτον, ἢ προσήκειν ὀλίγοις τισὶν ἐξαιρέτως πρὸς τελείωσιν τῆς πολιτείας. ἁπλῶς γὰρ ὁ νόμος κεῖται ἅπαξάπασι τοῖς χριστιανοῖς χρηματίσαι βουλομένοις. φῦλον γὰρ τοῦτο καὶ γένος οὐ κοσμικὸν, ἀλλὰ θεῖον, οὔτε γήϊνον, ἀλλ' οὐράνιον. ὅτι δὲ ταῦτα οὐκ εὐκατόργαστά εἰσι, μᾶλλον ἢ οὐδ'

ἀρχὴν

ἀρχὴν ἐκτελεσθεῖσαν ὑπ᾽ ἀνθρωπίνης ἀπουσίας τε καὶ δυνάμεως, εἴρηται. οὐδὲν γ᾽ ἧττον ἐπιχειρητέον τούτοις καὶ ἐμμελητητέον ἐστὶν ἡμῖν, ἐπικαλουμένοις τε τὸν χριστὸν, καὶ ἱκανουμένοις ὑπὸ τοῦ πνεύματος τῆς χάριτος. καὶ οὕτω δὴ γυμνάζωμεν ἑαυτοὺς, κατὰ τὸν ἅγιον παῦλον, πρὸς εὐσέβειαν ὠφέλιμον πρὸς ἅπαντα, καὶ ἐπαγγελίαν ἔχουσαν ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης. ὑπὲρ δὲ τῶν ὑστερημάτων ἡμῶν καὶ τῶν προγεγονότων ἁμαρτιῶν ἔχομεν καὶ τὸν παράκλητον πρὸς τὸν πατέρα ἰησοῦν χριστὸν, δίκαιον (καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὗ τὸ αἷμα καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας) καὶ τὸν πλήρωσιν τοῦ νόμου, ἐκ τοῦ πληρώματος καὶ ἡμεῖς ἐλάβομεν χάριν ἀντὶ χάριτος. καὶ ἐλευθέρωσιν καὶ σωτηρίαν ἀπὸ τῆς δικαίας ὀργῆς τοῦ θεοῦ, μόνον βλέπωμεν μὴ ἀποχρησώμεθα τῇ ἐλευθερίᾳ εἰς ἀφορμὴν τῇ σαρκί.

Περὶ ζήλου.

Τὸν δὲ λεγόμενον ζῆλον οἷος ἐνίοτ᾽ ἐν τοῖς ἁγίοις πατράσι καὶ προφήταις ἱστορεῖται ὑποκαυθῆναι, ἐν τῷ τιμωρεῖν αὐτοὺς ἑαυ-

ἑαυτοῖς τε καὶ ἄλλοις, οὐ νομιστέον ὡσανεὶ χό-
λῆς ἐκπικρανθείσης, καὶ θυμοῦ ὑπὲρ τῶν συμ-
βάντων αὐτοῖς δεινῶν ἀνημέρως χαλεπαί-
νοντος, ἀναβρασμὸν γεγενῆσθαι, οὐδὲ τὰς
τότε ἐπενεχθείσας κατάρας ὑπ' ὀργῆς ἀλό-
γου καὶ φιλοτιμώρου κινηθῆναι, ἀλλὰ πρῶτον
μὲν ὁρμὴν θείαν τινα, πρὸς τὸ σφοδρότερον
τότε τὸ θυμοειδὲς τῆς ψυχῆς μέρος κατε-
πεῖξαι, ἔπειτα δὲ καὶ τὴν προαίρεσιν συγκα-
ταθέσθαι τῇ λύπῃ καὶ ἐνδίκῳ τιμωρίᾳ οἰη-
τέον, ὥστε μηδὲν ἄλλο πρὸς ἐκείνων ἐννοη-
θῆναι, ἢ πῶς αὖτις ἀνδρείως ὑπὲρ δικαίου
καὶ ὁσίου καὶ τῇ θεοσεβείᾳ καὶ τοῖς νόμοις καὶ
τῇ πατρίδι ἀμυνόμενος παντὶ σθένει κα-
ταστρέψαι τοὺς ἐναντιουμένους καὶ πολεμοῦν-
τας τούτοις, κἂν μέλλῃ τις καὶ τῆς ζωῆς στερη-
θήσεσθαι, καθάπερ ὁ Σαμψὼν, ὅς, ἀποθανέ-
τω, φησὶν, ἡ ψυχή μου μετὰ τῶν ἀλλοφύλων.
αἱ γὰρ εἰς αὐτὸν γεγονυῖαι ὕβρεις καὶ προ-
πηλακισμοὶ πρὸς τὸ ἔθνος ὅλον καὶ αὐτὸν τὸν
τοῦ ἔθνους κύριον θεὸν ἀνεφέροντο. διὸ καὶ
αὐτὸν λέγοντα, ὃν τρόπον ἐποίησαν ἐμοὶ
οὕτως ἐποίησα αὐτοῖς, καὶ τὸν Δαβίδ, τέ-
λειον μῖσος ἐμίσησα αὐτοὺς, εἰς ἐχθροὺς ἐγέ-
νοντό μοι, οὐχ ὡς φιλοτίμωρον, οὐδ' ὡς ὀξύ-

χολον

χολόν τινα, καὶ ἀκρατῆ τὸν θυμὸν ὄντα καὶ ἀνηλεῆ ἡγητέον, ἀλλ' οἷον ἀποστρεφόμενον τῶν θεοέχθρων τῦφον καὶ ἀνομίαν, ἐξ ὅλης τῆς ψυχῆς, ταρασσομένης τε καὶ ζήλῳ φλεγομένης διὰ τῶν ἀσεβῶν τόλμας τε καὶ ἀδικίαν. ὥσπερ διασαφῶν ὁ δαβίδης λέγει, τοὺς μισοῦντάς σε κύριε ἐμίσησα καὶ ἐπὶ τοὺς ἐχθροὺς σου ἐξετηκόμην. ἔστι δ' οὖν ἡ αὐτὴ τοῦ θυμοῦ κίνησις, ἐν τοῖς μὲν εὐσεβέσι καὶ ἁγίοις, ἀρετή τις ἡρωϊκὴ καὶ θεία, ἐν δὲ τοῖς ἀσεβέσι καὶ ἀνοσίοις, κακία θηριώδης καὶ δαιμονία. ὥσπερ ὁ μὲν πρὸς τὴν ἔννομον γαμετὴν ἔρως καλὸς καὶ ἐπαινετὸς παρὰ θεῷ τε καὶ ἀνθρώποις, ὁ δὲ μὴ τοιοῦτος τοὐναντίον ψεκτός τε καὶ αἰσχρός. τὸ δὲ τοῦ ζήλου λεγομένου φανερῶς ἐνίοτε θεῖον ἐστὶν ἔργον, καὶ τότε θαυματοποιὸν ἄνωθεν, ὡς ἐν τῷ σάμψωνι, καὶ μωσῇ, οὗ προσευχομένου ἐρράγη μὲν ἡ γῆ, κατεπόθη δὲ τὸ θεόμαχον στίβος τῶν ἀμφὶ τὸν κορέαν, ὅτι παρώξυναν τὸν κύριον, ἐνίοτε δ' αὖ κατ' ἀρετὴν πράττεται καὶ τῆς εὐσεβείας κοινὴν ἄσκησιν, ὑπὸ τῶν ἐν ἀρχαῖς καὶ ἐξουσίαις οἵαισδήποθ' ὑπαρχόντων, οὓς ἀνάγκη ἢ μηδ' ἐν πράττειν τῶν καθηκόντων, ἢ ζήλῳ τινὶ ἐνθέῳ ὑποκαί-

ἔσθαι πρὸς τὰς ἐκδικήσεις καὶ τιμωρίας νομίμους, οὐ δήτοι ὀργιζομένους τοῖς ἀνθρώποις καὶ μισοῦντας τὸ ὁμόφυλον, ἀλλὰ τὴν μὲν εὐμένειαν πρὸς τὸ συγγενὲς τηροῦντας, τὸ δὲ τῆς δικαιοσύνης σκυθρωπὸν, εἰς τὰς ἁμαρτίας καὶ τὸ κακοποιὸν ἀποσκήπτοντας: ὥσπερ ὁ μωσῆς πρᾳὺς ὢν ὑπὲρ πάντας τοὺς ἀνθρώπους, ἐβαρυθύμησε πρὸς τοὺς ἀμφὶ τὸν κορὲ καὶ δαθὰν καὶ ἀβειρὼν, στάσιν ἐγείροντας, καὶ βιαζομένους διαλῦσαι τὸν θεόθεν διαταχθέντα κόσμον περὶ τῆς ἱερατικῆς ἀρχῆς. καὶ σφάλλονταί τινες ἐνταῦθα καὶ τῶν οὐδαμῶς φαύλων ἔσθ᾽ ὅτε, προφασιζόμενοι μὲν ἤτοι τὴν τοῦ θεοῦ ἐπιστρέφειαν ἢ τῆς δικαιοσύνης ὑπηρεσίαν, ἢ καὶ ἄλλο τῶν καθηκόντων, μεταξὺ δὲ τῇ φιλοτιμίᾳ ἢ φιλονεικίᾳ ἐνεχόμενοι. ἔστι δὲ τὸ πάθος τοῦτο ὕπουλον καὶ κρύφιον, καὶ τοῖς ἁγίοις αὐτοῖς ἐνίοτ᾽ ἐμφωλεῦον. παρὰ γὰρ τοῖς ἰουδαίοις τινές ποτε χρηματίζοντες ζηλωταὶ, ἐγένοντο, ἄνθρωποι εἰς τὸ ἀκρότατον τῆς πονηρίας καὶ ἀνοσίου λύσσης ἐληλακότες. δεῖ γάρ τοι τὸν ἀληθῆ ζηλωτὴν πάντως προκατασχεθῆναι πνεύματι θείῳ, καὶ τὸν ζῆλον οὐκ ἐρεθίσαι διὰ ἀνθρωπίνων λογισμῶν ἀνάπτοντα καὶ ὑπο-

θερμουρ-

θορμουργίαν τινὰ ἐπιτείνοντα. καὶ δὴ καὶ αὐτὸν οὐ τῶν τυχόντων ἐστὶν οὐδὲ φαύλην τὴν περίστασιν, οὐδὲ τὸ πρᾶγμα, ὡς συνελόντι εἰπεῖν, ἀνθρώπινον ἀλλὰ θεῖον. ἡγοῦμαι ἀλαζονεία καὶ τὸ τολμηρὸν καὶ αἱ μεγαληγορίαι, καὶ τὸ ῥιψοκίνδυνον, καὶ ἡ θρασύτης, οὐκ εὐθὺς ζῆλος ἂν εἴη, ἥκιστα δὲ πολὺ αἱ λοιδορίαι καὶ βλασφημίαι καὶ δυσκολίαι καὶ ἡ ἀγριότης, ἀλλὰ κακοζηλία, ὡς ἐπὶ τὸ πλεῖστον, ὅπερ σχεδὸν κατὰ τὸ ἔσχατον ἐκβὰν ἀεὶ γνωρίζεται. δεῖ γὰρ τὸν ζηλωτὴν οὐδαμῶς ἀγνώμονά τ' εἶναι καὶ μανικὸν, ἀλλὰ τοὐναντίον τῆς θείας πρῶτον ἐπιστήμης ἀληθῶν τε καὶ ψευδῶν πέρι μεμοιραμένον, ἔπειτα δ' οὕτως ἐπιθέσθαι ἀπροκρίτως, οὐ μὴν τῇ ἰδίᾳ διανοίᾳ, ἢ καὶ ἀφροσύνῃ, τῇ δ' ὁρμῇ καὶ ὑφηγήσει τοῦ ἁγίου πνεύματος, ὥσπερ ἐποίησεν ὁ Φινεὲς ζηλώσας ζῆλον κυρίου ὑπὲρ τοῖς ἀπειθοῦσι καὶ παροργίζουσιν ἀδιαπαύστως τὸν θεὸν, ὁμοεθνέσιν, ὃ καὶ πρὸς δικαιοσύνην λογισθῆναι αὐτῷ φησὶν ὁ ψαλμός. καὶ ζητήσειε δ' ἂν ταῦτ' ἄν τις ἴσως, περὶ τοῦ καθελόντος τὴν βασιλικὴν διάταξιν ἐν Νικομηδείᾳ καὶ παραρρήξαντος, δυοῖν τότε παρόντων βασιλέων, εἰ δὴ ζήλῳ τῷ κατὰ θεὸν

ὑποκινηθεὶς, καὶ διαπύρῳ ἐφορμήσας τῷ ἱερῷ, τοῦτο ἔπραξε, καθάπερ φησὶν Εὐσέβιος. ὡσαύτως δὲ καὶ περὶ τοῦ ἐν Πέρσαις τὸ πυρεῖον καταλύσαντος ἐπισκόπου, ὧν ἑκάτερος ὠμοτάτου διωγμοῦ τοῖς χριστιανοῖς αἴτιος ἐγένετο. καὶ περὶ μὲν εἰς τοῦ τὴν βασιλικὴν γραφὴν ἀνδριασθέντος, ἅπερ Εὐσέβιος ἀπεφήνατο εἴρηται, περὶ δὲ τοῦ παρὰ πέρσαις ἐπισκόπου, ὁ θεοδώρητος γράφει τάδε. Αὔδας τις ἐπίσκοπος ἦν πολλοῖς κοσμούμενος εἴδεσιν ἀρετῆς, οὗτος οὐκ εἰς δέον τῷ ζήλῳ χρησάμενος πυρεῖον κατέλυσε. πυρεῖα δὲ καλοῦσιν ἐκεῖνοι τοῦ πυρὸς τοὺς νεώς, θεὸν γὰρ τὸ πῦρ ὑπειλήφασιν. τοῦτο μαθὼν παρὰ τῶν μάγων ὁ βασιλεὺς, μετεστέλατο τὸν αὔδαν, καὶ πρῶτον μὲν ἠπίως τὸ πραχθὲν ᾐτιάσατο, καὶ τὸ πυρεῖον οἰκοδομῆσαι προσέταξεν, ἐκείνου δ' ἀντιλέγοντος, καὶ τοῦτο δράσειν ἥκιστα φάσκοντος, πάσας καταλύσειν τὰς ἐκκλησίας ἠπείλησε καὶ μέντοι καὶ τέλος ἐπέθηκεν οἷς ἠπείλησε. πρότερον γὰρ τὸν θεῖον ἄνδρα ἐκεῖνον ἀναιρεθῆναι κελεύσας, καταλυθῆναι τὰς ἐκκλησίας προσέταξεν, ἐγὼ δὲ τὴν μὲν τοῦ πυρείου κατάλυσιν οὐκ εἰς καιρὸν γεγενῆσθαί φημι.

οὐδὲ

οὐδὲ γὰρ ὁ θεῖος ἀπόστολος, εἰς τὰς ἀθήνας
ἀφικόμενος, καὶ τὴν πόλιν κατείδωλον
θεασάμενος τῶν βωμῶν τινα τῶν ὑπ' ἐκεί-
νων τιμωμένων κατέλυσεν ἀλλὰ λόγῳ, καὶ
τὴν ἄγνοιαν ἤλεγξε, καὶ τὴν ἀλήθειαν ἔδει-
ξε. τὸ δὲ τὰ καταλυθέντα μὴ ἀνοικοδομῆ-
σαι νεὼν ἀλλὰ τὴν σφαγὴν ἑλέσθαι μᾶλλον ἢ
τοῦτο δρᾶσαι, κομιδῇ θαυμάζω καὶ στεφανῶν
τιμῶμαι. ἴσον γάρ μοι δοκεῖ τὸ προσκυνῆ-
σαι τὸ πῦρ, τὸ, τὸ τέμενος δείμασθαι. ἐντεῦ-
θεν ὁ κλύδων ἀρχὴν λαβὼν παγχάλεπά
τε καὶ ἄγρια κατὰ τῶν τῆς εὐσεβείας τροφί-
μων ἐκίνησε κύματα καὶ τριάκοντα διεληλυθότων ἐτῶν ἡ ζάλη μεμένηκεν ὑπὸ τῶν
μάγων καθάπερ ὑπὸ τινῶν καταιγίδων
ῥιπιζομένη. αἱ μὲν οὖν γνῶμαι αὗται, περὶ
τοῦ πράγματος τῶν δύο ξυγγραφέων, καὶ
ὁ βουλόμενος ἐξεταζέτω αὐτὰς ἀκριβέστε-
ρον, τοῦτο δέπως εὐλαβητέον ἀεί, μή τις
ἀπερισκέπτως καὶ ἀφυλάκτως ταραχὴν ἐμ-
ποιῆσαι ταῖς ἐκκλησίαις, κίνδυνόν τε περι-
βαλόμενος ἑτέροις καὶ τὸ πλῆθος εἰς κυ-
φόνοιαν ἐπάρας αἴτιος γένοιτο κακώσεως
τοῖς ἄλλοις, ἀδήλου ὄντος πῶς ἂν ἕκαστος
τότε γνώμης ἕξει, καὶ πότερον τὰ δεινὰ τῶν

συμβη-

συμβησομένων ὑποφέρειν δυνήσεται. οἱ δ᾽ ἐν τοῖς διωγμοῖς ποτὲ τῶν χριστιανῶν, προσδραμόντες τε τοῖς δικασταῖς καὶ ἤτοι τῆς ἀθέου κρίσεως ἐκείνους νουθετοῦντες ἀποστρέψαι, ἢ τοὺς ἀσθενεστέρους τῶν ἀδελφῶν, ἐπιρρῶσαι πρὸς τὸ μαρτύριον πειρώμενοι, ἢ καὶ ἑαυτοὺς ἐμφανίσαντες καὶ προσαγγέλλοντες, διὰ τὸ βοᾶν χριστιανοὶ εἶναι, ἀναμφηρίστως ἔδειξαν κατηχημένοι τῷ θείῳ πνεύματι καὶ τῷ ζήλῳ τῆς ἀρετῆς ἐν ἐξομολογήσει τῆς πίστεως δοξάζοντες καὶ μεγαλύνοντες τὸν θεὸν πατέρα κυρίου ἡμῶν ἰησοῦ χριστοῦ. ὥσπερ ἄλλοι τ᾽ ἐποίησαν τῶν πιστῶν πολλοί, καὶ δὴ καὶ ἐκεῖνοι περὶ ὧν ἱστόρησεν εὐσέβιος, ὧν τρεῖς μὲν συνταξάμενοι ἐπεπήδησαν τῷ ἄρχοντι, αἰμιλιανὸς ἦν οὗτος, θύοντι, καὶ ἐμβοώμενοι παύσασθαι τῆς πλάνης ἐκέλευσαν. ὁ δὲ ἀππιανὸς καὶ αἰδέσιος ἐκ προσαγγελίας ἁρπαγέντες ὑπὲρ τὴν κόλασιν, ἀμυθήτους ἀνέτλησαν βασάνους καὶ τὴν ὁμολογίαν διὰ θανάτου ἐτελείωσαν, τοῦ θείου δηλονότι πνεύματος τό, τε θάρσος αὐτοῖς ἐμπνεύσαντος καὶ τὴν ἰσχὺν παρασχόντος. ὥσπερ ἄρα τῇ τοῦ θεοῦ παρορμήσει, ἤτοι ἐν τοῖς μόνον ἐνεργοῦσι, ἢ καὶ διὰ ῥήματος αὐτοῦ

ἐνδει

ἐνδελεχθείσῃ, μὴ ὑπακούειν, ἐν τῷ ζηλῶσαι ἐπὶ τοῖς ἀνόμοις καὶ θεοστυγέσι, διὰ ἐσχάτης ἀσεβείας σημεῖον ἐστιν, ὥσπερ ἡ τοῦ Σαοὺλ ἀπάθεια τοῦ ἐξολεθρεῦσαι τὸν Ἀμαλὴκ, ἥτις ἁμαρτία, καίπερ καθικετεύοντος ὑπὲρ τοῦ Σαοὺλ καὶ βοῶντος πρὸς τὸν θεὸν τοῦ προφήτου, τυχεῖν ἀφέσεως οὐδαμῶς ἠδυνήθη, οὕτω τὸ αὐτόγνωμον καὶ ἐμπαθὲς καὶ λυσσῶδες τοῦ ζήλου, δεινόν τε καὶ ὀλέθριόν ἐστι κακὸν καὶ ὑπουργὸν τῇ τοῦ θεοῦ δικαίᾳ ὀργῇ, εἰς σκάνδαλον καὶ ὄλεθρον ἔσχατον ὅλων τε οἴκων καὶ γενῶν καὶ δὴ καὶ πόλεων καὶ βασιλειῶν. ὥστε διὰ τὸ σφαλερὸν τοῦ πράγματος ἐφεκτέον ἀεί πως ἐν ταῖς ἐπικινδύνοις καὶ παραβόλοις τῶν πράξεων, μήτις τὴν βούλησιν θεοῦ φθάνῃ προκαταλαβών, καὶ τρέχῃ ἄκλητος καὶ ἄπεμπτος, τῶν λογίων μηδαμῶς ἀποδεχομένων τοῦτο. ζηλῶσαι τοίνυν δεῖ τὰ μὲν εὐσεβῆ καὶ καλὰ, ὡς ὁ παῦλος γράφων κορινθίοις, ζηλοῦτέ φησι τὸ προφητεύειν, φυλάττεσθαι δὲ πάμπαν τὸ μήποτε σφαλλώμεθα παραλογισμῷ, ἀπωτηθέντες τῷ δοκοῦντι μὲν εἶναι ζήλῳ ἀγαθῷ, ὄντι δὲ μοχθηρῷ καὶ θορυβοποιῷ καὶ εἰσφθαρμένῳ. διὰ τοῦτο καὶ τῷ φερομένῳ δεισ-

μῷ,

μῶ, ὅτι ζῆλός ἐστι διέγερσις τῆς ψυχῆς ἐπὶ τὰ καλὰ, πρὸς παράδειγμα ὁρώσης, προσθετέον ἴσως ἔτι, τὸ, καὶ κινουμένης ὑπὸ τοῦ ἁγίου πνεύματος, καὶ τοῖς θείοις ὑπηρετούσης δόγμασιν, ἵνα σαφῶς τὸ σημαινόμενον τοῦ ζήλου, περὶ οὗ νῦν ἡμῖν ὁ λόγος, περιγράψας τις ἔχῃ, καὶ μὴ παρακούσας ἢ καὶ οὐ νοήσας τὸ κυριώτατον, αὐτός τε αὑτὸν καὶ τοὺς ἄλλους βλάψῃ, μὴ κατὰ καιρὸν παῤῥησιαζόμενος, ἢ καὶ λίαν τολμηρῶς ἐπιβαλλόμενος τοῖς πράγμασιν, ὥσπερ ἱστορεῖ εὐσέβιος ἐν τῇ τετάρτῃ, κόϊντόν τινα φρύγα καὶ σὺν αὐτῷ ἄλλους τινὰς προπετέστερον ἀλλ' οὐ κατ' εὐλάβειαν ἐπιπηδήσαντας τοῖς δικαστηρίοις, κατεπληχέναι τε τὰς ψυχὰς καὶ μαλακισθέντας ἐνδοῦναι περὶ τῆς σωτηρίας, ὑπόδειγμα παρασχόντας, ὅτι μὴ δέοι τοῖς τοιούτοις, ῥιψοκινδύνως καὶ ἀνευλαβῶς ἐπιβάλλειν.

Περὶ τῆς ἕκτης τῶν ἐντολῶν.

Δεῖ τοὺς τῆς εὐσεβοῦς καὶ ὑγιοῦς διδαχῆς μαθητὰς κἀνταῦθα ἐπιμελῶς γνῶναι τὴν ἐξήγησιν τῆς ἐντολῆς, ἣν ὁ χριστὸς αὐτὸς ἐξέθηκεν, ὅτι ἀπαιτεῖ αὐτὴ οὐ μόνον τὸ καθα-

ρὸν

ρὸν καὶ ἀμόλυντον καὶ ἄχραντον τοῦ σώματος κατὰ πᾶσαν συνουσίαν, ἀλλὰ καὶ αὐτὴν τὴν διάνοιαν ἀμίαντον εἶναι βούλεται, καὶ τὰς αἰσχρὰς τῶν ἐπιθυμιῶν οὐχ ἧττον ἢ τὰς πράξεις ἀπαγορεύει, ἐν οἷς λέγει, ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. ἔστι δὲ δεινὸν τὸ κακὸν καὶ μέγα, καὶ ὅσῳ ἡ κατάληψις ὀξυτέρα καὶ μᾶλλον φθοροποιὸς ἡ νόσος, τοσούτῳ ἀναισθητοτέρους τοῦ τῆς βδελυρίας συμπτώματος εἶναι τοὺς ἀνθρώπους συμβαίνει. ἐν γοῦν εὐτραπελίας μέρει ἀεί πως τίθενται τὰ ἐρωτικὰ ἀστεΐσματα καὶ τὰς τῶν αἰσχρουργιῶν διηγήσεις, τοῖς τοιούτοις τῶν λόγων οἷον ἀναρριπίζοντες τὴν ἐπιθυμητικὴν φλόγα, καὶ διεγείροντες τὰ ψυχικὰ πάθη τῶν ἀσελγῶν. εἰώθασι δὲ πλεῖστοι ὅσοι ἀπολογεῖσθαι περὶ τοῦ πράγματος καὶ προφέρειν τὴν φυσικὴν ἀνάγκην, καὶ ὅτι ὁ θεὸς αὐτὸς συγχωρεῖ τἀναγκαῖα ἅπαντα τοῖς βροτοῖς. εἰσὶ δὲ ταῦτα ψευδῆ φανερῶς. οὐ γὰρ ἔχουσιν ἀνάγκην δήπου φύσεως τὰ παρὰ φύσιν, οἷαίπερ εἰσὶν αἱ πλεῖσται τῶν ἡδονῶν. καὶ ἔτι περὶ τῶν ἀναγκαίων ἐξεταστέος ὁ λόγος. τὸ γὰρ ἐξ

ἀνάγ-

ἀνάγκης ἑπομένου τοῦ προκαταρκτικοῦ τῆς κακίας, οὐ συγχωρεῖται ὑπὸ τοῦ θεοῦ, γινομένη τῇ ἀνθρωπίνῃ φύσει τὸ τῶν ἐπιθυμιῶν οὐχ ἥκιστα διέφθαρτο, γεγονὸς τῆς ὁλοσχεροῦς λώβης τοῦ γένους αἴτιον. οὐκ ἄρα ἀληθές, ὅτι τῇ τῶν παθῶν ἀνάγκῃ ὁ θεὸς συγγνώμην νέμει, καὶ ὑπηρετῆσαι τούτοις ἡμᾶς ἐᾷ. τοὐναντίον γὰρ παρακελεύονται τὰ λόγια, ὥσπερ ἐνόπλους ἀεὶ ἡμᾶς διαμάχεσθαι πρὸς ἐκεῖνα, καὶ μηδαμῶς ὑπεξουσιάζεσθαι ὑπ᾽ αὐτῶν. ἔτι δὲ πρὸς τὴν φυσικὴν ἀνάγκην, ὁ θεὸς τὰς γινομένας συνουσίας αὐτὸς παρεσκεύασέ τε, καὶ εὐλογίσας ἡγίασεν, ὥστε τὰς μὴ τοιαύτας τῶν ἐπιθυμιῶν οὔτε φυσικὰς οὔτε ἀναγκαίας εἶναι, ἀλλὰ αἰσχρὰς καὶ περιέργους καὶ τοῦ θεοῦ ἐχθρὰς καὶ πολεμίους τῇ φύσει. ὅτι δὲ πρὸς τῆς ἀκαθαρσίας καὶ τῶν ἀφροδισιακῶν ἐπιθυμιῶν τὸ λογικὸν μάλιστα διαφθείρεται, τῶν οὐκ ἀγνοουμένων ἐστίν, ὑπ᾽ οὐδενὸς ἅπαντων, ὡς εἰπεῖν, ἀνθρώπων. διὸ καὶ τοὺς ἐρωτομανοῦντας καὶ ἀκολασταίνοντας, ἀπολωλεκέναι ἑκάστοτε λέγουσι, παραφόρους δῆτα ὑπ᾽ ἀναιδείας καὶ ἀνοίας γεγονότας, καὶ οἵους τὸ λοιπὸν οὐδὲν ὀρθῶς λογίζεσθαι. καὶ αἱ βαρύταται τῶν τιμωριῶν ἐκδέχονται θεὸν

θὲν ταύτας τῶν πλημμελειῶν, διὰ ἃς ἔρχεται
ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, ὡς
ὁ παῦλος ἔγραψε τοῖς ἐφεσίοις. σχεδὸν
γὰρ τὰς αἰσχρουργίας τῶν μοιχειῶν καὶ πορ=
νειῶν ἐπιπολάζειν, καὶ τὰ ἡδονικὰ πάθη
ἐπιτείνεσθαι, καὶ ἀνάπτεσθαι τὸ ἐπιθυμητικὸν,
τό, τε τοῦ βίου ἐκδεδιῃτημένον καὶ μίξεις ἀθε-
μίτους αὔξεσθαι, τότε μάλιστα ἐπιτετήρηται,
ὅτε καὶ ἡ τῆς εἰδωλολατρείας ἀσέβεια θεοστυ=
γεῖς τοὺς ἀνθρώπους ἀπεργάζεται, ὡς καὶ ἐν
τῇ πρὸς ῥωμαίους ἐπιστολῇ τῷ ἁγίῳ παύ=
λῳ εἴρηται. οὐ γὰρ οἱ ἄνθρωποι ἀποκλίναντες
ἐπὶ βίου τρόπον τοῦ καὶ αὐτῶν τῶν ὑποζυ
γίων ἀλογώτερον, οὔτε βλέπειν ἐπιδύναν=
ται πρὸς τὰς θείας διατάξεις, οὔτε νοεῖν
ὑπὲρ τὸ τοῦ θεοῦ θέλημα. οἱ γὰρ καθαροὶ τῇ
καρδίᾳ μακαρίζονται ὑπὸ τοῦ χριστοῦ, διότι
τὸν θεὸν αὐτοὶ ὄψονται. καὶ εὖ εἴρηται τοῦτο,
ὅτι ὁράσεως θεοῦ περιποιητικὴ ἡ ἀφθαρσία.
καὶ τὸ, ἀφθαρσία ἐγγὺς εἶναι ποιεῖ θεοῦ. ὁ δὲ
ἱερεμίας φησίν. οἱ υἱοί σου ἐγκατέλιπόν με,
καὶ ὤμνυον ἐν τοῖς οὐκ οὖσι θεοῖς, καὶ ἐχόρ=
τασα αὐτοὺς, καὶ ἐμοιχῶντο, καὶ ἐν οἴκοις
πορνῶν κατέλυον. ἵπποι θηλυμανεῖς ἐγε=
νήθησαν, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλη=

σίον αὐτοῦ ἐχρεμέτιζον. μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι; λέγει κύριος· ἢ ἐν ἔθνει τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου; ὅτι δὲ βδελύττεται πρὸ πασῶν καὶ ἀποστρέφεται ταύτην τὴν ἁμαρτίαν ὁ θεός, δῆλον κἀκ τοῦ πάντοτε τοὺς προφήτας πρὸς τὴν εἰδωλολατρείας δημηγοροῦντας, ταῖς ἀπὸ μοιχειῶν καὶ πορνειῶν μεταφοραῖς ἐν τοῖς λόγοις χρῆσθαι. τὰ δὲ παραδείγματα τῶν δι' ἀκαθαρσίαν ἑαυτοῖς τε ἅμα καὶ τοῖς ἄλλοις, αἰτίων γεγονότων πολλῶν τε καὶ ἀνηκέστων συμφορῶν, ἱστορίαι ἐθνῶν ἁπάντων περιέχουσι. οἷον πρὸ τοῦ κατακλυσμοῦ εἰδωλομανούντων τῶν ἀνθρώπων, καὶ μίξεις ἀθέμιστοι τότ' ἐπενοήθησάν τε καὶ ἐπετηδεύθησαν, καὶ διὰ τοῦτο τὸ μύσος τὸ τῶν ἀνθρώπων γένος ἀπήχθετο παντελῶς τῷ θεῷ καὶ πανωλεθρίαν αὐτῷ προὐξένησε. τὰ δὲ σόδομα δι' ἀρρενοποιίας τῶν μιαρῶν, οὐρανόθεν ὑετοῦ πυρώδους ἀναρραγέντος κατεφλέχθησαν. ἐν δὲ τῇ ἐρήμῳ ἐκβεβηλωθεὶς ὁ λαὸς διὰ πορνειῶν ἐπλήγη πληγὴν μεγίστην ἐν ᾗ ἐγένοντο οἱ τεθνηκότες τέσσαρες καὶ εἴκοσι χιλιάδες. διὰ δὲ τὴν τοῦ λευίτου γυναῖκα ἣν ἐβιάσαντο ἐμπαίζοντες οἱ γαβαῖται,

βαίτ?, ἐπατάχθη φυλὴ Βενιαμὴν ὅλη, ἀπὸ
πόλεως ἑξῆς ἕως κτηνῶν, καὶ ἐγένοντο οἱ
πεπτωκότες ἐν τῷ Βενιαμὴν εἴκοσι καὶ
πέντε χιλιάδες ἀνδρῶν σπωμένων ῥομ-
φαίαν. ἐῶ λέγειν ὅσος φόνος ἐγένηθη καὶ
αὐτῶν τῶν ἐκδικούντων τὸ μύσος. ἡ δὲ τοῦ
δαυίδου μοιχεία, ἡλίκων τῷ λαῷ κακῶν
ἦρχε; ἡ δέ γε τῆς ἑλένης ἁρπαγὴ κακῶν
ἰλιάδα ἐκίνησε. ἐπὶ πρὸς αὐτῆς ἡ τῆς μηδείας
καὶ εἰς αὐτὴν τὴν μήδειαν ἰάσονος ὕβρις
πλείστων ὅσων βαρβαρικῶν τε καὶ ἑλληνι-
κῶν φόνων καὶ τῆς τεκνοκτονίας αἰτίαν πα-
ρέσχε. καὶ τραγῳδία μὲν ὅλη τῶν δεινῶν τῶν
ἐκ τῆς αἰσχρουργίας συμβάντων γέμει. οὐ μὴν
ἀλλὰ καὶ ἱστορίας πλείστας οὐδὲν ἂν πρᾶγμα
γένοιτο παραθέσθαι ἐνταῦθα, μεστὰς τῶν ταῖς
ἀκαθαρσίαις ἐπηκολουθηκότων οἰκτροτά-
των συμπτωμάτων, ἐπὶ τοῖς αἰτίοις αὐτοῖς
πρώτοις ὀλεθρίων γεγενημένων, ἀρκεσό-
μεθα δὲ μιᾷ ταύτῃ. Βαλεντινιανὸς ὁ τῆς πλα-
κιδίας ὕβρισεν εἰς τὴν γαμετὴν μαξίμου
πρὸς βίαν αὐτῇ συμφθαρείς, ὁ δὲ μαξιμὸς
πρῶτον μὲν ἀμυνάμενος τὸν ἀδικήσαντα,
ὑφῆκεν ἐπιβουλὴν τῷ Βαλεντινιανῷ, ὥστε
ἀναιρεθῆναι αὐτόν, ἔπειτα δὲ εἰσῳκίσατο

βιαίως τὴν τοῦ βαλεντινιανοῦ γαμετὴν εὐδοξίαν θυγατέρα γεγονυῖαν βασιλέως θεοδοσίου, ἡ δὲ ἀφόρητον ἡγουμένη τὴν ἀσέλγειαν, καὶ ἀδυσωπήτῳ λύπῃ διαταραχθεῖσα, ἅμα τε τῆς σωφροσύνης ἀντεχομένη, καὶ τιμωρεῖν τῷ ἀνδρὶ, οἵῳπερ οὖν εἰς αὐτὴν γεγονότι, πρόθυμος οὖσα, δῶρά τε τῷ τῆς λιβύης τότε ἐγκρατεῖ ὄντι γιζερίχῳ ἔπεμψε, καὶ χρηστὰς ἐλπίδας ὑπέσχετο, ὥστε πεῖσαι ἀναζευγνύντα ἐκ τῆς λιβύης στρατεύειν ἐπὶ τὴν ῥώμην, ᾧ καὶ παραγενομένῳ πᾶν τὸ τῶν ῥωμαίων κράτος προδέδωκεν, ἥτε ῥώμη τότε ἥλω καὶ ἐπυρπολήθη, καὶ πάντα διὰ φόνων καὶ ἁρπαγῆς χωρήσαντα ἀνετράπη μετ᾽ ἐσχάτης κακώσεως καὶ αἰσχύνης. ὅτι δὲ καὶ κοινὸς τῶν ἀνθρώπων λογισμὸς τὸ κακὸν τοῦτο πανδεινόν τι καὶ ἀνόσιον ἐν τοῖς πρώτοις εἶναι νομίζει, δείκνυται οὐχ ἥκιστα κἀκ τοῦ τοῖς ἀκολάστοις αἰσχύνην τῆς πράξεως ἀμύθητον παρακολουθεῖν. καὶ ὅτι αἱ λαγνεῖαι καὶ μίξεις ἄνομοι, καὶ τῶν ἀφροδισίων ἔκτοποι χρήσεις, τῆς μισητείας εἰλήχασιν ὄνομα. καὶ μισητὴ εἴρηται τῇ κοινῇ λέξει, ἰδίως ἡ πόρνη. καὶ μισητεία ἡ μαχλοσύνη. ἔτι δ᾽ ὥσπερ ἀνεξήγητος

γητός ἐστι χαρὰ ψυχῆς σωφρονούσης, καὶ τῆς ἀφθαρσίας ἡ συνέσις ἥδιστον, οὕτω δειναὶ ἀλγηδόνες εἰσὶ διανοίας ἀκαθάρτου, ξαίνεσθαί τε καὶ κολάζεσθαι χαλεπώτερον αὐτὴν, ἤπερ τὸ σῶμα δύναιτ' ἂν αἰκίσασθαι δήμιός τις τῶν ὠμοτάτων. καὶ ἐπίκτητος ὁ φιλόσοφος κατὰ ταῦτα κάλλιστά τε καὶ ὀρθότατα παρῄνεσε, περὶ ἀφροδίσια πρὸ γάμου καθαρευτέον, ἁπτομένῳ δὲ ὡς νόμιμόν ἐστι μεταληπτέον. οἷς γὰρ ὁ πειθόμενος ἀγαθὴν ἐλπίδα αὐτῷ εἰς τὸν βίον ἐνθάδε χρόνον ἅπαντα περιποιήσεται. ἀμέλει καὶ αὐτὰ τῶν τῆδε ἀρετῶν ὀνόματα τῆς κακίας τὸ βλαβερὸν καὶ ὀλέθριον ἐμφαίνουσι. σωφροσύνην τε γὰρ καὶ ἀφθαρσίαν τὴν ἁγνείαν καλοῦμεν, σημαινομένης τῆς λέξεως πάντως ὅτι οἱ ἀκάθαρτοι καὶ νοσοῦσι τὰς φρένας καὶ ἐλωβήθησαν τὰ σώματα. κτῆμα δὲ τίμιον ἀνὴρ καθαρὸς κατὰ τὸν σολομῶντα.

α.

Λύουσιν ἄρα τὴν ἐντολὴν πρῶτον οἱ διαφθείροντες μοιχεύομενας τὰς ἀλλοτρίους γαμετάς.

β'.

Οἱ πορνεύοντες, καὶ οἷα δήποτε τῶν ἀφρο-

δισίων χρῆσι καὶ συνουσία ἀνόμῳ καὶ ἀθέσμῳ μολύνοντες τὸ σῶμα, ἐνοικητήριον ὑπάρχον πνεύματος ἁγίου. εἰσὶ δ' οὖν ἄλλαι ἄλλων ἀθέμιτοί τε μᾶλλον καὶ μιαρώτεραι, ὧν αἱ λεγόμεναι ἀῤῥητοποιΐαι καὶ ἀλογεύματα, τῶν ἐωθυιῶν τῆς φύσεως μίξεων. ἀλλὰ περὶ τούτων οὐδ' ἐνθυμηθῆναι ὅσιον, οὐχ ὅτι καὶ λαλεῖν τοὺς χριστιανούς, ὥσπερ ὁ παῦλος γράφει τοῖς ἐφεσίοις, πορνεία, καὶ πᾶσα ἀκαθαρσία ἢ πλεονεξία μηδ' ὀνομαζέσθω ἐν ὑμῖν καθὼς πρέπει ἁγίοις. καὶ εἴπου ἄλλοθι ἐνταυθοῖ γ' ἐν καιρῷ ῥηθείη αὖ τὸ προοιμιαζόμενον,

Μὴ κινεῖν καμάριναν, ἀκίνητος γὰρ ἀμείνων.

γ'.

Οἱ τοῖς λογισμοῖς τῶν σαρκικῶν καὶ ἡδονικῶν ἐμφιλοχωροῦντες, καὶ αἰσχρολογίαις σχολάζοντες τερπόμενοί τε καὶ τέρποντες διὰ ταύτης τοὺς ἀκούοντας. ἀπαγορεύοντος τοῦ ἁγίου παύλου ἐν οἷς αἰσχρότητα καὶ μωρολογίαν ἢ εὐτραπελίαν τὰ οὐκ ἀνήκοντα τοῖς χριστιανῶν ἐπιτηδεύεσθαι οὐκ ἐᾷ. καὶ ἔστι τοῦτο οὐκ ἀφανὲς ἔνδειγμα τῆς διαφθορᾶς τῶν ἀνθρωπίνων λογισμῶν, ὅτι οὐδὲν ἀστεῖον ἢ κομψὸν δοκεῖ εἶναι σχεδὸν ἁπάντων ὃ μὴ γνώ-

μην

μὴν τινα ἀσελγῆ καὶ ἐμπαθῆ βδελυράν τε καὶ ἀκόλαστον, καὶ ἐν λόγῳ εἰπεῖν, ἡδονοπλῆγα περιέχει, οἷα τὰ τῶν ἐλεγείων καὶ ἄλλων ἐπιγραμμάτων ἐστί, τὰ μάλιστα θαυμαζόμενα καὶ τῶν δραμάτων τὰ πρὸ τῶν ἄλλων ἐπαινούμενα. οἷς πλείστοις ὅσοις εὖ ποιῶν ἤτοι ὁ χρόνος ἢ καὶ τῶν εὐσεβῶν ἀγαθὸς καὶ ἔμφρων λογισμὸς διελυμήνατο, καὶ οὐκ εἴασε ταύτην ἀφορμὴν τῶν ἀσελγειῶν προσγενέσθαι τῇ νυνὶ μαλακῇ καὶ οἷον παραλελυμένῃ ἐσχατογήρῳ τοῦ κόσμου ἡλικίᾳ. φέρεται δ' ὅμως χύδην οἷον ἀποῤῥήγματά τινα τούτου τοῦ γένους τῆς ἀναιδοῦς καὶ ἀθέου μωρολογίας, ἃ παντάπασιν ἀποστρεπτέα, καὶ πρὸς τὰς τοιαύτας τῶν γελωτοποιϊῶν ἀποκλειστέον οὖς ἀμφότερον, ἐπαλείφοντος ἑκάστου κηρὸν τῆς ἀρετῆς καὶ σωφροσύνης, ὡς πρέπει δούλους καὶ ὑπηκόους χριστοῦ, οὓς δεῖ ἀκροᾶσθαι καὶ λόγους ποιεῖσθαι περὶ ὧν ὅσιον καὶ εὐάρεστον τῷ θεῷ, εἴτις παραίνεσις εἴτις διδαχὴ, λαλοῦντας ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντας καὶ ψάλλοντας ἐν τῇ καρδίᾳ τῷ κυρίῳ, εὐχαριστοῦντας πάντοτε ὑπὲρ πάντων, ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, τῷ

θεῷ καὶ πατρί. καὶ διδάσκοντας καὶ νουθετοῦντας ἑαυτοὺς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ἐν χάριτι, ᾄδοντας ἐν τῇ καρδίᾳ τῷ κυρίῳ. καὶ πᾶν ὃ ἂν ποιῶσιν ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι κυρίου ἰησοῦ εὐχαριστοῦντας τῷ θεῷ καὶ πατρὶ δι' αὐτοῦ, καθάπερ παρήγγειλεν ὁ ἅγιος παῦλος, γράφων τοῖς ἐφεσίοις καὶ τοῖς κολασσαεῦσι.

δ'.

Αποδιώκεται τῇ ἐντολῇ πᾶν ὅ, τι ἤτοι ἐκ τῶν ἀνθρώπων ἢ διὰ τῶν πραγμάτων προσαγωγόν ἐστιν ἐπὶ τὴν ἀσέλγειαν καὶ ἀκαθαρσίαν, ὥσπερ τὸ τῶν μαστρωπῶν καὶ πορνοβόσκων φῦλον, καὶ ὁ περὶ χλιδῆς καὶ καλλωπισμοῦ ἐρεθισμός. ἥτε ῥαστώνη, καὶ τὸ ἀργὸν καὶ τὸ τρυφερὸν τοῦ βίου. αἵτε ἡδυπάθειαι καὶ τὸ ἁβροδίαιτον. οἷάπερ ἅπασιν οἷον παρεμβολή τις παρεμβάλλεται, πρὸς τὸ ἐναυλίζεσθαι ταῖς σαρκικαῖς ἐπιθυμίαις, αἵτινες στρατεύονται κατὰ περὶ ψυχῆς, ὅς φησιν ὁ ἅγιος πέτρος. καὶ τοῖς αὐτοῖς ὥσπερ ὕλη προπαρασκευάζεται ἐν ᾗ διαφθείη τάχιστ' ἂν ἡ τοῦ πόθου δεινὴ φλὸξ καὶ διαλυμαντικὸν πῦρ περὶ ἁγνείας καὶ σωφροσύνης, ἧς οὐδὲν

κτῆμα

κτῆμα γένοιτ' ἂν τοῖς σωφρονοῦσι τιμιώτερον. εὖ γὰρ εἴρηται, οὐκ οἶδ' ὑπό τινος, τοῦτο ὅτι ταμεῖον ἀρετῆς ἐστὶν ἡ σωφροσύνη βροτοῖς. πάντων δὲ μάλιστα φθοροποιὸν ταύτης, οἱ πότοι καὶ κῶμοι. οἴνου γὰρ μὴ ὄντος οὐκ ἂν ἦν κύπρις, εἶπέ τις τῶν πάλαι. καὶ οὐδὲν δὲ ἴσον ποιεῖν ἰταμοὺς τοὺς ἀνθρώπους πέφυκε, τῷ οἴνῳ. καθάπερ καὶ τοῦτο τις τῶν παλαιῶν ἔφη, ὡς ὁ οἶνος μόνος θνητοῖς ἄγει τὴν τόλμαν εἰς τὸ πρόσθεν τῆς εὐβουλίας. καὶ τὴν φρικώδη καὶ δεινὴν οἰδιπόδειαν, ἐκ τῆς μέθης περάγουσιν οἱ τραγικοί. ὁ δὲ εἰπὼν, ἡ μέθη μητρόπολις κακῶν, δηλονότι ἐν βραχέσιν ἅπαντα συλλαβὼν ἀπεφήνατο περὶ τοῦ βλαβεροῦ τῆς πράξεως. ὁ δὲ ἅγιος παῦλος καὶ προηγόρευσε μὴ μεθύσκεσθαι οἴνῳ ἐν ᾧ ἀσωτία, καὶ διαῤῥήδην τοὺς μεθύοντας ἀπελαύνει τῆς βασιλείας τοῦ θεοῦ καταλέγων ἐν τοῖς ἀκαθάρτοις καὶ αἰσχροποιοῖς. φησὶ δὲ καὶ ἰεζεκιὴλ ὁ προφήτης, ὅτι τοῦτο ἀνόμημα σοδόμων ὑπερηφανία ἐν πλησμονῇ ἄρτων, καὶ ἐν εὐθηνίᾳ οἴνου ἐσπατάλων. καὶ ὡσηὲ ἐπιτιμᾷ τῷ λαῷ ὅτι τὸν κύριον ἐγκατέλιπον τοῦ φυλάξαι πορνείαν καὶ οἶνον, καὶ μέθυσμα. συμβαίνει

δ' ἐπιτοπλεῖστον τοὺς ἀδηφάγους καὶ οἰνο-
πλῆγας ἑαυτοῖς τε καὶ τοῖς ἄλλοις θανατη-
φόρον τὴν ἡδονὴν προξενῆσαι, καὶ αἰτίους
γενέσθαι τελευτῆς οἰκτρᾶς, καὶ ἱστόρηται ὑπὸ τῶν
ἡμῶν, ὅτι δύο τινὲς κατὰ ζῆλον βίου στρατιω-
τικοῦ τῶν ἡμετέρων ὑπασπιδῶν τευτόνων,
πλέω χρόνον παρὰ βέλγαις πεποιημένοι,
ἔμαθον τὴν πολυποσίαν καὶ τὸ διαμιλλᾶ-
σθαι καὶ ἀγωνίζεσθαι περὶ τοῦ πολὺ σπᾶν οἴ-
νου καὶ ζύθου. καὶ οὗτοι ἀναχωρήσαντες ποτ'
ἐπ' οἴκου, ἐδίδαξαν τοὺς συγγενεῖς καὶ ὁμο-
εθνεῖς τὸ ἐπιτήδευμα. καὶ τὸ κακὸν οὕτως
ἐπενέματο τὴν χώραν ἅπασαν, ἀκέραιον
οὖσαν πρὸ τοῦ καὶ τῆς νόσου ἐλευθέραν. καὶ αὐ-
τὴ τῆς πολυυμνήτου ἀρετῆς, οὐχ ἧττον ἤπερ
ἄλλο τι τῶν πλημμελημάτων, αἰσχίστην λώ-
βην προσετρίψατο τούτοισι τοῖς ἄνω καλου-
μένοις. οἱ δ' αἴτιοι τοῦ δεινοῦ, λέγονται ἀμ-
φότεροι καὶ τοῖς ἀγαθοῖς τότ' ἀνδράσι ζῶν-
τες μισητοὶ γεγονέναι, καὶ περὶ τὴν τοῦ βίου
τελευτὴν δυστυχήσαντες βιαίῳ θανάτῳ
διαφθαρῆναι. παρακελεύεται δὲ καὶ αὐτοῖς ὁ
χριστὸς φυλακτικῶς ἔχειν τοὺς ἑαυτοῦ, τοῦ μὴ
βαρυνθῆναι τὰς καρδίας αὐτῶν κραι-
πάλῃ καὶ μέθῃ, μὴ αἰφνιδίως ἐπιστῇ αὐτοῖς

ἡμέρα ὀλέθρου. καὶ ὁ Σαλομῶν φησι. τίνι οὐαί; τίνι θόρυβος; τίνι κρίσεις; τίνι ἀηδίαι καὶ λέσχαι; τίνι συντρίμματα διακενῆς; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνοις; οὐ τῶν ἰχνευόντων ποῦ πότοι γίνονται; μὴ μεθύσκεσθε οἴνῳ, ἀλλ' ὁμιλεῖτε ἀνθρώποις δικαίοις. ἡ παραίνεσις ἀγαθὴ καὶ πρὸς τὸν θηριώδη τρόπον τοῦ νυνὶ βίου ἀναγκαία ἐστίν. ἄλλως τε καὶ αὐχούντων ἤδη τῶν ἐπιτηδευόντων ὑπὸ τῷ ἔργῳ. ὅπερ καὶ δὴ αὐτὸ κάκιστον, καὶ σημεῖόν ἐστι τῆς πελαζούσης καὶ ἐπικρεμωμένης θείας ἐκδικήσεως. καὶ ἡσαΐας προφητεύων τὴν ἔγγυς οὖσαν τιμωρίαν τῆς θείας ὀργῆς, ἐν ταῖς μεγίσταις αἰτίαις τοῦτο τίθησιν, ὅτι οἱ πλημμελοῦντες τὴν ἁμαρτίαν αὐτῶν ὡς σόδομοι ἀνήγγειλαν καὶ ἀνεφάνισαν. εἴη τοίνυν καιρὸς ἀνανῆψαι ποθ' ἡμᾶς καὶ ἐγηγέρθαι ἐκ τῆς τοιᾶσδε φρενοβλαβείας ἕως ἔτι τόπος λείπεται τῇ μετανοίᾳ, ἵνα ἐν πίστει μετὰ σωφροσύνης καὶ ἐγκρατείας καὶ ἁγιότητος διαθλεύοντες τὴν τῇδε βιοτὴν κληρονόμοι καταστάθωμεν τῆς ἀϊδίου ζωῆς σὺν πᾶσιν εὐσεβέσιν καὶ ἀρέσκουσι τῷ θεῷ.

δʹ.

Παρανομοῦσιν ἐνταῦθα οὐχ ἥκιστα καὶ οἱ ὅπως οὖν ἐμποδὼν γινόμενοι ταῖς γαμικαῖς συζεύξεσι, καὶ τῇ φυσικῇ τῶν σεμνῶν συνουσιῶν ἀνάγκῃ. μάλιστα δὲ οἱ θεσμοθετοῦντες περὶ τούτων, ἢ καὶ καθ' οἷον οὖν τρόπον ὁδοποιοῦντες τὰ πρὸς τὴν ἀκαθαρσίαν ἀνήκοντα. οὗτος γάρ εἷς ἐστὶ τῶν ταῖς ἀθλίαις ψυχαῖς ἐμβαλλομένων βρόχων. ἐν ᾧ δέσμιοι οἱ κατειλημμένοι ἄγχονται τε καὶ ἀπάγονται βίᾳ ἀπὸ τοῦ εὐσχήμου καὶ εὐπροσέδρου τῷ κυρίῳ ἀπερισπάστως. δεινὴ γὰρ ταραχὴ τῆς διανοίας καὶ δυσχρηστία ἑαυτοῦ τῇ παραβάσει τῶν ἁγνείας πέρι νενομοθετημένων ἀεί πως ἕπεται. καὶ διὰ τοῦτο παντάπασιν ἡ ἀποστολικὴ καὶ ὑγιαίνουσα διδαχὴ ἀδιαγόρευτον τὸ πρᾶγμα εἶναι ἐβούλετο, ὥστε μηδεμίαν ἀνάγκην ἐπικεῖσθαί τινι, ἀλλ' ἐξουσίαν πᾶσαν ἵνα ἕκαστον ἔχειν περὶ τοῦ ἰδίου θελήματος, σκοπούμενον τὸ συμφέρον αὐτῷ. οὕτω δὴ, ὥστε κελεύεσθαι πάντως τοὺς μὴ ἐγκρατευομένους γαμῆσαι. κρεῖσσον γάρ ἐστι γαμῆσαι ἢ πυροῦσθαι. ταῦτα τῆς ὑγιοῦς διδασκαλίας πιστῶς ἐτήρησαν καὶ οἱ ἔγγιστα μετὰ τοὺς ἀποστόλους τὰς τῶν ἐκ-

κλη-

κλησιῶν ἡνίας νωμώντων. φησὶ γοῦν ἰγνά-
τιος, ὡς ἀπεμνημόνευσεν ἀντώνιός τις
γνωμολογίας συγκομιδὴν πεποιημένος,
εἴτις δύναται ἐν ἁγνεία μένειν, εἰς τιμὴν τῆς
σαρκὸς τοῦ κυρίου, ἐν ἀκαυχησία μενέτω. καὶ
ἐὰν γνωσθῇ πλέον τοῦ ἐπισκόπου, ἔφθαρται.
καὶ αὖθις. παρθενίας ζυγὸν μηδενὶ ἐπιτίθει.
ἐπισφαλὲς γὰρ τὸ κτῆμα καὶ δυσφύλα-
κτον, ὅταν κατ' ἀνάγκην γένηται. τοῖς νεω-
τέροις ἐπίτρεπε γαμεῖν πρὶν διαφθαρῶ-
σιν εἰς ἑταίρας. καὶ ὁ εὐσέβιος ἐκ τῶν κλή-
μεντος ὑπερμαχομένου τῶν γαμικῶν συζεύ-
ξεων, ἐξέθετο τάδε. ἢ καὶ τοὺς ἀποστόλους
ἀποδοκιμάζουσι; πέτρος μὲν γὰρ καὶ φί-
λιππος ἐπαιδοποιήσαντο. φίλιππος δὲ
τὰς θυγατέρας ἀνδράσιν ἐξέδωκε. καὶ ὅ
γε παῦλος οὐκ ὀκνεῖ ἔν τινι ἐπιστολῇ τὴν
αὐτοῦ προσαγορεῦσαι σύζυγον, ἣν οὐ περιε-
κόμιζε διὰ τὸ τῆς ὑπηρεσίας εὐσταλές. τέως
μὲν οὖν ὁ τοῦ παμφίλου τὰ κλήμεντος ἀνέ-
γραψε. οἱ δὲ μεταγενέστεροι, τὴν τῆς ἀζύ-
γου ἁγνείας ἀνάγκην μετὰ βραχὺ συνεστή-
σαντο, διά τε τῶν ἀμέτρων ἐπαίνων τῆς παρ-
θενίας, καὶ ὅτι ἐς θρησκείας σχῆμα τὴν ἐπαγ
γελίαν καὶ καθιέρωσιν αὐτῆς ἀνήγαγον,

λαβόν-

λαβόντων δή γ' ἑαυτοὺς μεταξὺ τὸ τοῦ γά-
μου βεβηλῶσαι δόγμα βεβαιοῦντας. φά-
σκοντος σαφῶς τοῦ ἁγίου παύλου, ὅτι οἱ
κωλύοντες γαμεῖν ἀποστάται πίστεώς εἰσιν.
εἴη δ' ἂν κώλυσις οὐ μόνον τὸ νομικὸν ἀπα-
γόρευμα, ἀλλὰ καὶ πάντα πρὸς τὸ παρακιν-
δυνεῦσαι ἐνταῦθα ἐπαγωγὰ ὄντα. δίαπερ
ἡ περὶ θρησκείας καὶ τῶν γερῶν ἐπίδειξις ὅση,
καὶ ὅσ' ἄλλα τοιαῦτα πρὸς κάλλος τι τῆς εὐ-
σεβείας οὐ γνήσιον ἐσχημάτισται, ἐπινενοη-
μένα ἐξ ἰδίων λογισμῶν, κακοζηλότερα
μᾶλλον ἢ εὐλαβέστερα, τὰ δελεάζοντα τοὺς
ἀφρονεστέρους καὶ δεισιδαίμονας καὶ ψυ-
χὰς ἀστηρίκτους, τῶν ἀνθρώπων, ἢ καὶ καπη-
λεύοντα τὸν τοῦ θεοῦ λόγον. τὸ μὲν γὰρ βα-
σιλείας τοῦ θεοῦ ἕνεκα εὐνουχίσαι ἑαυτὸν, ᾧ
τινι δέδοται, θείου ῥήματος ἔπαινον
ἔχει, οἱ δ' ἐπισωρεύοντες πρωτεῖά τε τινὰ,
καὶ μισθοὺς μεγάλους, καὶ στεφάνους ἐξαιρέ-
τους τῇ καθ' αὑτὴν ἐπιτηδεύσει καὶ σπουδῇ
ταύτῃ, οὗτοι γ' ἐκ τῶν ἰδίων λαλοῦσι. οὐχ
ὅτι κάλλιστόν τε καὶ εὐπρεπέστατον καὶ δὴ καὶ
θεοφιλέστατον ἡ ἐγκράτεια, ἀλλ' ὅτι οὐ δεῖ
οὕτως ἐγκωμιάζειν αὐτὴν ὥστε ὑπερβαίνειν
τό, τε μέτρον τοῦ λόγου καὶ τὴν περὶ πράξεως
φύσιν.

φύσιν. ὥσπερ εἴτις τοὺς ὀφθαλμοὺς τῶν ἀν-
θρωπίνῳ προσώπῳ ἵνα καλλίω φαίνωνται,
χρυσέῳ ἢ ὀστρέῳ χρώματι ἐναλείφοι. οὐ γὰρ,
κατὰ τὸν πλάτωνα, δεῖ οὕτω καλοὺς ὀφθαλ
μοὺς γράφειν ὥστε μὴ τε ὀφθαλμοὺς φαίνεσθαι.
ἡγοῦμαι τῆς ἐγκρατείας ταύτης ἄγαν ἐπι-
σπερχθεῖσα κατάστασις καὶ αἱ περὶ τῆς μο-
νήρους ἁγνείας ὑψηληγορίαι, πάντα σχε-
δὸν αἰσχρουργιῶν τε καὶ ἀκαθαρσιῶν ἐμπε-
πλήκασιν. εἴπε δέ τις τὸν γάμον ἀτιμά-
ζων, ὅτι ὁ μὲν παῦλος εἴρηκε, βέλτιον ἐστὶν
γαμῆσαι ἢ πυροῦσθαι. σὺ δὲ φησὶν, τὸ πυ-
ροῦσθαι, ἀποσκευάσον, καὶ οὐκ ἐστ' ἀγαθὸν ἤδη
τὸ γαμῆσαι. καὶ τάδε μὲν ἐκεῖνος ἤτοι ἑκὼν
εἰρωνεύσατο, ἢ ἀγνοῶν ἐτερατεύσατο. ἔστι
δὲ τοιοῦτο, ὡς εἴτις λέγοντι, ὅτι βέλτιον
πιεῖν φάρμακον ἢ νόσῳ ἀπολέσθαι, ἀποκρί-
ναιτο ὡδέπως, ἀλλ' ὦ λῷστε τὴν νόσον ἐκ
ποδῶν ποιησάμενος, οὐ χρείαν ἕξεις φαρ-
μάκου οὐδεμίαν. ἀληθὲς μὲν γὰρ, τὸ θαυμασι-
κὸν δὲ, τὸ εἰρημένον. ἡ γὰρ τοῦ φαρμάκου χρῆ
σις πρὸς τὴν ὑγίειαν καὶ ἵνα θεραπευθῇ ὁ
νοσῶν μόνη θεόθεν ποῦ παρεσχέθη. ἄλλος δέ
τις κατασκευάσαι πειρώμενος, ὅτι τῶν προ-
χείρων ἐστὶ τὸ ἐγκρατεύεσθαι διὰ ὅλου τοῦ βίου,

οὕτω

οὕτω συνελογίζετο. οὐδεὶς οἷός τε ἀπέχεσθαι τῶν τοιῶνδε συνουσιῶν ἐφ' ἡμέρας, δύο τρεῖς, δέκα. ἄρα γε δύναιτο ἀπέχεσθαι τῶν πλείους. κἂν ταῦτα πλείους, δι' ὅλον δὴ καὶ τὸν βίον. γελοῖον δὲ τοῦτο προφανῶς, καὶ ὅμοιον ὡς εἴ τις φαίη, δυνατὸν εἶναι τροφῆς τινὰ ἐπὶ γνωστὸν τινὰ χρόνον διαζῆν, καὶ ἐπάγοι, οὐκ τοίνυν γε ὅλην τὴν βιοτὴν ἄσιτος ὢν διαμένειν ἄν. ἀλλ' ἅλις τούτων ἤδη. μακροτέρου τε γὰρ λόγου δέοιτ' ἂν τὸ πρᾶγμα ἢ κατὰ τὸ τῆς κατηχήσεως μέτρον, καὶ ἀρκοῖεν ἂν τὰ λεχθέντα πρὸς νουθέτησιν τῶν εὐσεβῶς ἐν χριστῷ γε ἀφθάρτως τόνδε τὸν ἐπίγειον βιοτὸν διάγειν προῃρημένων, οἵτινες οὖν καὶ ἐν οἵῳ ἂν γένει ἢ ἀξιώματι βίου ὦσι. γέγραπται γὰρ ἐν τῇ πρὸς ἑβραίους καθολικῶς, τίμιος ὁ γάμος ἐν πᾶσιν.

ε.

Σφόδρα ἁμαρτάνουσι κατὰ τῆς ἐντολῆς καὶ οἷς φύλακας εἶναι προσήκει τῆς καλῆς ἀγωγῆς καὶ ἐννόμου παιδείας, ἣν προορῶσι τὰ ῥαθύμως γινόμενα, καὶ τὴν διάλυσιν τῆς σεμνῆς καὶ εὐσχήμου διαίτης, ἐῶντες κραταιωθῆναι τὴν ἀκολασίαν, παραφυομένης τε τῆς τῶν ἀσελγειῶν ἀδείας καὶ τῆς ῥαδιουργίας

γίας οὐκέτι ἀτόπου εἶναι δοκούσης. τοῦτο μὲν οὖν ἁμάρτημα χαλεπόν ἐστι. χαλεπώτερον δ' ἐὰν καὶ τὸ παράδειγμα βλάψῃ σκανδαλίζον τοὺς ἄλλους. λέγω δὲ προηγουμένως περὶ τῶν βασιλέων καὶ δυναστῶν, καὶ δὴ καὶ περὶ ἑίων οὖν ἀρχόντων, πατέρων, οἰκοδεσποτῶν, διδασκάλων, προεστώτων, ἐπισκόπων, πρεσβυτέρων. εἰώθασι γὰρ ἀεί πως εἶναι οἱ ἀρχόμενοι τοῦτοι, οἷοίπερ οἱ ἄρχοντες, ὥστε τὰ τῶν ὑπηκόων ἤθη ἐπ' ἀμφότερα συνοικειοῦσθαι μάλιστα τοῖς προεστῶσιν, οἳ καὶ πάντως ὀφλήσουσι τὸ τῶν ἁμαρτιῶν τίμημα, ἤτοι μὴ κολάζοντες τὰς πλημμελείας ἢ καὶ ἀρεσκόμενοι ταύταις καὶ διὰ αὐτῶν παραδείγματι συνιστάμενοι ἐκείνας, συνευδοκοῦντες τοῖς πράττουσι.

Περὶ τῆς ἑβδόμης ἐντολῆς.

Θαυμαστὴ ἐστὶν ἡ τῶν διατάξεων ἀκολουθία. ὥσπερ ἤδη γὰρ ἥ τε βία καὶ ὕβρις ἀπηγόρευται ἵνα μηδεὶς βλάπτειν τολμώῃ μήτ' ἐπαισχύναι σώματά τε καὶ τὰ τῆς ἀνθρωπίνης κοινωνίας, οὕτω νῦν ἀσφάλειαν παρέχεται ὁ νόμος τοῖς βιωτικοῖς ἅπασιν, ἀπείργων τε τὰς χεῖρας καὶ τὴν ἐπιθυμίαν,

(περὶ ἧς ἀκριβέστερον) ἐν τῷ ἰδίῳ κεφαλαίῳ διεστάλατο ὁ νομοθέτης) τῶν τοῦ πλησίον, καὶ κελεύων τὰ τ' ἀναγκαῖα κτᾶσθαι ἕκαστον ἐννόμως, καὶ τοῖς ἰδίοις κτήμασι χρῆσθαι ἐλευθερίως, καὶ μηδένα ἀδικεῖν μηδαμῶς. διασαφηνιστέον τοίνυν ἔτι περὶ τῶνδ' ἂν αὖ καὶ τὸ τῆς κλοπῆς σημαινόμενον ἐρευνητέον. ἔστιν ἄρα κλοπή, πᾶσα ἡ τῶν ἀλλοτρίων ἐπαφή, ἡ μετὰ δόλου καὶ ἀπάτης, ἐκ πονηρᾶς διαθέσεως γενομένη παρὰ γνώμην τῶν κυρίων, ἤτοι τῶν χειρῶν ἐκεῖνα ψηλαφώντων, ἢ καὶ τῆς ἐπιθυμίας ἐπιβαλλομένης αὐτοῖς, ἢ ὅπως δήποτε νοσφιζομένου τινὸς τὰ τῶν πέλας. ἁμαρτάνονται τοίνυν κατὰ τῆς ἐντολῆς ταύτης, καὶ κλοπαὶ καὶ ἁρπαγαὶ καὶ βλαβαὶ, καὶ ὕβρεις, καὶ ὅσα γίνεται ἢ τεχνάζεται διὰ ἐπιβουλῆς ἢ βίας ἐπὶ κακῷ τοῦ πλησίον, ὥστε πλεονεκτῆσαι ἐφ' ὅτῳ οὖν τιν' ἀδίκως, καὶ τοὺς πλησίον μεῖον ἔχειν τῶν ἰδίων κτημάτων ἀποστερηθέντας. ὥσπερ γὰρ κατ' οὐδένα τρόπον δεῖ τινὰ πλουσιώτερον γίνεσθαι μετὰ ζημίας ἑτέρου, οὕτω παντάπασι χρὴ σῶα καὶ ἀκέραια διαφυλαχθῆναι τὰ ἑαυτοῦ ἑκάστῳ. καὶ αὕτη ἡ τοῦ θείου καὶ ἐμφύτου νόμου διάταξις. τὸ δὲ ποικίλον τῶν

ἀγω-

ἀγωγῶν ἐκζητησάτωσαν οἷς σχολὴ περὶ τὰ δικαστήρια ἄνω καὶ κάτω πλανᾶσθαι, καὶ λογισμοῖς τισιν ἀνθρωπίνοις διατίθεσθαι τὰ πράγματα. οἷς αὐτοῖς καὶ συγκεχωρήσθω λέγειν, ὅτι εἴτις μόνον συνεβούλευσε, καὶ τὸ κλέπτειν ἐθέλοντα προεβλέψατο, οὐκ ἐνέχεται τῇ τοῦ κλοπῆς ἀγωγῇ. καίπερ διαῤῥήδην φάσκοντος καὶ τοῦ ἀνθρωπίνου νόμου, ὅτι καὶ ἐκεῖνος ἐνέχεται τῇ ἀγωγῇ, οὗτινος σπουδῇ ἢ συμβουλῇ ἡμαρτήθη. αὐτοὶ δὲ ζευγνύτωσαν τὴν σπουδῇ καὶ συμβουλῇ ἀδιαιρέτως, τὴν καθ' αὑτὴν συμβουλὴν, οὐ ποιοῦσιν ἔνοχον τῇ κρίσει. οἷς ἡμεῖς οὐδαμῶς ἑψόμεθα, εἰδότες ὅτι καθάπερ ἄνευ μοχθηρᾶς διαθέσεως οὐχ ἁμαρτάνεται ἡ κλοπὴ, οὕτω καὶ μόνη ἡ τοιαύτη διάθεσις τῇ θείᾳ κρίσει ἐνόχους ποιεῖ ἐκείνους ἐν οἷς ἔνεστιν, εἰ καὶ μὴ ἐγχειροῖεν τῇ πράξει. τὰ γὰρ δεινὰ τῶν καρδιῶν, οὐ μόνον τοῖς λήμμασιν, ἀλλὰ καὶ αὐτοῖς τοῖς διανοήμασιν ἀτηρὰ τ' ἐστι, καὶ ἐπιμονὰς ἐργάζεται, ὥς καὶ τῶν τραγικῶν τις ἔφη. σὺ νομικοὺς ἄρα καταλιπόντες ἐν ταῖς διαδικασίαις ἀσχολουμένους, καὶ τὰ τῶν ξυγκλύδων ὄχλων ἐγκλήματα, ὥσπερ οὐ μόνον εἰκὸς, ἀλλὰ καὶ ἀνάγκη, διευθύνοντας,

τας, θεωρῶμεν ἡμεῖς τί ὁ θεῖος ἐπὶ ὀρθὸς λό-
γος διατάττει περὶ τῶν κλοπιμαίων. καὶ
ἀναληψόμεθα δὴ τὸν ὁρισμὸν, καὶ ὀψόμε-
θα τὰ ἐν αὐτῷ ἀκριβέστερον. οὕτω γὰρ μά-
λιστα τὸ πρᾶγμα φανερὸν ἔσεσθαι ἐλπίς. εἴ-
πομεν τοίνυν, ὅτι κλοπὴ νοεῖται πᾶσα ἐπα-
φὴ τῶν ἀλλοτρίων. εἰσὶ δ' ἀλλότρια πάντα
ὧν ἄλλοι κύριοι καὶ οὐχ ἡμεῖς, τὰ χρήματα,
αἱ κτήσεις, τὸ ἀξίωμα, καὶ ξυνελόντι εἰπεῖν,
ὅσα ποθ' ὑπεξούσια τινός ἐστι. τούτων ἁπάν-
των, φησὶν ὁ νόμος, ἀψάσθω μηδείς, δολο-
φρονῶν καὶ ἐπιβουλεύων ἐπὶ πλέον ἔχειν ἀδί-
κως τοῦ πλησίον βουλόμενος. αὕτη γάρ ἐστιν
ἡ λεγομένη ἀπάτη καὶ διάθεσις κακὴ, καὶ
ἡ παρὰ γνώμην τοῦ κεκτημένου καὶ ἄκοντος
κυρίου θίξις ἢ ψηλάφησις τῶν ἀλλοτρίων. οὐ
μόνον δὲ ἡ τῶν χειρῶν ἄδικος ἐπιβολὴ, ἀλ-
λὰ καὶ τῆς διανοίας ἐπιβουλὴ, κατέγνωσται
ἐνταῦθα. οὐ γὰρ διάστασις παρὰ θεῷ τοῦ ἀφα-
νοῦς καὶ τῆς ἐπ' αὐτοφώρῳ κλοπῆς, καὶ ὅσα
τοιαῦτ' ἄλλ' ἄττα πρὸς τὴν πολιτικὴν ἀ-
νάγκην ἐκζητεῖται τε καὶ διακοσμεῖται ὑπ'
ἀνθρώπων, ἀλλ' ὁ νομοθέτης οὗτος κρίνων
ἐστὶ τὰ κρυπτὰ τῆς καρδίας, καὶ δοκιμάζων
τοὺς νεφρούς. οὐδεὶς ἄρα ἀθῷος, ὅστις σφετερί-

ζεται

ζεται τι τοῦ πλησίου, ἤτοι ἀφαιρούμενος ἢ καὶ μόνον ἐνθυμηθείς, καὶ μᾶλλον ἔχοντα βουλόμενος εὐφραίνεσθαι αὐτὸς αὐτὸν ἢ ἐκεῖνον. ἐθέλει γὰρ ἡ ἐντολή, ἕκαστόν τινα κατέχειν τὰ ἑαυτοῦ καὶ χρῆσθαι τούτοις ἡσύχως καὶ ἀδεῶς. ὅπερ οὐκ ἂν γένοιτ', ἢ ὑφαιρουμένων ἢ καὶ ἐπιβουλευόντων καὶ ἐποφθαλμιώντων ἑτέρων. ἐπεὶ δὲ ὁ νόμος προνοῶν δῆλός ἐστι τῆς ἐν εἰρήνῃ διαγωγῆς τῶν πολιτῶν, συμπεραίνεται πάντως καὶ τοῦτο, ὅτι πᾶς ὁ εὐπορῶν καὶ πλουτῶν καὶ ζῶν ἐν ἀφθονίᾳ ἀγαθῶν ὁποίων οὖν, ὀφείλει τοῖς ἄλλοις ἐπαρκεῖν ἐκ τῶν ἰδίων, καὶ ὠφελῆσαι καὶ εὖ ποιεῖν τοὺς ἐνδεῶς τινὸς ἔχοντας. ὥστε ὁ μὴ σπουδάσας περὶ τοῦτο νομισθήσεται καὶ ὑφελεῖν καὶ ἁρπάζειν τὰ τῶν πέλας, οἵπερ τὸ αὐτοῦ μέρος, σπανίζουσι βίου, καὶ ἀποροῦσι τῶν ἀναγκαίων, λιμώττοντων καὶ ῥιγούντων, καὶ ταλαιπωρούμενοι. εἰ δέ τινων καὶ περὶ πλούτῳ, ὅσοις τε ἄλλοις τῶν ἀξιολόγων καὶ τιμίων αὐτοὶ ὑπὲρ πολλοὺς ὑπερβάλλουσιν, ἐντρυφώντων τῇ τῆς τύχης εὐφορίᾳ, πρὸς τὰς ἡδονὰς καὶ τὰ τερπνὰ τοῦ βίου τολμήσουσιν ἀποχρῆσθαι, ἐν οὐδενὶ ποιούμενοι λόγῳ τὴν τῶν πλησίον χρείαν καὶ ἔνδειαν, οὗτοι

γνώτωσαν τὰ τῆς εὐαγγελικῆς παραβολῆς, ἐνδεικνυούσης, ὅτι οἱ τοιοῦτοι βραχὺν χρόνον εὐθυμήσαντες ἐν ἀνοήτῳ τε καὶ ἀνονήτῳ τῇ τῶν ἡδέων ἀπολαύσει, παραχρῆμά που, ἀναρπαγήσονται, καὶ μετὰ τῆς ἀθλίας βιοτῆς, πᾶσαν ἅμα τὴν τέρψιν καὶ πάντα τὸν προσκαίρου εὐφροσύνης τῦφον ἀφαιρεθέντες καὶ περιαπασθέντες, γυμνοὶ εἰς τὴν γέενναν ῥιφθήσονται, κολασθησόμενοι ἐν βασάνοις καὶ ὀδύναις πυρὸς αἰωνίου. σαφὴς ἄρα ὁ κανὼν, ὅτι ἀφεκτέον τήν τε γνώμην καὶ τὰς χεῖρας τῶν ἀλλοτρίων, πάντοτε καὶ πάντα τρόπον. καὶ εὖ ποιητέον κατὰ δύναμιν ἅπαντας, καλῶς μὲν προϊσταμένους ἐν πρώτοις τῶν οἰκείων, καὶ τὴν τῆς φύσεως σύστασιν ἀσπαζομένους. ἄλλοι γὰρ ἄλλων ἡμῖν ἐγγύτεροι. ὁ δὲ νόμος οὐκ ἀναιρεῖ τοὺς οἱονεὶ βαθμοὺς τῆς ἀνθρωπίνης κοινωνίας, ἀλλὰ βεβαιῶν μᾶλλον, τὴν ἀκρίβειαν ἀπαιτεῖ τῆς τοῦ ἑκάστοτε δικαίου καὶ καλοῦ ὀρθῆς τηρήσεως. ὥστε τὸ λοιπὸν τὰ παρά τισιν ἐμπίπτοντα ἀμφίβολα διακρῖναι πρᾶγμ' ἂν οὐδὲν γένοιτο, τοῖς πνευματικῶς ψηφιζομένοις καὶ μὴ ψυχικῶς διανοηθεῖσι περὶ αὐτῶν. ἀλλ' ὥστε καὶ τῆς γενικῆς ἐντολῆς τοῦ Χριστοῦ κἀνθάδε

παρα-

παραινούσης, τῆς κελευούσης πάντα ὅσα θέ-
λωμεν ἵνα ποιῶσιν ἡμῖν οἱ ἄνθρωποι, οὕτω
καὶ ἡμᾶς ποιεῖν αὐτοῖς, παρὰ ματθαίῳ. ζ΄.
καὶ λουκᾶ. ς΄. μᾶλλον γὰρ ὀφείλοιμεν ἂν καὶ
μὴ ποιεῖν ἑτέροις ὅσα μὴ δὲ παθεῖν ἂν ἐβου-
λόμεθα. ἔστι δὲ κακόν ἄμαχόν τι, τὸ ἐπιπρο-
σθοῦν ἐνταῦθα τῇ ἀληθείᾳ καὶ θεοσεβείᾳ, ἡ
καλουμένη φιλαυτία, καὶ ἡ ταύτης ἀκόλου-
θος, ἀπιστία. τῶν γὰρ ἀνθρώπων οὕτω δια-
κειμένων καθόλου, ὥστε πάντα τινὰ μᾶλλον
ἑαυτὸν φιλεῖν τοῦ πέλας, ἕπεται τῇ διαθέ-
σει καὶ ἡ περὶ τῶν βιωτικῶν μέριμνα, καὶ φθό-
νος ἑτέρων πρὸς τοὺς ἔχοντας, καὶ ἡ περὶ τοῦ
προσκτᾶσθαι ἀεί τι σπουδή. ἄπληστον γὰρ ἡ
ἐπιθυμία. ἐκ τούτων δὴ καὶ ἐνέδραι, καὶ ἁρ-
παγμοὶ καὶ κλοπαὶ, καὶ λῃστεῖαι, καὶ πλεονε-
ξίαι παντότροποι, ἐπιπολάσαι ἐν τῷ βίῳ
εἰώθασιν, ἀπιστούντων τῶν ἀνθρώπων ταῖς
θείαις ἐπαγγελίαις, καὶ μὴ ἐπιρριπτόντων
ἐπὶ κύριον τὰς μερίμνας αὐτῶν, ἵνα δια-
θρεφθῶσιν ὑπ' αὐτοῦ. αὕτη τοίνυν πηγή
ἐστι τῆς τ' ἀδικίας καὶ παρανομίας ἐν ἀνθρώ-
ποις. ῥίζα γὰρ πάντων τῶν κακῶν ἡ φι-
λαργυρία, ἧς τινὲς ὀρεγόμενοι ἀπεπλανή-
θησαν ἀπὸ τῆς πίστεως καὶ ἑαυτοὺς περιέπει-

ρων ὀδύναις πολλαῖς, φησὶν ὁ ἅγιος παῦλος. ὁ δὲ ἀναφανδὸν τοὺς πλεονέκτας ἀποκλείει τῆς βασιλικῆς κληρονομίας. καὶ ἐν πλεονεξίᾳ πᾶσαν ἀκαθαρσίαν αἰσχρουργεῖσθαι ἀποφαίνει γράφων ἐφεσίοις. καὶ τὴν αὐτὴν εἰδωλολατρείας ὀνόματι ἐπισημαίνεται, καὶ ἐν ἀποκαλύψει, μετὰ τῆς ἐσχάτης ἀνομίας καὶ τὰ κλέμματα ἀριθμοῦνται. ἐν δὲ τοῖς τοῦ ζαχαρίου λέγεται, ὅτι πᾶς ὁ κλέπτης ἕως θανάτου θεόθεν ἐκδικηθήσεται. ἐν δὲ τοῖς ὠσηὲ, καταριθμεῖται ἡ κλοπὴ μετὰ τῶν αἰτίων, δι' ἃ πενθήσει ἡ γῆ, καὶ σμικρυνθήσεται σὺν πᾶσι τοῖς κατοικοῦσιν αὐτήν, τί δὲ ὁ σολομῶν προοιμιαζόμενος; ἀπὸ ὕδατος, φησιν, ἀλλοτρίου ἀπόσχου, καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς, ἵνα πολλὴν ζήσῃς χρόνον. καὶ αὖθις, ὃς μερίζεται κλέπτῃ, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. ἄριστα δ' ἔχει ὁ κοινὸς τῶν πάλαι ἑλλήνων νόμος ὃν ὁ νομοθέτης οὕτωπως ἀπεφθέγξατο, ὃ μὴ κατέθου, μὴ λάμβανε. ᾧ συμφωνεῖ καὶ τὸ πρὸς τούτοις λεγόμενον, τὸ ἀλλότριον μὴ ἀνελεῖν. καὶ πάντοτε δὴ οἱ περὶ τὰς προαιρέσεις καὶ ὑποθήκας ἐσπουδακότες, κατὰ τῶν πλεονεξιῶν πλεῖσθ' ὅσα ἐγνωμολογήσαντο, ἀπηχοῦσι

δηλο-

δηλονότι κἀνταῦθα τῆς ἐμφύτου εὐγνωμο-
σύνης, καὶ ἀπωθουμένης τὸ κακόν. εἰρήκα-
σι τοίνυν, ὅτι ἀπέχεσθαι δεῖ πάντας τῶν ἀλ-
λοτρίων, κρατοῦντας ἅμα τε χειρῶν καὶ ὀμ-
μάτων καὶ ὤτων. τὴν δὲ πλεονεξίαν κα-
κὸν εἶναι μέγιστον ἀπέδειξαν. τὴν δὲ ἁρπα-
γὴν καὶ θανάτοιο δότειραν εἶναι ὁ Ἀσκραῖος
ἔφη. Εὐριπίδης δέ που εἶπεν, ὅτι ὁ θεὸς μι-
σεῖ τὴν βίαν, καὶ ὅτι πλοῦτος ἄδικος ἑα-
τέος:

Κοινὸς γὰρ ἐστὶν οὐρανὸς πᾶσι βροτοῖς
Καὶ γαῖ᾽ ἐν ᾗ χρὴ δώματ᾽ ἀναπληρουμένους
Τἀλλότρια μὴ ᾽χειν, μηδ᾽ ἀφαιρεῖσθαι βίᾳ.

Ὁ δὲ Πίνδαρος, οὔτε τοὺς τῶν ἀλλοτρίων
σφετερισμοὺς ἀτιμωρήτους ὑπάρχειν, οὔτε
τἄδικα τῶν κερδῶν συνημερεῖν εἴρηκεν, ἐν
τούτοις. ἐν τὶ μὲν θνατῶν φρένες ὠκύτε-
ραι κέρδος αἰνῆσαι πρὸ δίκης δόλιον, τρα-
χεῖαν ἑρπόντων πρὸς ἐπίβδαν δ᾽ ὅμως.
προκειμένων δὲ παρὰ θεῷ τε καὶ τοῖς ἀνθρώ-
ποις χαλεπωτάτων ἐπιτιμίων τῷ ἁμαρ-
τήματι τούτῳ, οὐδὲν ἧττον πλεῖστοι ὅσοι πλημ-
μελοῦσι τὰ τοιαῦτα ἐν τῷ βίῳ, τιθέντες
τὰ θεῖα ἅμα καὶ ἀνθρώπινα τῶν λημμάτων
ὕστερα. αἰτία δ᾽ οὐχ ἥκιστα ἥδε, ὅτι τῶν μελ-

λόντων τε τύφλων φράσαι, κατὰ τὸν αὐ-
τὸν πίνδαρον, ἤγουν οὐδὲν ἀλλ' ἢ τὸ πρὸν
καθορᾶται καὶ τοῦ ἑπομένου σκέψις γίνεται
οὐδεμία. τῶν γὰρ ὡς φησιν ὁ ῥήτωρ, ὑπὲρ
τοῦ πλεονεκτεῖν ἐπιχειρούντων οἷς οὐ χρὴ,
οὐκ εἴωθε τὰ δυσχερέστατα ἕκαστος λογίζε-
σθαι, ἀλλ' ἃ κατορθώσας διαπράξεται. παρὰ
μὲν οὖν τοῖς πάλαι τιμωρίαι βαρύταται
τῇ κλοπῇ ἐπέκειντο. ἦν τε γὰρ παρὰ ῥωμαί-
οις τὸ τίμημα κεφαλικὸν, πρότερον ἢ τὸ
διπλάσιον καὶ τετραπλάσιον ἔκτισμα παρε-
δέξαντο, οἱ δὲ λοκροὶ, τοῦ μὲν κλοπῇ ἁλόν-
τος ἐξόρυττον τοὺς ὀφθαλμοὺς, καὶ παρὰ τοῦ-
τοις ἢ ἀγχόνη μὲν ζυγοῦ ὑψηλοῦ προπη-
λακίζει τὸ ἀδίκημα. πάντων δὲ σχεδὸν
παρὰ πᾶσιν ἀνθρώποις, αἰσχίστην μεγίστην
καὶ ἐσχάτην ἀτιμίαν ἐπιφέρει τὸ τῆς κλο-
πῆς ἁμάρτημα τοῖς γινομένοις τούτῳ, καὶ
ἐπονείδιστοι οὐδένων ἧττον ἢ κλεπτικοὶ καὶ
πλεονεκτικοὶ τῶν ἀνθρώπων, εἰσί τε καὶ ἀεί
που ἐγένοντο. οὐ μὴν ἀλλὰ καὶ τοῦτο μένει ἀ-
ληθὲς, ὅτι οἱ μικρολήμματοι τῶν φωρῶν κο-
λάζονται ληφθέντες, οἱ δὲ δημοκόποι κα-
λούμενοι καὶ μεγαλοκερδεῖς, οὐχ ὅτι δίκην
ὑπέχουσιν, ἀλλὰ καὶ διὰ τιμῆς ἄγονται, καὶ
τῶν

τῶν κλεμμάτων μέρος τι ἀναλώσαντος, οὐ μόνον ἀσφάλειαν αὐτοῖς ῥαδίως ἐζωνοιῦνται, ἀλλὰ καὶ ἀξίαν τάχιστα περιποιοῦνται. ἀμέλει καὶ τῶν προοιμιωδῶς πάλαι ποτ' εἴρηται:
ὁ πολλὰ κλέψας κ' ὀλίγα δοὺς ἐκφεύξεται.
Φέρεται δὲ καὶ ὅτι τις ἀθλίωνσι κλέπτην εἰδὼν ἀπαγόμενον καὶ εἰπὼν, ὦ ἄθλιε σύ, διὰ τί σμικρὰ γ' ἔκλεψας; καὶ οὐ μεγάλα; ἵνα καὶ σὺ ἄλλους αὖ ἀπῆγες. οὕτω πως ἅπαντες ῥέπουσι πρὸς τὸ λῆμμα, καὶ τὰ κέρδη δουλεύουσι καὶ ἥττους εἰσὶ χρημάτων. ἡμῖν δὲ πρὸ ὀφθαλμῶν γενηθήτω τὸ τοῦ θεοῦ θέλημα, καὶ φοβούμενοι ἐκεῖνον, καὶ πεποιθότες μένοι τῇ χρηστότητι αὐτοῦ πειρώμεθα ὑπακοῦσαι τοῖς ἐντάλμασι καὶ αἰτησώμεθα βοήθειαν ἀπ' οὐρανοῦ προσευχόμενοι τῷ θεῷ, καὶ προσδοκῶντες ἀπ' ἐκείνου τἀναγκαῖα, καθάπερ ἐπηγγείλατο αὐτὸς, ὅτι τοῖς ζητοῦσι τὴν τοῦ θεοῦ βασιλείαν καὶ τὴν δικαιοσύνην αὐτοῦ, ταῦτα πάντα προστεθήσεται. ἐργαζόμενοι γ' ὅμως κατὰ τὴν ἐντολὴν αὐτοῦ, καὶ πορίζομενοι ἡμῖν τε καὶ τοῖς ἡμετέροις ὅσων δεῖ πρός τε τὰς τροφὰς καὶ τὴν ἄλλην τοῦ βίου διαγωγὴν, καὶ ἐκ τῶν

γινόντων ἐλεημοσύνας ποιούμενοι, περιέποντες οἷς δυνάμεθα ἀγαθοῖς τοὺς δεομένους ἐπικουρείας καὶ εὐεργεσιῶν. οὕτω δὴ ἡ ἐν ὑπακοῇ καὶ πίστει τελειοῖ τ' ἂν ἡ ἐντολὴ, ἢ γίνοιτο τὸ ἡμέτερον ἔργον θρησκεία εὐάρεστος τῷ θεῷ, καὶ μία τῶν λογικῶν θυσιῶν, ἃς θῦσαι ἱερουργοῦντας χρὴ τοὺς χριστιανοὺς ἐν τῇ ἐκκλησιαστικῇ ἀεὶ κοινωνίᾳ, πλεονάζοντας ἔργοις καλοῖς καὶ πάσῃ ἀρετῇ.

Παιδία.

Ταῦτα μὲν εὐσεβῶς λεχθέντα ὑπὸ σοῦ οὕτως ἀκηκόαμεν, ὥστε τῆς μνήμης αὐτῶν οὐ μήποτ' ἀμελήσαιμεν ἄν. ἐπεὶ δ' ἔτι, ὦ διδάσκαλε, τί ποτ' ἄρα τὴν φιλαργυρίαν καὶ πλεονεξίαν μόνην τῷ τῆς εἰδωλολατρείας ὀνόματι ἠτίμασεν ὁ Παῦλος, οὐσῶν καὶ ἄλλων οὐχ ἧττον μοχθηρῶν ταύτης ἐν τῷ βίῳ πράξεων, τῶν αὐξανόντων ἐπὶ τὰς ἁμαρτίας;

Κατηχητής.

Υμεῖς μὲν, ὦ φίλοι παῖδες, ἐρωτῶντες ταῦθα, τὴν τῆς ἐπαινετῆς γνώσεως σπουδὴν ἐνδείκνυσθε, ἐγὼ δὲ διὰ βραχέων ἀποδοίην ἂν τὴν αἰτίαν τοῦ ἐπιθέτου περὶ οὗ ζητεῖτε.

τούτε. πᾶς γὰρ πλεονέκτης ἐξ ἀνάγκης ἄπιστός ἐστι καὶ οὐ πέποιθε ταῖς θείαις ἐπαγγελίαις, οὐδὲ φροντίδα τὸν θεὸν ἔχειν ἑαυτοῦ περὶ λογίζεται. καὶ βούλεται αὐτὸς προστατεῖν αὐτοῦ ἀπελπίσας τῶν θείων εὐεργεσιῶν. ἔτι δὲ, τὸ λῆμμα οὗτος οἷον σωτήριόν τινα δύναμιν ἔχων πάντως θεοποιεῖ, τοῖς τε χρήμασιν ὅλος ἀνακείμενος, καὶ πάντα τούτων δεύτερα θέμενος, ἀμφότερα δὲ προδήλως εἰδωλολατρεία εἴητ' ἂν καὶ ὀνομάζοιτο. εἶεν. ἐκ δὴ τούτων διαληψώμεθα νυνὶ καὶ περὶ τῶν εἰδῶν, ὅσ' ἄν τις ἀπαριθμήσαιτο οἷον πρωτότυπά τινα τῆσδε ἁμαρτίας.

α.

Πρῶτον τοίνυν ἀπαγορεύεται ἐνθάδε ἡ κυρίως καλουμένη κλοπὴ, ἤγουν ὑφαίρεσις τῶν ἀλλοτρίων λαθραίως παρεμπεσούσης τῆς ἀπάτης καὶ ἀλώπεκος δίκην δηλουμένης τοῦ πλησίον.

β.

Αἱ βίαι καὶ ἁρπαγαὶ καὶ συλήσεις, καὶ ἀναφανδὸν γινόμεναι ὁποσοιοῦν ἀφαιρέσεις τῶν ἀλλοτρίων. οἷα ἐστι τὰ ὑπὸ τῶν δυνατῶν καὶ ἀρχόντων ἐπιτιθέμενα τοῖς πε-

λάταις

λάταις καὶ ἀρχομένοις τῶν εἰσπράξεων καὶ φόρων καὶ τελῶν ἄχθη, καὶ ἤτοι περιπανουργευμέναι ἢ βεβιασμέναι τῶν χρημάτων ἀποβρίψεις καὶ συσκευαί.

γ΄.

Πάντες χρηματισμοὶ ἄμετροι καὶ ἄδικοι, καὶ αἱ ἐν τοῖς συμβολαίοις περιακρούσεις καὶ πανουργεύματα. οὐδ᾽ ἀληθῶς ἔρχεται πράξεσι τῶν νομικῶν, τὸ τοὺς πωλοῦντας καὶ ὠνουμένους ἐξεῖναι κρύπτοντας τὸ ὂν περιγράφειν ἀλλήλους. οὐ γὰρ ἔξεστι χριστιανοῖς γε ὑπάρχουσιν, ἔπρεπε δεῖ εἶναι, ναὶ ναί, καὶ οὒ οὔ, τὰ τούτων ῥήματα.

δ΄.

Πάντες φενακισμοὶ καὶ πᾶσαι μαγγανεῖαι κατὰ τῶν ὠνίων, καὶ δολιώσεις, καὶ τὸ τῶν τιμῶν ἀνεπιεικές, καὶ δισσὸν σάθμιον, καὶ μέτρα δισσὰ καὶ ζυγὸς δόλιος, κατὰ Σολομῶντα. καὶ, ὡς συνελόντι εἰπεῖν, αἰσχροκέρδειαι ἅπασαι.

ε.

Τῆς οἰκείας κτήσεως ἀμέλεια καὶ ῥαθυμία βίου ἀργίαι τε καὶ ῥαστωνεύσεις, βλάπτουσαι πάντοτε τὴν ἀρετήν. ὡσαύτως τρυ

φαὶ

φαί τε καὶ τὰ ἀναλώματα ἀσωτέας τε καὶ ἡδονῶν, τὰ περὶ πολυτελέας.

ς'.

Μικρολογία καὶ φειδὼ ἐν ταῖς ἐλεημοσύναις καὶ δόσεσιν, ὅπου ἐλευθεριότητος δεῖ. οὐδὲν δ' ἧττον καὶ ἡ τῶν πτωχῶν ἀναίδεια, καὶ τοῦ δανείζεσθαι συνήθεια. οἱ γὰρ μετὰ τετριμμένου προσώπου δανειζόμενοι ὅθεν ἂν λαμβάνειν δυνατὸν, οὗτοι πάντως ἂν καὶ κλέψαιεν καὶ ἁρπάσαιεν τὰ τῶν πέλας, εἰ καιροῦ ποτε τύχοιεν. περὶ δὲ τῶν δανεισμῶν, εὖ ἔχει τὸ ἀπαγόρευμα τοῦτο. ἔχεις, μὴ δανείσῃ, οὐ γὰρ ἀπορεῖς. μὴ ἔχεις, μὴ δανείσῃ, οὐ γὰρ ἐκτίσεις. πᾶς δὲ χρεώστης ἤτοι ἄθλιός ἐστιν ἐν φροντίσι καὶ μερίμναις τοῦ ἀποδοῦναι, ἢ ἀναιδὴς καὶ κακοῦργος διὰ τὸ ἀποστερεῖν βουλόμενος. τῇ δ' ἀπορίᾳ φιλοπόνῳ οὔσῃ συγγνώμην νεμητέον ἐνταῦθα. ὥσπερ καὶ ὁ Πλάτων νομοθετῶν, τότε ἐᾷ μεταλαμβάνειν ὕδατος ἀλλοτρίου τοὺς γείτονας, ὅταν παρ' ἑαυτοῖς ὀρύξαντες ἄχρι τῆς κεραμίτιδος, ἄγονον εὕρωσι νάματος τὸ χωρίον. οὐ γὰρ πρότερον ὀρθῶς ἔχει τινὰ μεταλαμβάνειν τῶν ἀλλοτρίων, ἢ πονήσας καὶ ἐπὶ πᾶν ἔργον νόμιμον τραπόμενος,

νος, οὐδ' ἐγὼ δύναμαι κτήσασθαι ἴδιον. τοὺς γὰρ μὴ ἐργαζομένους οὐδ' ἐσθίειν ἐθέλει ὁ ἅγιος ἀπόστολος.

ζ'.

Πᾶσαι ζημιώσεις καὶ βλάψεις ἤτοι διὰ προαιρέσεως γενόμεναι, ἢ καὶ διὰ ἀκηδίας καὶ ῥαδιουργίας, καὶ ἀμελείας τοῦ καθήκοντος, καὶ προφάσεως τῶν δεομένων βοηθείας.

Περὶ ἱεροσυλιῶν.

Εἰρημένου δὲ ὅτι αἱ τῶν βεβήλων κτημάτων, οἷα περ οὐσίν ἅπαντα τἀνθρώπινα, ἀφαιρέσεις παράνομοι εἰσίν, πολλῷ γε μᾶλλον νομιστέον δεινὴν εἶναι τὴν τῆς ἱεροσυλίας ἁμαρτίαν. εἰσὶ δ' ἱεροσυλίαι φανεραὶ μὲν, αἱ τῶν τῷ θεῷ καθιερωθέντων ἰδιοποιήσεις διὰ κλοπῆς ἢ ἁρπαγῆς, αἳ καὶ παρὰ πᾶσιν ἀνθρώποις μεγίσταις τιμωρίαις ἄξιαι νομίζονται τε καὶ ἐνομίσθησαν ἀεί ποτε, καί περ ὀλίγων οὐκ ἐθνῶν φημι οὐδὲ πόλεων ἀλλ' ἀνθρώπων, εὐσεβούντων περὶ τὸ θεῖον τῇ περὶ θρησκείας ἀκριβείᾳ, καὶ τῆς γνώσεως ἀληθείᾳ. οὕτω δὴ ἔμφυτον τὸ νομίζεσθαι τίμιον καὶ ἅγιον εἶναι δεῖν τό, τε θεῖον καὶ ὅσα τούτῳ ἀνάκειται. ὁ μὲν οὖν πρότερος διονύσιος ἀσελ-
γαίνων

γαίνων καὶ ἱερωνευόμενος περὶ τὰς θεοσυ-
λίας, μόνος σχεδὸν οὐκ ἔκτισε τιμωρίαν
αὐτὸς τοῦ ἀνομήματος, οὐ μὴν ἀλλὰ ἡ δίκη
παραπόδας ἀκολουθήκει· τό τε γὰρ καὶ γέ-
νος ἅπαν συνέμαρψε καὶ διέῤῥιψε. ἄλ-
λοι δὲ ἅπαντες, ὡς εἶπεν, αὐτοὶ ἐν τῷ οἰ-
κείῳ δέρματι ἱεροσυλήσαντες ἐκολάσθησαν.
ἱστόρηται δὲ καὶ περὶ παιδίου τινὸς σφόδρα νη-
πίου, ὅ, ποτε ἐκπεσὸν ἐν ναῷ πέταλόν τι
χρυσοῦν ἀπ' ἀγάλματος, ἀνεῖλε. καὶ μὴ λα-
θὸν, ἤχθη πρὸς τοὺς δικαστάς. οἱ δὲ ἀστραγά-
λους προὔθηκαν ἅμα τῷ πετάλῳ αὐτῷ. κα-
τενεχθὲν δὲ αὖθις ἐπὶ τὸ ἱερὸν χρυσὸν, κα-
ταδικάσαντες ἀπέκτειναν αὐτὸ ὡς θεοσύ-
λην, μὴ δόντες συγγνώμην τῇ ἡλικίᾳ ἀλ-
λὰ τιμωρησάμενοι διὰ τὴν πρᾶξιν. οὕτω δεῖ-
νος ζῆλος περὶ τὰ θεῖα ἦν καὶ ἐν τοῖς ἀγνοοῦ-
σι τὴν περὶ τοῦ θεοῦ ἀλήθειαν. αὕτη τοίνυν
ἀναμφιλόγως μεγίστη τε ἀσέβεια καὶ ταῖς
ἐσχάταις τιμωρίαις ὑπόδικος. ἔστι δὲ καὶ
ἕτερον εἶδος τῆς ἱεροσυλίας, ἧττον μὲν φα-
νερᾶς, ὁμοίως δὲ θεοστυγοῦς καὶ βδελυρᾶς,
ὁ τῆς ἐκκλησιαστικῆς οἰκονομίας περισπασ-
μός, ἤτοι τινῶν τὰ ἤδη συναχθέντα ἁρ-
παζόντων καὶ τὴν χορηγίαν ὑφελόντων

καὶ μόνον οὐ λιμαγχονούντων τῶν τῇ ἐκκλησίᾳ ὑπηρετοῦντας, ἢ καὶ μὴ πάσῃ σπουδῇ καὶ ἐπιμελείᾳ πρόνοιαν καὶ φροντίδα ποιουμένων, οἷς προσήκει, τῶν ἐν ἐκκλησίᾳ λειτουργούντων καὶ τῆς διατροφῆς αὐτῶν, ὥστε ζῆν ἐκείνους ἀμερίμνως καὶ ἀνενδεῶς τῶν ἀναγκαίων μόνῃ τῇ ἐκκλησιαστικῇ πραγματείᾳ σχολάζοντας, καὶ μὴ ἀναγκάζεσθαι περὶ τῶν ἔξω πονεῖν τε καὶ ἐνθυμεῖσθαι. τοῦτο γὰρ εἶδος κυρίως ὥσπερ καρκίνος σῶμα οὕτω διαφθείρει ἐπινεμόμενον τὰ περὶ ἐκκλησιαστικῆς θεοσεβείας τε καὶ καλοκαγαθίας, καὶ λεληθότως ἅπαντα γνώμαις τε βεβήλαις καὶ πράξεσιν ἀθέοις ἀναπληροῖ. καὶ προκαλεῖται ἔγγιστα τὴν θείαν ἐπίσκεψίν τε καὶ ἐκδίκησιν. ὥστε φυλάττοι τ' ἂν ἰσχυρῶς ἐνταῦθα πᾶς ὅτῳ περὶ ἰδίας σωτηρίας πέρι μέλει τι, τὸ μήτε τὰς χεῖρας μήτε τὴν διάνοιαν χραίνειν τῇ ἀνοσίῳ τόλμῃ, μήτε παρὰ τὴν τῆς ἱερᾶς γραφῆς ἀπαγόρευσιν, ἅψασθαι τῶν χριστῶν τοῦ κυρίου, καὶ πονηρεύεσθαι ἐν τοῖς προφήταις αὐτοῦ. ἀλλὰ περὶ τούτων ἄλις ἤδη, ὡς κατὰ τὸν παρόντα λόγον.

Περὶ

Περὶ ἐλεημοσύνης.

Περὶ δὲ τῆς ἐλεημοσύνης ἔτι διδακτέον ἐνταῦθα τὸ εἶναι τοὖργον ταύτης μάλιστα θεοφιλές τε καὶ ἐπαινετὸν ἐν ταῖς θείαις γραφαῖς, ὅπου ποτὲ μὲν τοῖς ἐλεήμοσιν ἡ τοῦ ἐλέους ἐπαγγελία προσοικειοῦται, ποτὲ δὲ τοῖς ἐλεημοσύνην διδοῦσι πάντα καθαρὰ εἶναι ἀποδέδεικται. ὁ δὲ Δανιὴλ συμβουλεύει τῷ τῶν Ἀσσυρίων βασιλεῖ, λυτροῦσθαι τὰς ἁμαρτίας ἐν ἐλεημοσύναις, καὶ τὰς ἀδικίας ἐν οἰκτιρμοῖς πενήτων, οὐχ ὅτι τὸ ἔργον καθ' αὑτὸ τῶν ἁμαρτιῶν ἀφανιστικόν, ἀλλ' ὅτι ἐν τοῖς μετανοοῦσι, καὶ μάλιστα ἐπὶ ταῖς τῆς βίας καὶ ὕβρεως πλημμελήσεσι μεταμελουμένοις, οὗτος ὁ τῆς μετανοίας καρπὸς κάλλιστος καὶ τῷ πράγματι οἰκειότατός ἐστι. παρὰ δὲ Σολομῶντι, οἱ μεταδοτικοὶ καὶ ἀφειδῶς ἔχοντες τοῦ ἐπικουφίσαι ἐκ τῶν ἐνόντων τοὺς δεομένους, ἐλευθεροῦνται παντός, περὶ τοῦ ἀπορεῖν ποτε τῶν ἐπιτηδείων, φόβου. οὐ γάρ, φησι, λιμοκτονήσει ὁ κύριος ψυχὴν δικαίων. καί, ὁ ἐπισπλαγχνιζόμενος ἐλεηθήσεται. καί, ἄνδρα ἱλαρὸν καὶ δότην ἀγαπᾷ ὁ θεός. ὃ καὶ ὁ ἅγιος Παῦλος παρεξελέξατο. καὶ αὖθις, ὃς δίδωσι πτωχοῖς οὐκ ἐνδεηθή-

σεται. καὶ μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεεῖ. κατὰ δὲ τῶν ἀνελεημόνων βαρεῖαι πανταχοῦ ἀπειλαὶ ἐμφέρονται ταῖς γραφαῖς. ὡς τὸ, ὃς ἀποστρέφει τοὺς πτωχοὺς ἐν πολλῇ ἀπορίᾳ ἔσται. καὶ, μὴ ἀποβιάζου πένητα, πτωχὸς γάρ ἐστι. καὶ μὴ ἀτιμάσης ἀσθενῆ ἐν πύλαις ὁ γὰρ κύριος κρινεῖ αὐτοῦ τὴν κρίσιν καὶ ῥύσεται τὴν αὐτοῦ ψυχήν. καὶ, ὃς φράσσει τὰ ὦτα αὐτοῦ, τοῦ μὴ ἀκοῦσαι ἀσθενοῦς, καὶ αὐτὸς ἐπικαλέσεται καὶ οὐκ ἔσται ὁ ἐπακούων. ἐξ ὧν δῆλον καὶ φανερὸν γίνεται, ὅτι τοὺς ἀσθενεῖς καὶ παρὰ τῶν ἄλλων χρείαν ἔχοντας βοηθείας, μὴ εὐεργετεῖν ἢ καὶ λυμαίνεσθαι, πολλῷ μᾶλλον ἄνομον καὶ θεοστυγές. καί φησιν ὁ αὐτὸς Σολομῶν, εἰς κτῆμα ὀρφανῶν μὴ εἰσέλθῃς. ὁ γὰρ λυτρούμενος αὐτοὺς κύριος κραταιός ἐστι καὶ κρινεῖ τὴν κρίσιν αὐτῶν μετὰ σοῦ. καὶ ἐζεκιὴλ ἐν τοῖς χαλεπωτάτοις παραπτώμασι καταλέγει, τὸ, ὀρφανὸν καὶ χήραν κατεδυνάστευον. ὁ δὲ νόμος φησί. προσήλυτον οὐ κακώσετε, οὐδὲ μὴ θλίψητε αὐτόν. ἦτε γὰρ προσήλυτοι ἐν γῇ αἰγύπτου. πᾶσαν χήραν καὶ ὀρφανὸν οὐ κακώσετε. ἐὰν δὲ κακίᾳ κακώσητε αὐτούς, καὶ κεκράξαντες καταβοήσωσι πρός με, ἀκοῇ εἰσακούσομαι τῆς

φωνῆς αὐτῶν καὶ ὀργισθήσομαι θυμῷ, καὶ ἀποκτενῶ ὑμᾶς μαχαίρᾳ. καὶ ἔσονται αἱ γυναῖκες ὑμῶν χῆραι, καὶ τὰ παιδία ὑμῶν ὀρφανοί.

Περὶ τοῦ, εἰ κτᾶσθαι τοὺς χριστιανοὺς καὶ ἴδια χρήματα κατέχειν ὅσιον.

Ἐκ τῶν εἰρημένων πρόχειρον ἂν εἴη πορίζεσθαι καὶ τοῦτο, ὅτι οὐκ ἀπηγόρευται μὲν οὐδαμῶς τοῖς χριστιανοῖς, μᾶλλον δ' ἐπιτέτακται κτήσεις καὶ οὐσίαν καὶ χρήματα κατέχειν ἴδια. φησὶ γοῦν Σολομών, υἱὲ πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων, καὶ ἀπὸ σῶν φρεάτων. ὑπερεκχείσθω σοι τὰ ὕδατα ἐκ τῆς σῆς πηγῆς, εἰς δὲ τὰς σὰς πλατείας διαπορευέσθω τὰ σὰ ὕδατα. ἔστω σοι μόνῳ ὑπάρχοντα, καὶ μηδεὶς ἀλλότριος μετασχέτω σοι. ἡ πηγή σου τοῦ ὕδατος ἔστω σοι ἰδία. πῶς δ' ἂν καὶ δοίη τις ἑτέρῳ ἐλεημοσύνην ποιούμενος, ὅπερ διαῤῥήδην παραγγέλλεται τοῖς εὐσεβέσι τῶν ἀνθρώπων ἐν ταῖς θείαις γραφαῖς, μηδενὸς ἔχοντος ἴδιον μηδέν; ἀλλὰ τί δὲ μᾶλλον πτωχεύοι τις ἢ κτησάμενος μεταδοίη τῷ δεομένῳ; πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν, φησὶν ὁ κύριος. ἡ

τοίνυν ἀπορία ἐν τοῖς φαύλοις καὶ κακοῖς νομιζομένοις, ὀρθῶς πιθοῖτ' ἄν, ὥστε χρεὼν ἔχειν αὐτὴν τῆς χριστιανικῆς ἀρετῆς, ἐν οἷς παραπέπτωκεν, ἵνα τὰς ἀναγκαίας τύχας οὗτοι φέρειν εὐψύχως καὶ ἀνδρείως οἷοί τε ὦσιν, ὥσπερ περὶ καὶ νόσους καὶ τὰς ἄλλας τῶν δυστυχιῶν. περὶ δὲ τοῦ ῥητοῦ, ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι. καὶ τούτου, εἰ θέλεις τέλειος εἶναι ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι, καὶ ἔτι ὅμοιον, νυνὶ μὲν οὐκ ἂν εἴη καιρὸς διαλαβεῖν διὰ πλειόνων, ὡς δ' ἐν παρέργῳ, ἰστέον ὅτι διαιρετὸν ἂν γενέσθαι τὸ πρᾶγμα τότε οἰητέον, καὶ ὅτι εἰδικόν τινα νοῦν ἔχει τὸ ῥῆμα, καὶ διαστέλλει περὶ οἰκείας τινὸς κλήσεως, οὐ παράγγελμα ὂν γενικῶν ἐπιτηρήσεων. τὰς δὲ τοιαύτας κλήσεις καθ' ἕκαστα λέγονται μὲν οἱ θεοφιλεῖς ὑπακούοντες ἀνεγκλήτως, ὥσπερ καὶ ὁ ἀβραὰμ, κελευσθεὶς θῦσαι τὸν υἱὸν, οὐκέτι δὲ καὶ αὐθεντῆσαι περὶ τούτων, καὶ οἷον αὐτοματίζοντας, τὴν τῆς ἰδίας γνώμης καὶ κρίσεως ἐθελοθρησκεῖαν ἐνστῆσαί τινας ἕξεσιν. ἐν ᾧ δὴ καὶ ἄλλοι τινὲς, τῶν ἐν ὁσίοις, καὶ ὁ ἅγιος Βασί-

λειος

λόγος· ὑπό τι τῆς εὐθείας ἀποπλανηθῆναι δόξειεν ἄν τινι, τὰς ψιλώσεις τῶν κτημάτων, καὶ φυγὴν πολιτικῆς συμβιώσεως καὶ κοινωνίας, καὶ ἀναχωρήσεις ἀπὸ τῶν ἀνθρωπίνων συνουσιῶν, καὶ καινῶν τινῶν μονάσεων νομοθετήσεις, τῆς ὑπὸ κυρίου ἀποταγῆς κοσμικῆς καὶ νεκρώσεως σαρκικῆς καὶ σταυροῦ κομιδῆς, εὐσχημοτάτοις ὀνόμασι κοσμηθείσας, εἰς τὴν εὐαγγελικὴν τελείωσιν ἐμπλέκων, ἐπ᾽ ἐλπίδι τελείας ἀφροντιστησίας καὶ δὴ καὶ ἀπαθείας ἐν τῷ οἱονεὶ ἀγγελικῷ καὶ οὐκέτι ἀνθρωπείῳ βιοτῷ. οἷς εὐμορφωτάτων ῥημάτων λογικοῖς ἐννοήμασιν οὐχ ἥκιστα καὶ οὗτος ἀνήρ, οὐδενὸς τῶν κατ᾽ αὐτῶν ἐν ἐκκλησίᾳ ἀρετῇ τε καὶ σοφίᾳ διαπρεπόντων δεύτερος γεγονώς, καὶ ἄλλοι τινὲς περὶ αὐτοῦ φαίνονται σφαλέντες, εἰσηγηταὶ γενέσθαι, οὐχ ἑκόντες οὐδὲ διανοηθέντες αὐτοί γε, τῆς μετ᾽ οὐ πολὺ ἐπισεσωρευμένης ἀσεβεστάτης, καὶ εἰδωλολατρικῆς τῶν μοναχικῶν μορμολυκείων τερατείας, καὶ τῆς ὀρθοδοξίας παραφθορᾶς καὶ λύμης. λεκτέον γὰρ τἀληθές, κἂν δάκῃ τινὰ τῶν πτεροῖς, φασι, τὰ ὦτα κινουμένων. ἀλλὰ περὶ τούτων ἄλλοθί που ἴσως εὐκαιρότερον

αἱρήσεται, χρηζούσης τῆς πραγματείας, ἐκθέ-
σεως οἰκείας. εἰ γὰρ καὶ εὐαγγελικὸν ἦν τὸ
τῶν ἀναχωρήσεων πολίτευμα, νυνίγε ὅ-
μως σκηνὴ τις θαυμαστὴ αὕτη εἰς τὴν ἐκ-
κλησίαν εἰσκομισθεῖσα δήλη ἐστιν, ἢ τῶν ἀνη-
ρίθμων θρησκειῶν πολυπρόσωπος ἐπί-
νοια. δεῖ δ' ἐν ἅπασι ζητεῖν τὸ ἀτρεκὲς, καὶ
κρατεῖν οὐδενὸς πλὴν ὅπερ ὁ τῆς ἀληθείας
λόγος αἱρεῖ.

Περὶ τῶν συμβολαίων καὶ διαδικα-
σιῶν, καὶ ἀποκαταστάσεως.

Ἔτι δὲ ποθεῖταί τις ἂν ἐντεῦθεν, τὸ δεῖν
τἀδίκως ἄλλοις ἀφαιρεθέντα καὶ συληθέν-
τα ἀποκατασταθῆναι. λέγει γὰρ ὁ ἅγιος παῦ-
λος, ὁ κλέπτων μηκέτι κλεπτέτω. ἡ δὲ κλο-
πὴ ἐλέγχεται εἶναι ψηλάφησις τοῦ ἀλλοτρίου.
ἕως ἄρα κατέχεται τὸ κλοπιμαῖον, κλοπὴν
τέως ἁμαρτάνεσθαι νομιστέον. λείποιτο δ' ὅ-
μως ἂν ἐν τούτοις καὶ τῇ ἐπιεικείᾳ χώρα τις,
καὶ συγγνώμην νέμοιτ' ἂν ἴσως ἐνίοτε τῇ
παραβάσει, οἷον ἐν μικροῖς λήμμασι, μέγα
ὄνειδος ἐποισομένοις φανεροῖς γεγονόσιν.
ἀλλὰ δὴ κἂν τούτοις κἂν ἄλλοις ἅπασιν ἡ
διάκρισις παρὰ πνευματικοῖς πρόχειρος,
οὐδὲ

οὐδὲ βρόχοις νομικοῖς πισὶν ἐμβλητέον τὰς ἁπλουστέρας τῶν συνειδήσεων. καὶ ὅσα δ' ἐμπίπτουσιν ἄλλα ἐνταυθοῖ, ἐατέον, καὶ τοῖς σχολὴν ἄγουσι παραδοτέον ἐρευνᾶν περιεργότερον. οἷον πότερον διαδικάζεσθαι τοὺς χριστιανοὺς ἔξεστι; καὶ περὶ τῶν συμβολαίων καὶ τῶν ἀργυροκοπιῶν ἤγουν ὀβολοστασιῶν. καὶ ἔτι ἄλλο τοιοῦτο. ταῦτα γὰρ κανονίζειν δύναται ἅπαντα, τὸ παρηγγελμένον ὑπὸ χριστοῦ. ὅσα ἐθέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτως ποιεῖτε αὐτοῖς. καὶ οὐδεὶς οὕτως ἀναίσθητός ἐστιν ὥστε ἀγνοεῖν ποῖον κέρδος καλὸν, καὶ ποῖον αὖ αἰσχρόν. τὰ δὲ συμβόλαια πάντα, οὕτως ἔχει ὡς ἂν πραχθῇ. εἰ οὖν μὲν, δικαίως, τουναντίον δὲ, ἀδίκως, κἂν πάνυ τις τοῖς τῶν νομικῶν διατάξεων παρηκολουθηκὼς ῥήμασι, τὸ πλεονεκτικὸν τοῦ τρόπου κατακαλύπτειν πειραθῇ. περὶ δὲ τοῦ διαδικάζεσθαι, καὶ τοῦτο δεῖ γνῶναι, ὅτι πάντως ἥττημά γ' ἐστὶν ὥσπερ καὶ πρότερον εἴπομεν, τὸ σύμπτωμα παρὰ τοῖς χριστιανοῖς, ὥς φησιν ὁ παῦλος ἐπιτιμῶν τοῖς κορινθίοις. ἤδη μὲν οὖν ὅλως ἥττημα ἐν ὑμῖν ἐστὶν, ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν. διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διατί οὐχὶ μᾶλλον ἀπο-

στερῆσθαι; διότι ἀσφαλέστερον ἀπέχεσθαι πάντως, εἰ δυνατὸν, τὸ πράγματα τ' ἔχειν αὐτὸν καὶ παρέχειν ἄλλοις, ἐν ταῖς διαδικασίαις. καὶ ἄριστον ἦν μήποτε μήτε φεύγειν μήτε διώκειν, μήτε ὁποίας οὖν προαιρέσει στρωφᾶσθαι ἐν τοῖς δικαστηρίοις, μὴ ἐπικαλούσης ἢ δημοσίας χρείας, ἢ τοῦ πλησίον κινδύνου ἢ καὶ τοῦ ἰδίου καθήκοντος. ὃν τρόπον καὶ περὶ ὅρκου ἐπακτοῦ Ἰσοκράτης ὑποτεθήκατο, προσδεκτέον τοῦτον διὰ δύο προφάσεις, ἢ ἵνα τις αὑτὸν αἰτίας αἰσχρᾶς ἀπολύῃ, ἢ φίλους ἐκ κινδύνων διασώζῃ. ἕνεκα δὲ χρημάτων, φησὶ, μήποτε θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς. δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν. εἴποι δ' ἄν τις κἀνταῦθα ὁμοίως, μὴ δικάζου ἑκὼν πώποτε χρημάτων χάριν. ἢ γὰρ συκοφάντης τισὶν, ἢ φιλάργυρος δόξεις. πάντως δὲ τὸ ἀπράγμον τῆς χριστιανικῆς διαθέσεως ἐνοχληθήσεται. λείπεται τοίνυν μόνη ἡ προειρημένη ἀνάγκη, ἧς ἐπενεχθείσης, καλῶς ἂν ἔχοι, καὶ διαδικάζεσθαι καὶ πάντα ἄλλα πράττειν, τοῦ τε θεοῦ ὑπερδικοῦντας καὶ τὸν πλησίον ὠφελοῦντας.

Περὶ

Περὶ τῆς .η. ἐντολῆς.

Ἀπηγορευθέντων ἐν τοῖς ἄνω κεφαλαίοις πάντων ὅσα μετὰ βίας καὶ αὐτοχειρὶ πράττοι ἄν τις ὑπὲρ κακῷ καὶ βλάβῃ τοῦ πλησίον ἤτοι τὸ σῶμα πημαίνων, ἢ καὶ τῶν κτημάτων αὐτοῦ ἐπιληψόμενος, νῦν ἐνταῦθα καὶ τῇ γλώσσῃ αὐτῇ τέθειται νόμος, τοῦ μὴ πλάττειν λόγους ματαίους, καὶ καταψεύδεσθαι τοῦ πλησίον, ὅτι δὲ τοῦτο τὸ ὄργανον, ἅμα τε χρησιμώτατον καὶ πολυωφελέστατον, ἅμα τε σκαιότατον καὶ ὀλεθριώτατόν ἐστι, λέλεκται δὴ πολλοῖς, καὶ ἡμεῖς ἐν τοῖς ἔμπροσθεν ἐπεσημηνάμεθα. καὶ λόγος παλαιός τις ἐρωτᾷ ταῦτα. γλῶσσα ποῦ πορεύῃ; ἀποκρίνεται δ' ἐκείνη, πόλιν ἀναστρέψουσα καὶ πόλιν ἀνορθώσουσα. θάνατος γὰρ καὶ ζωὴ ἐν χειρὶ γλώσσης. τὸ τοίνυν ἀπαγόρευμα γενικὸν τῆς ψευδολογίας, καὶ τὸ διαγόρευμα τῆς ἀληθεύσεώς ἐστιν. ὥσπερ καὶ ὁ σολομῶν ἐξηγήσατο. χείλη ἀληθινὰ κατορθοῖ μαρτυρίαν. μάρτυς δὲ ταχὺς γλῶσσαν ἔχει ἄδικον. καὶ ὁ αὐτός φησι. βδέλυγμα κυρίῳ χείλη ψευδῆ. ὁ δὲ ποιῶν πίστιν δεκτὸς παρ' αὐτῷ. καὶ αὖθις. μάρτυς πιστὸς οὐ ψεύδεται. καί, μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος·

τος ἔσαι. καὶ πάλιν. ποιεῖν δίκαια καὶ ἀληθεύειν, ἀρεστὰ παρὰ θεῷ μᾶλλον ἢ θυσιῶν αἷμα. ἐν δὲ ψαλ. λδ΄. ψαλμῷ μάρτυρες ἄδικοί εἰσιν οἱ δόλους πλέκοντες κατὰ τῶν εὐσεβοῦς, ἐρευνώμενοι καὶ ἐρωτῶντες, φησιν, ἃ οὐκ ἐγίνωσκον. ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο. ἐν δὲ ψαλ. λγ΄. φησί. τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. ὧν παρεκδοχὴ καὶ ἐν τῇ πρώτῃ τοῦ ἁγίου πέτρου ἐπιστολῇ. ὁ δὲ ἰάκωβος καὶ τὰς καταλαλιὰς ἁμαρτάνεσθαί φησι κατὰ τῆς ἐντολῆς, ἐν τούτοις. μὴ καταλαλεῖτε ἀλλήλων ἀδελφοί. ὁ καταλαλῶν ἀδελφοῦ καὶ κρίνων τὸν ἀδελφὸν αὐτοῦ καταλαλεῖ νόμου καὶ κρίνει νόμον. διοριστέον ἄρα πρῶτον τί ψεῦδος. κατὰ γὰρ ψευδολογίας, ὡς ἔφημεν, κεῖται ἡ ἐντολή. ἔστι τοίνυν ψεῦδος, λόγος πλαστὸς ἐπιτηδευόμενος μετὰ δόλου ἐπὶ κακώσει τῶν πέλας. ἤ, ψεῦδος, ῥῆσίς ἐστι τὸ μὴ ὂν κατασκευάζουσα ὡς ὄν. ἢ ἁπλούστερον, λόγος διαφθείρων τἀληθές. ἤ, ὅταν τὰ λεγόμενα ἑτέρως ἔχῃ ἤπερ λέγεται. ἤ, ψεῦδός

ἐστι πλάσμα διανοίας προσποιουμένης ἀλη-
θεύειν. ἢ τὸ τὰ μὴ ἀτρεκῆ ποιεῖσθαι λέγοντα
ἐτύμοισιν ὅμοια. ποικίλως γὰρ καὶ πολυ-
ειδῶς αὖτις ὁρίσαιτο τὸ ψεῦδος, πολύτρο-
πον ὂν καὶ πολύμορφον. ὡς γὰρ ἐσθλοὶ, κατὰ
τὴν παλαιὰν παροιμίαν, οὕτω καὶ ἀληθεῖς μὲν
ἁπλῶς, παντοδαπῶς δὲ κακοὶ καὶ ψευ-
δεῖς. ἐκ τῶν λεχθέντων ἄρα δῆλον ἂν γέ-
νοιτο ὅτι ψευδῆ μὲν κυριώτατα λέγεται ὅσα
βουλήσει πονηρᾷ συσκευάζεται καθ' ἑτέρου
ἐπὶ διαβολῇ αὐτοῦ, εἴη δ' ἂν κἀκεῖνα, τὰ
γνώμῃ ματαίᾳ καὶ διαστρόφῳ γλώσσῃ ἐρε-
χελούμενα, ἐν μωρολογίαις καὶ εἰρωνείαις,
βλαπτικά τινων ὑπάρχοντα καὶ αὐτὰ, καί-
περ ἀπούσης περὶ τὴν βλάπτειν προαιρέσεως,
ἔσθ' ὅτε μήτ' ἐννοήσαντος μήτε βουλεύσαν-
τός τινος κακὸν ἑτέρῳ. ὅτι πᾶν ῥῆμα ἀρ-
γὸν ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώ-
σουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως.

Περὶ προσποιήσεως.

Ταῦτα μὲν οὖν καὶ τοιάδε τῶν ψευδῶν
αἰσχρά τ' ἐστὶ καὶ φευκτὰ ἅπαντα. γένοι-
το δ' ἂν ποτε καὶ ὑποστολή τις, καὶ προσποί-
ησις καὶ πλάσις, οὔτε μεμπτὴ καὶ πάνυ χρη-
στή.

στῇ. οἷον εἴ τις ὑποκρίνοιτο καὶ πλάττοι τι, ὑπὲρ
μὲν οὐδενὸς κακοῦ καὶ ἀπωλείας, ἀγαθοῦ δὲ
καὶ σωτηρίας τοῦ ἀθώου, ἤτοι ἑτέρου τινὸς ἢ
καὶ ἑαυτοῦ. ἐν τούτοις περιέχοιτ' ἂν ἴσως
καὶ ἡ τῶν ἀνοσίων ἐχθρῶν κολάσεως ἕνεκα,
γενομένη ὑπόκρισις, οἷα τῆς τ' ἰαὴλ ἦν
παραλογισαμένης ὀλεθρίῳ δόλῳ τὸν σισά-
ρα. καὶ τῆς ἰουδὶθ, τῆς δι' ἔρωτος πεπλασ-
μένου κλεψάσης οὐ μόνον τὴν νίκην ἀλλὰ καὶ
τὴν ψυχὴν τοῦ ὀλοφέρνου. καὶ ὁ ἀβραάμ, οὐκ
εἶπε μὲν σαφῶς τίς εἴη ἡ σάῤῥα, οὐ μὴν ἠρνή-
σατο δέ. καὶ ὁ κύριος προσεποιεῖτο πορρω-
τέρω πορεύεσθαι ἐπιφανεὶς τοῖς δύο ἐν ὁδῷ
ἰοῦσι τὸν ἐμμαοῦντα, οἰκονομῶν τὴν εὔκαι-
ρον ἐμφάνισιν αὐτοῦ. ὁ δὲ παῦλος εἰρω-
νευόμενος καὶ φάσκων μὴ εἰδέναι ὅτι ἀρ-
χιερεὺς εἴη ὁ κελεύσας τύπτεσθαι αὐτὸν ἀδί-
κως, οὐχ ὅτι ὡς ἀληθεῖ ψεύδει ἐλέγχοιτ' ἄν,
ἀλλὰ καὶ θαυμάζοιτ' ἐπαινούμενος τῆς ἐπι-
νοίας, ἐν τῷ εὐκαίρως χρῆσθαι μεταχειρισ-
μῷ τούτῳ, ἵνα δείξῃ τὸν περὶ τὰς κρίσεις
ἀδικοῦντα καὶ παρανομοῦντα, οὐ φυλάττειν
τὸ τοῦ ἀρχιερέως ἀξίωμα. ὅτι γὰρ οὐκ ἠγνόει
τίς εἴη ὁ ἀνανίας δηλοῖ τὸ λεγόμενον ὑπὸ
τοῦ παύλου, σὺ κάθῃ κρίνων με. ὡσαύτως

κοι-

κοινωνήσας τοῖς εὐχὴν ἔχουσιν ἰουδαίοις ὑπεκρίνατο τὴν καταργουμένην θρησκείαν, οὐκ ἐγκοπὴν ταύτην τιθεὶς τοῦ κηρύγματι, ἀλλ' οἰκονομίαν καὶ αἱ μητέρες τοῦ, παιδίοις κλαίουσιν ἐπιτιμῶσαι, ἀπειλοῦσιν ἑκάστοτε, ὅτι τοῖς λύκοις βορὰν προθήσουσιν αὐτά. δεῖ δ' ὅμως φυλακῆς ἐν τούτοις, μή τις λάθῃ περιπεσὼν τῇ ματαιότητι καὶ ἁμαρτῇ ἐν τῇ γλώσσῃ αὐτοῦ. τούτου μὲν οὖν ὀρθῶς ἔχοντος, μὴ προδιδόναι ἡμᾶς, οὔτε αὐτοῦ οὔτε ἑτέρου σωτηρίαν τῇ ἁπλότητι τῶν λόγων καὶ γλώσσῃ εὐθείᾳ, ἀλλὰ περιστεῖλαι ταύτην ῥήμασιν ἀξυνέτοις καὶ ἐσχηματισμένῃ φράσει, κατασχόντας τε ὑπὸ σκότου τὸ σαφὲς τῆς ἀληθείας, καὶ ὑφαρπάσαντας τἀτρεκές, ἐπαινοῦντός του τὴν πρόνοιαν καὶ σολομῶντος, ὅτε λέγει, ἄνδρα συνετὸν θρόνον αἰσθήσεως, καὶ ποιήσαντος οὕτω τοῦ δαβίδου ἐν τῷ μιμεῖσθαι μαινομένου σχήματι, τῆς τε μιχὼλ νοσηλευούσης τὸ εἴδωλον, ὧδε τοίνυν ἐχόντων τούτων, οὐ δή γε καὶ εὖ ποιῶν ἄν τις τὰ τῶν ἔξω πανουργεύματα ἐνταῦθα παρεμπλέκοι, τὴν ὀδύσσειαν λέγω καὶ ὀρέστειαν, καὶ ἐκ τῶν ἰσοκρατῶν τὴν διαρρέου γνώμην, ἔνθα τι δεῖ ψεῦδος λέγεσθαι,

λεγέ-

λεγέσθω, τοῦ πρὸς ἡροδότῳ, τέλος προθε-
μένου τοῦ τε ἀληθίζειν καὶ τοῦ ψεύδεσθαι,
κέρδους ἐπισπασμόν. ἡμεῖς γὰρ οὕτω λα-
λοῦμεν περὶ τούτων, ὡς πρὸ πάντων μεμνη-
μένοι τῶν ἐντολῶν θεοῦ, αἷς ὑπακοῦσαι τις
ἂν μετὰ φόβου θεοῦ, ὥστε πανταχοῦ βλέπειν
πρὸς ἐκείνου θέλημα, καὶ οὐδενὸς ἄλλου σκο-
ποῦ προκειμένου τῶν πράξεων, οὕτω πάντα
γίνεσθαι εὐάρεστα αὐτῷ, προηγουμένης τῆς
διανοίας οὐχ ὑπὸ σαρκικῶν λογισμῶν, ἀλ-
λὰ πνευματικῶν ἐννοημάτων πρὸς τὴν εὐ-
σέβειαν. νοητέον δὲ καὶ περὶ τῶν τῆς εὐλαβεί-
ας πλασμάτων, ὅτι ἐν τοῖς ἀνθρωπίνοις
πράγμασι χρῆσις ἂν εἴη τούτων, ἐν οἷς ὀ-
φειλέται ἐσμὲν καὶ ὑπηρέται, ἡμῖν τε αὐτοῖς
καὶ τοῖς ἄλλοις τοῦ εὖ ποιεῖν καὶ φυλάττεσθαι,
εὐλαβούμενοι τὰ πάντοτε δεινὰ καὶ βλα-
πτικά. ὅσα δὲ θεῖά ἐστι τῶν πραγμάτων, καὶ
διάταξιν περιέχει φανερὰν ῥήματος θεοῦ,
περὶ τούτων οὐδαμῶς ἔξεστι ὑποστείλασθαί τε
σοφιζομένους καὶ ἀκκίζεσθαι, τοὺς εὐσεβεῖν προ-
ῃρημένους. ἀλλ' ἀνάγκη τρανῶς τότε ὁμο-
λογῆσαι τὴν ἀλήθειαν, οὐδὲν λέγοντας ἢ
πράττοντας ἐκτὸς τῆς προαγορεύσεως τοῦ
θείου λόγου. ταῦτα δὲ μάλιστα τὰ τῆς ἁγίας

πίστεως

πίστεως κεφάλαια, καὶ τὰ πρὸς ἐκείνην ἀναφερόμενά ἐστι. εἰ γὰρ συγχωροῖντο κἀνταῦθα στροφαὶ καὶ ποικίλματα σοφιστικά, ὁπότ᾽ ἂν συμβαίη μαρτυρήσαντάς τινας περὶ πίστεως λυπηρόν τι παθεῖν, ἐξὸν λέγειν μὲν τόδε, φρονεῖν δ᾽ ἕτερον. ὅπερ οὐδαμῶς ἐξέσιν, ἀλλὰ γυμνὴν δεῖ καὶ ἀπαρακάλυπτον περὶ τῶνδε τὴν ἐξομολόγησιν γίνεσθαι.

Περὶ τῶν μυθικῶν πραγματειῶν.

Περὶ δὲ τῶν μύθων λεγομένων καὶ ὅλης τῆς ποιητικῆς, ἡ διάκρισις εὐχερής. ἐπεὶ μηδὲ ψευδῆ τάδε κατὰ τὴν ἡμετέραν διόρισιν εἴη ἄν. εἰ γὰρ καὶ ψεύδονται ἀοιδοί, ὥς φαμεν, πλάττοντες διηγήσεις τινὰς ἑώλους καὶ ἀνυπάρκτους, οὐ μὴν καὶ ψευδῆ εἶεν ἂν εὐθέως τὰ ποιήματα. οὐ μᾶλλον ἢ γραφαί, τὰ τοιαῦτα εἰκονίζουσαι καὶ διατυποῦσαι. διὰ τοῦτο εὖ εἴρηται, ὅτι ἡ ποίησις, ζωγραφία λαλοῦσα. οἱ μυθολόγοι τοίνυν οὐχ ὡς σφαλοῦντες καὶ ζημιοῦντες τῆς ἀληθείας τοὺς ἀναλεξαμένους ποιοῦσιν ἐκεῖνα, ἀλλ᾽ ὡς βιωφελῆ τινα τῆς ἰδίας περὶ τῶν ἀληθῶν γνώμης ἰνδάλματα, ἐν θ᾽ ὑπονοίαις καὶ δι᾽ ἀλληγοριῶν ἐνδείξοντες, οὐ τοῖς πολλοῖς,

ἀλλὰ τοῖς συνετοῖς. διὰ τοῦτο τὰ λεγόμενα περικαλύπτουσιν αἰνίγμασι καὶ λέξει οὐδαμῶς κοινῇ, οὐδὲ εὐδιανοήτῳ. περὶ δὲ τούτων ἀκριβέστερον διαλαβεῖν οὐ τῆς παρούσης ἂν εἴη πραγματείας. ἣν δέ τις ψευδῆ βούλοιτο καὶ ταῦτα καλεῖν, ἴστω δὴ καλῶν οὕτω τὰ ὠφέλιμα τοῖς ἀκροωμένοις, ὥσπερ περὶ τραγῳδίας ποτ' ἔφη γοργίας, συγχωρήσας ἀπάτην εἶναι ταύτην, ἣν μέντοι ὁ ἀπατήσας δικαιότερος τοῦ μὴ ἀπατήσαντος, καὶ ὁ ἀπατηθεὶς σοφώτερος τοῦ μὴ ἀπατηθέντος. περὶ δ' ὅμως τῶν μύθων καὶ ποιημάτων ἐπιμελῶς διαστεῖλαι χρὴ τοὺς εὐσεβεῖς, οὐ μόνον διορίσαντας, ὅπως δὴ ἀναγινώσκειν καὶ ἀκούειν, ἀλλὰ καὶ τίνα προσίεσθαι δεῖ ὅλως ἐν μαθήσει χριστιανικῇ. μεμνημένοι γὰρ τῶν λεχθέντων, εἰδείημεν ἂν ὅτι παντάπασιν ἐκβλητέον τινὰ καὶ ἀποσκορακιστέον, ὅσα περ ἀθεότητός τε καὶ αἰσχρολογίας καὶ μωρολογίας γέμει. τῶν δ' ἄλλων ἀναγνῶσται τ' ἐσόμεθα καὶ ἀκροαταί, οὐχ ἧττον περίσκεπτοι καὶ εὐλαβεῖς ἢ ἐπιεικεῖς καὶ σπουδαῖοι. καὶ ἐν ταῖς ἀλληγορίαις δὲ μετριάσαιμεν ἄν πως. οὐδ' ἐν τοῖς ἀτόποις τερατολογήμασι πολὺν χρόνον, οὐ τιμιώτα-

τον

τὸν εἶναι τἀνάλωμα ὀρθότατα εἴρηται, δαπανήσαιμεν, ὥστε διορθώσασθαι πρὸς τὸ πιθανόν. ἄλλως τε καὶ προὐργιαίτερα ἄλλα ἔχοντας, οὐ μόνον τὸ, κατὰ τὸν σωκράτη, σπουδάσαι περὶ τὸ γνῶναι αὐτοὺς ἑαυτούς, ἀλλά, κατὰ τὸν ἅγιον παῦλον, ὡς κατοικῆσαι τὸν χριστὸν διὰ πίστεως ἐν ταῖς καρδίαις ἡμῶν, ἵνα ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθελιωμένοι ἐξισχύσωμεν καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις τί τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος, γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ χριστοῦ, ἵνα πληρωθῶμεν εἰς πᾶν πλήρωμα τοῦ θεοῦ. περὶ δὲ τῶν εἰδῶν ἐν οἷς ἡ ἁμαρτία φαίνεται διαιρουμένη, λοιπὸν ἂν εἴποιμεν ὧδε.

ά.

Πρῶτον ἐστὶ τούτων τὸ ψευδομαρτυρῆσαι, ἤγουν καταψεύδεσθαι τοῦ πλησίον, παρά τε δικασταῖς καὶ διαιτηταῖς συκοφαντοῦντα, καὶ παρ' οἷστισιν οὖν διαβάλλοντα καὶ λοιδορούμενον. περὶ δὲ τῶν διαβολῶν, ὧν παρώνυμος ὁ σατὰν πολέμιος ἀεὶ ὢν χριστῷ, πρότερον εἴρηται. προφανῶς γὰρ αὐταὶ μιαιφόνοι τε καὶ θανατηφόροι εἰσίν.

β'.

Δεύτερον εἶδός ἐστι τῶν χυδαίων καὶ δημωδῶν ψευδῶν. καὶ τὸ ἐν τῷ κρύπτειν δολίως τὴν ἀλήθειαν, κακοτροπίας. καὶ τὸ λεγομένης κερδοσύνης. καὶ τῶν πανουργευμάτων, οἷς βλάπτονται οἱ συνομιλοῦντες. οὗτοι γάρ εἰσιν οἱ, κατὰ τὸν σολομῶντα, ἐγκαταλείποντες ὁδοὺς εὐθείας, τοῦ πορεύεσθαι ἐν ὁδοῖς σκότους, ὧν αἱ τρίβοι σκολιαὶ καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν, τοῦ μακρὰν ποιῆσαί τινα ἀπὸ ὁδοῦ εὐθείας καὶ ἀλλότριον τῆς δικαίας γνώμης. οὐ προκόπτουσι δὲ οὐδὲν οὗτοι. φησὶ γὰρ ὁ αὐτὸς σολομῶν, ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμανεῖ ἀνέμους, ὁ δ' αὐτὸς διώξεται ὄρνεα πετόμενα. καὶ αὖθις. ψυχαὶ δόλιαι πλανῶνται ἐν ἁμαρτίαις. καὶ, ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν.

γ'.

Ἐν συμβουλίαις ἤτοι ὑποθέσθαι τὰ ζημίαν ἐποιοῦντα, ἢ κρύπτειν τὰ χρήσιμα. ὡσαύτως καὶ τὸ προδιδόναι τὴν πίστιν καὶ ἐξενεγκεῖν τἀπόρρητα. καὶ ἐστι πολλοῖς τε ἄλλοις εἰρημένον, ὅσον ἀγαθὸν ἢ καθήκουσα καὶ ἐν δέοντι γενομένη σιγή, καὶ τῷ ἡσιόδῳ καλλιστά πως ὧδε,

γλώσ-

γλώσσης ἐστὶ θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος φειδωλῆς.

Ἐκ πολυλογίας γὰρ φησὶν ὁ Σολομῶν, οὐκ ἐκφεύξῃ ἁμαρτίαν, φειδόμενος δὲ ῥημάτων, νοήμων ἔσῃ. καὶ ὁ αὐτός. στόμα ἄφρονος συντρίβει αὐτῷ. καὶ αὖθις, ὃς φυλάσσει τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶσσαν, διατηρεῖ ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ. ὁ δὲ μὴ στέγων τὸ ἀπόῤῥητον, καὶ μόνῳ τῷ πεπιστευκότι φυλάξας αὐτό, πῶς δὴ παρακαταθήκην οὐκ ἂν ἀρνούμενος, ἀπομόσειεν; ὁ δὲ ἑκὼν ψευδόμενος, καὶ τοῦ ἐπιορκεῖν μόλις ἀπέχοιτ' ἄν.

δʹ.

Αἵ τε ἐν τῷ βίῳ καὶ τοῖς λόγοις εἰρωνεῖαι, καὶ τὰ σκώμματα καὶ ὑποκρίσεως ἔνεδρευτικὰ τῶν πλησίων. δεῖ γὰρ τὸν καὶ ἐντελοῦς στοχαζόμενον, οὐ μόνον καὶ κακοηθείας καὶ πονηρίας ἁπάσης καὶ τῶν ψευδῶν ἀλλότριον εἶναι, ἀλλ' ἔτι καὶ φιλαλήθη, καὶ ἁπλοῦν, καὶ ὀρθόφρονα, καὶ εὐθυγνώμονα καὶ γενναῖον τοὺς τρόπους, καὶ δεξιόν, καὶ ἀδέκαστον, καὶ ἐπιεικῆ, καὶ ταῦτα πάντα εὐλαβῶς ἐπιτηδεύοντα πρὸς ὑπακοὴν τοῦ θεοῦ,

ἐν πίστει τοῦ τελειώσαντος τὸν νόμον ἰησοῦ χριστοῦ κυρίου ἡμῶν.

έ.

Πέμπτον εἶδος εἴη ἂν τῆς διαστροφῆς καὶ εἰς τὸ χεῖρον παρατροπῆς τῶν ὑπ᾽ ἄλλων λεχθέντων καὶ πραχθέντων. ἐκ τῶν σοφιστῶν περὶ τὰ μαθήματα, καὶ συνελόντι εἰπεῖν, τῶν τῆς κακονοίας πλασμάτων.

ς'.

Τὸ τῆς καταλαλιᾶς. αἱ δὲ καταλαλιαὶ κἂν ἀληθεύσῃ τις ὡς ἐπὶ μέρους, ἀεί ποτε μετέχουσι τι καὶ ψεύδους. πρὸς τοῦτο γὰρ ἐνίστανται, ἵνα ζημιώδεις γίνωνται ἑτέροις. ἐν δὲ ταύτῃ τῆς ψυχῆς οἰκείᾳ, ἀληθεύειν τὴν ἰδίαν γλῶσσαν σχεδὸν ἀδύνατον. κἂν ποτε τὸ ψεῦδος τοῖς ῥήμασιν οὐκ ἐπιφαινόμενον τύχῃ, τόν γε νοῦν διὰ φθόνον καὶ ζῆλον ἐμπαθῆ ὄντα, παρατετράφθαι τότε, καὶ ἁμαρτεῖν τῆς εὐγνωμοσύνης καὶ ἀληθείας, ἀνάγκη. οὐδὲ γὰρ ἢ διαφέρει εἰ φύσει τις ἢ ἔθει μοχθηρῷ τὴν κακίαν περικείμενος, οὐχ ὅπως διορθώσασθαι πειρῷτο, ἀλλὰ καὶ οἷον ὕλην τινὰ πρὸς τὸ αὐξηθῆναι αὐτὴν ἐπιφέροι, τόν τε φθόνον καὶ τὴν ἐρίθειαν καὶ φιλονεικίαν, ἔσθ᾽ ὅτε καὶ κολακείαν, ἐν τοῖς χαρι-

ζομε-

ζόμενόν τινα τῇ ἄλλων πονηρίᾳ, κατηγορίαις τε περιβάλλειν καὶ λοιδορίαις απαράττειν, κωμῳδίων, φασὶ, δίκην, τοὺς μάλιστα ἀπόντας τῶν ἀνθρώπων.

ζ'.

Η προπέτεια οὐ μόνον τὸ αἰτιᾶσθαι τολμηρῶς, ἀλλὰ καὶ κρίνειν ἰταμῶς καὶ καταδικάζειν ἑτέρους. καὶ δὴ καὶ τὸ διατείνεσθαι αὐθαδῶς καὶ διϊσχυρίζεσθαι περὶ ὅτινος οὖν φιλονεικότερον μᾶλλον ἢ σπουδαιότερον. ἄλλωστε καὶ μὴ παντελῶς σαφοῦς καὶ προδήλου τοῦ πράγματος ὄντος. οὐ μέντοι γε καὶ ἡ παῤῥησία καὶ ἐπιτίμησις καὶ τὸ ἐπιπλήττειν, καὶ τὸ ἐλέγχειν τοὺς ἁμαρτάνοντας, κεκώλυται. μᾶλλον δὲ τὸ πικρὸν καὶ δηκτικὸν αὐτοῦ περὶ πλείονος πολλῷ ποιητέον, τοῦ γλυκέος καὶ προσηνοῦς τῶν θωπειῶν. οἱ δὲ ὀργιζόμενοι καὶ δυσχεραίνοντες ἐπιτιμώμενοι ἐνδίκως, τρόπον ἔχουσί τινα ἥκιστα πρὸς τὴν εὐσεβῆ ἀρετὴν ἐπιτήδειον. δεῖ δ' ὅμως τὴν παῤῥησίαν ἀμώμητον εἶν, τουτέστι νουθετητικὴν οὐ λοιδορητικὴν, καὶ οὐ μόνον πρὸς τὴν τῶν ἄλλων ὠφέλειαν ἑαυτοῦ δεδομένην, ἀλλὰ καὶ τέλος προθεμένην αὐτῇ, τὴν περὶ εὐσεβοῦς ἀληθείας συνηγορίαν

καὶ τὸν ὑπὲρ ταύτης ἀγῶνα. οὕτω δὴ μὴ μόνον ἄμεμπτος ἂν εἴη ἡ παῤῥησία, ἀλλὰ καὶ λίαν ἐπαινετή. καθάπερ καὶ τῶν πάλαι τις εἶπεν, ὅτι:
Καλόν γ' ἀληθὴς κἀτενὴς παῤῥησία.

Περὶ τῆς θ'. καὶ δεκάτης τῶν του δεκαλόγου ἐντολῶν.

Επὶ τέλους τῆς νομικῆς διατάξεως πρόσκειται ἐνταῦθα κεφάλαια δύο, ὡσεὶ τὸ αὐτὸ τείνοντα ἀμφώ. ταῦτα γὰρ δείκνυσιν, ὅτι ὁ νόμος ὁλόκληρον ὑπακοὴν ἀπαιτεῖ τοῦ ἐν ἀνθρώπῳ ἁπάντων, καὶ ὅτι οὐ μόνον τὰς πράξεις καὶ ἐπιβουλεύσεις κωλύει τῶν κακουργιῶν, ἀλλὰ καὶ ἐπιθυμίαν αὐτὴν καθ' αὐτὴν ἄνομον εἶναι ἀποδείκνυσιν. οὐ διότι ἐκ ταύτης οἷον πηγῆς τινος ῥέουσι πᾶσαι μοχθηρίαι καὶ ἁμαρτίαι, ὡς καί τις τῶν παρ' ἕλλησι σοφῶν εἶπεν, ὅτι,
Πάντων μετὰ πρῶτα κακῶν ἐπιθυμίη ἐστίν.
Αλλ' ὅτι κἂν μὴ πράξῃ τις μὴ τε διανοηθῇ βουλευόμενος περὶ τοῦ πονηροῦ, τῇ δ' ἐπιθυμίᾳ μόνον ἐρεθισθῇ κινούμενος πρὸς τὸ αὐτῇ τῇ ὀρέξει ἐφάψασθαί τινος τῶν ἀπηγορευμένων τοῦ πράττειν αὐτὸ ἢ ἐπιβάλλειν

τῇ ἐνθυμήσει αὐτοῦ, οὐκ ἄρα ἀναίτιος ἂν εἴη
παρὰ τοῦ θεοῦ. ὁ τοίνυν θεῖος νόμος διαῤ-
ῥήδην καὶ σαφῶς ἐνταῦθα τὴν ἐπιθυμίαν
καὶ πᾶσαν ἐννόησιν τῆς ἀδικίας ἀπελαύνει
τῆς τῶν εὐσεβῶν συμβιώσεως, καὶ τὴν τῆς
ὀρέξεως ὁρμὴν αὐτὴν διακωλύει, οὐ μόνας
τὰς βουλεύσεις τε καὶ ἐπιβολὰς τοῦ ἀνομεῖν,
ἃς καὶ ἡ τῶν ἀνθρώπων σοφία διελέγχει ὡς
ἀδίκους, καὶ φέρεται καὶ ξενοκράτους γνώμη
εὖ πάνυ νουνεχόντως ῥηθεῖσα, ὅτι μηδὲν δια-
φέρει ἢ τοὺς πόδας ἢ τοὺς ὀφθαλμοὺς εἰς ἀλλο-
τρίαν οἰκίαν τιθέναι. ἐν ταυτῷ γὰρ ἁμαρ-
τάνειν τόν τε εἰς ἃ μὴ δεῖ χωρία βλέποντα,
καὶ εἰς οὓς μὴ δεῖ τόπους παριόντα. καὶ λέγεται
τοῦτο ὑπὸ πλείστων, ὅτι οὐ μόνον ὁ ἀδικήσας
κακὸς, ἀλλὰ καὶ ὁ ἐννοήσας ἀδικῆσαι. εἴρηται
δὲ παρ' ἡροδότῳ, παλαιὰν τινα παραγγελί-
αν εἶναι, σκοπεύειν τινὰ τὰ ἑαυτοῦ. εἰσὶ δ'
οὗτοι ὀφθαλμοὶ οἱονεὶ θυρίδες τινὲς δι' ὧν
εἰσβιβάζονται τὰ τῶν ἐπιθυμιῶν αἴτια. τού-
των δ' ὧδε ἐχόντων, ἴσμεν οὐδέν γ' ἧττον
καὶ παρὰ τῶν ἔξω σοφῶν διδαχθέντες, ὅτι
καὶ ἐπιθυμίαι τινές εἰσιν οὐ ψεκταί. ὥσπερ
αἱ φυσικαὶ καὶ ἀναγκαῖαι λεγόμεναι. δῆ-
λον γὰρ ὅτι τὸ ἐπιθυμεῖν πάθος ἐστί τι σώ-

μαλα κεκραμένης ψυχῆς, ὥσπερ τὸ φιλεῖν καὶ στέργειν καὶ φροντίζειν, χαίρειν τε καὶ λυπεῖσθαι. ἅπερ ἂν αὐτὰ μὴ καθ' αὑτά, οὐ μᾶλλον ἂν ψέξειέ τις, ἤπερ τὸ ταῖς αἰσθήσεσιν προσηνῶς ἢ φορτικῶς προσπίπτειν. γίνεται δὲ οὐκέτ' ἀμώμητα ἐν τῇ ἁμαρτωλῷ σαρκὶ ἡμῶν, καὶ φθείρεται διά τε τῆς προαιρέσεως μοχθηρῷ καὶ διὰ τοῦ βίου ἀναγώγῳ. ἀλλὰ τὸ προηγόρευμα τοῦτο τοῦ θείου νόμου, οὐ μὴν διαστελλομένων ἐνταυθοῖ περὶ τῶν ἐπιθυμιῶν ἐξηνέχθη, παντάπασι δὲ μᾶλλον ἐκκόψον τὴν ῥίζαν τῆς κακίας. ἣν ἰδόντες οἱ στωϊκοὶ χρηματίσαντες τῶν φιλοσόφων, παραφυέσαν ἄγχειν πῶς τὰ τῆς ἀρετῆς κατορθώματα, οὐδ' ἐὰν τελέως καρποφορῆσαι ταύτην, διὰ τὴν παθητικὴν κίνησιν ἐνοχλουμένην, οὐκ ἀρέσκοντα τοῖς ὑπὸ τῶν πρότερον παραδοθεῖσι, τοῖς τὰ πάθη ὡς ὕλην ἀρετῆς καὶ κακίας ἐν μέσῳ καταλελοιπόσιν, καὶ ἐπλάσαντο ἀπάθειάν τινα τοῖς δόγμασιν, εὐχόμενοι δὴ μᾶλλον ὑπάρχειν, ἢ διδάσκοντες πῶς χρὴ κτᾶσθαι ταύτην. διὸ καὶ τὸ μὲν τοῦ στωϊκοῦ σοφοῦ εἴδωλον, ἐννόημα πάντως τι γυμνόν ἐστι καὶ ἀνυπόστατον, καὶ οὔτ' ἀκοῇ οὔτ' ὄψει καταληπτόν. δῆλον δὲ

γίνεται

γίνεται ἐκ τούτων, ὅτι καὶ ὁ ἀνθρώπινος λο-
γισμὸς ζητεῖ ἀρετήν τινα τῆς κοινῆς καὶ πο-
λιτικῆς τῆσδε λεγομένης μείζω καὶ τελειο-
τέραν. καὶ συμφωνεῖ πως ἠρέμα τῷ θείῳ
νόμῳ, ἐν δὲ σαρκὶ τῆς ἁμαρτίας παρεπιδη-
μῶν, οὐκ εὑρίσκει, οὐδὲ διατάξαι τί περὶ ταύ-
της οἷός τέ ἐστι. διόπερ οὐδείς πω τῶν ἀνθρω-
πίνων νομοθετῶν ἐνετείλατο, φάσκων, δί-
κην ὑφέξειν τὴν ἐπιθυμίαν μόνην. καὶ λέ-
γουσι μᾶλλον οἱ ἄνθρωποι προοιμιαζόμενοι,
τὰς διανοήσεις ἀτέλειαν ἐλλυχνίαι παρὰ
πᾶσιν. ὥστε ἐξαίρετον ἐστὶ τοῦτο τὸ κεφάλαι-
ον καὶ ἴδιον τῆς θείας νομοθεσίας, δι' οὗ ἀδια-
λείπτως ἐλέγχεται τὸ τῆς φύσεως διεφθαρ-
μένον, καὶ οἷον ἀναζωπυρεῖται ἡ σπουδὴ τῆς
ὁλοκλήρου δικαιοσύνης ἐν τοῖς σωζομένοις,
καὶ καταδικάζεται τὸ ἀμελὲς καὶ ἄτονον τῆς
μοχθηρίας ἐν τοῖς ἀπολλυμένοις. οὐ γάρ ἐστι
μικρὰ ἢ ὀλίγης φροντίδος ἄξια τὰ ἐγγενῆ
καὶ προκαταρκτικὰ πάσης ἀνομίας καὶ θεο-
στυγίας ταῦτα αἴτια, οὐκ ἐν τῇ πρωτοπλάστῳ
φύσει, ἀλλὰ ἐν τῇ διαφθορᾷ ταύτης δι' ἁμαρ-
τίαν, ὕπαρξιν ἐσχηκότα. ἅπερ τινὲς ἐκφαυ-
λίζοντες οὐ κατανοοῦσιν ἅπασαν τὴν ὑγιᾶ
τοῦ εὐαγγελίου διδαχὴν διαστρέφοντες. ὁ
δὲ

δὲ παῦλος ἀπαρακαλύπτως καὶ σαφῶς εἴρηκεν, ὅτι τὴν ἐπιθυμίαν οὐκ ᾔδει, εἰ μὴ ὁ νόμος ἔλεγεν μὴ ἐπιθυμήσεις. καὶ ὅτι σαρκικός ἐστι πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. ὃ γὰρ κατεργάζομαι, φησιν, οὐ γινώσκω. οὐ γὰρ ὃ θέλω τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ τοῦτο ποιῶ. ἐνδεικνύμενος διὰ τούτων οἷον κακὸν καὶ ὡς ἐν βαθεῖ ἐμφωλεῦον τῇ ἀνθρωπίνῃ φύσει, ἐστι τὸ ἐπιθυμητικὸν, ἄλογόν τι ἅμα καὶ ἀνυπότακτον ὂν τοῖς θείῳ βουλήμασι. Καὶ ταῦτα μὲν ἐστιν ἄρα τὰ φύσεως θεῖα νόμιμα.

Ὅτι πασῶν ἁμαρτιῶν ἔλεγχον οἱ δέκα οὗτοι λόγοι, περιέχουσι.

ΠΑΙΔΕΣ, ἐπίσχου ἐνταῦθα μικρὸν, ὦ διδάσκαλε. καὶ εἰπὲ τι περὶ τῆς λοιπῆς ἔτι διαιρέσεως τῶν ἁμαρτιῶν, ἥτις ἐν ταῖς περὶ μετανοίας χυδαίαις βίβλοις περιφέρεται. ΔΙΔΑΣΚΑΛΟΣ, οὐδὲν ἐστιν ἁπάντων ὃ μὴ ὑπό τι τῶν ἐν τοῖς νόμῳ κεφαλαίων ὑποπίπτει. καὶ οὐδεμίαν ὠφέλειαν ἔχει τὸ ἐνδιαιτᾶσθαι τῇ περὶ ἁμαρτιῶν διασκέψει. τὸ γὰρ τῆς συνειδήσεως ἑκάστοτε δῆγμα οὐ φαῦλον, ἀλλὰ ἐπὶ λίαν εὐαίσθητόν ἐστι. ἀπο-

δάζοι

διάζοιτ' ἄν τις ὀρθότερον περὶ τοῦ ἐπιλα-
θέσθαι καὶ ἀμνημονεῖν καὶ ἔστιν ἀμέτρητον τοῦ
ἁμαρτεῖν. γέγραπται γὰρ ὅτι ὁ θεὸς προέ-
θετο χριστὸν ἰησοῦν ἱλαστήριον, διὰ τῆς πίστε-
ως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δι-
καιοσύνης αὐτοῦ, διὰ τὴν πάρεσιν τῶν προ
γεγονότων ἁμαρτημάτων. δῆλον οὖν ὅτι
ἀποχωροῦντας τῇ μνήμῃ τούτων ἡμᾶς, εὖ
ἂν ἔχοι τῇ ἐν ποσὶ δικαιοπραγίᾳ ἐμμένειν.
ἄλλωστε καὶ τοῦ θείου δαβίδου μακαρίζοντος
τοὺς ἀνθρώπους ὧν ἐπεκαλύφθησαν αἱ ἁ-
μαρτίαι.

Περὶ τοῦ φεύγειν δεῖν τὰς ἀφορμὰς
τοῦ ἐξαμαρτάνειν, καὶ τῶν σκανδάλων.

Τοῦτο δ' ἂν ἴσως ὑπόθοιτό τις εὐκαί-
ρως ὧδε, τὸ παρὰ πᾶσαν τὴν περὶ τῶν ἁμαρ-
τιῶν πραγματείαν κοινὸν κατανοητέον
πλημμέλημα, ἐν τῷ μὴ φυγεῖν τινα, τὰ τῶν
ἁμαρτεῖν αἴτια, ὧν πρῶτον ἡ κακεταιρεία,
ἐξ ἧς κακὰ γίνεσθαί φησιν ὁ θέογνις, καὶ
ἀπόλλυσθαι ἐν τῷ μίσγεσθαι σὺν τοῖς κακοῖς
τὸν παρόντα νοῦν. πρῶτον οὖν τούτων ἐφορμη-
τικὸν γίνεται τοῦ παρανομῆσαι, τὸ συνομιλεῖν
τοῖς πονηροῖς καὶ ἐνδιατρίβειν τῇ τούτων

συνου-

συνουσία, τοιοῦτος γὰρ ἕκαστός τις ἐστὶ πε-
φυκώς, οἷοί εἰσιν ἐκεῖνοι οἷς περ ἥδεται ξυ-
νών. δεύτερον δέ, τὸ μὴ ζητεῖν ἀφορμὴν τοῦ
ἀγαθοποιεῖν διὰ ὁμιλίας ἀνδρῶν δικαίων
καὶ σοφῶν, ἀλλὰ τῇ ἀφροσύνῃ ἕπεσθαι ἀνο-
ηταίνοντα καὶ ἀφροντιστοῦντα τῆς καλῆς
ἀγωγῆς καὶ παιδείας. περὶ τούτου φησὶν ὁ
Σολομῶν, ὅτι οἱ κακοὶ ἐμίσησαν σοφίαν· τὸν
δὲ φόβον κυρίου οὐ προείλοντο. καὶ ὅτι ἐμυκ-
τήριζον ἐλέγχους σοφίας. ἔστι δὲ τεκμήριον
τῆς ὀλεθρίου ἀνοίας, τὸ ὀργίζεσθαι τοῖς νουθε-
τοῦσι καὶ ἀποστρέφεσθαι τοὺς ἐπιτιμῶντας.
ὡσαύτως τε καὶ οἱ ἐν τοῖς πειρασμοῖς πε-
ριαλγοῦντες ἢ δυσχεραίνοντες ἢ γογγύ-
ζοντες κατὰ τῆς θείας ἐπαγωγῆς, μαίνονταί
τε ἐν ἁμαρτίαις καὶ ἀνιάτῳ νόσῳ κατέ-
χονται ταύτῃ τῆς ἀλογίας. διὸ καὶ ὁ Σολομῶν
παρεκελεύσατο τῷ υἱῷ ἤγουν τῷ περὶ θεί-
ας σοφίας κατηχουμένῳ, οὕτως. υἱὲ μὴ ὀλι-
γώρει παιδείας κυρίου. μηδὲ ἐκλύου ὑπ'
αὐτοῦ ἐλεγχόμενος. ὃν γὰρ ἀγαπᾷ κύ-
ριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν
παραδέχεται. τὸ δὲ σκανδαλισθῆναί τινας
ὑφ' ἡμῶν, ἴσμεν ὅτι πρὸς αὐτοῦ τοῦ χριστοῦ
χαλεπώτατον εἶναι ἀποπέφανται, ἢ ὅτι σκάν-

δαλα

δαλα οὐ μόνον τοὺς ὁμοπίστους βλάπτει τῷ παραδείγματι, ἀλλὰ καὶ τοῖς ἀλλοτρίοις τῆς πίστεως παρέχει δυσφημίας αἴτιον κατὰ τῆς προαιρέσεως καὶ διδαχῆς, κακολογιῶν τοῦ δὴ ἀτοπίας καὶ ἁμαρτίας γενῶν, ὡς ἅπαντας ἐκχεομένων.

Πῶς τηροῦσι τὸν νόμον οἱ εὐσεβεῖς καὶ περὶ τῶν τοῦ τέλους ἠσοχηκότων.

Αναλαμβάνοντες οὖν ἤδη ἅπερ ἠρξάμεθα λέγειν, εἴπωμεν ἔτι, ὅτι ταῦτα δὴ τὰ θεῖα νόμιμά ἐστιν, ἀμαυρωθέντα μὲν καὶ συγχυθέντα πως, τῇ ἀπειθείᾳ ἐν τῇ ἀνθρωπίνῃ φύσει, κατορθωθέντα δ' αὖθι καὶ ἀνακαινισθέντα τῇ θείᾳ προαγορεύσει καὶ διατάξει. καὶ ταῦτα ἐπειδὴ πάντας καὶ τηρεῖν τὰ παρηγγελμένα, ἀνάγκη, ὅσοι περ εὐσεβῶς καὶ ἀμέμπτως καὶ θεοφιλῶς ζῆν προῄρηνται. οὐ μέντοι ὡς βίας αὐτοῖς ἐπιφερομένης καὶ ἐπικειμένης ἀνάγκης ἐπιτακτικῆς, ἀλλ' ἑκόντων αὐτῶν ἐπακολουθούντων τῇδε, καὶ ψυχῇ σπουδαίᾳ, καὶ οἵων οὐκέτι ἁμαρτωλῶν ὄντων καὶ ἀλλοτρίων τοῦ θεοῦ, ἀλλὰ δικαιωθέντων τῇ πίστει καὶ εἰρηνευομένων πρὸς τὸν θεὸν διὰ χριστόν. τούτοις δὲ

νόμος

νόμος οὐ κεῖται, ὥς φησιν ὁ παῦλος, ἀλλὰ τοῖς ἀπειθοῦσι καὶ φαύλοις καὶ ἀναγώγοις. ὁ γοῦν ἀνθρώπινος ὅλος βίος κατὰ πάσας τὰς περιστάσεις τύπον λήψοιτ᾽ ἂν ἐκ τῶν δέκα τούτων ἤτοι λόγων ἢ κεφαλαίων, τῶν θείων ἐντολῶν, ἁπάντων ὅσα πράττων τις, καὶ ὧν ἀπεχόμενος, παρά τε θεῷ καὶ μετὰ τῶν ἀνθρώπων ἀνεγκλήτως διαβιώη, ἐν πίστει ἁγίᾳ καὶ ἀγάπῃ ἀνυποκρίτῳ, μετὰ χρηστῆς ἐλπίδος, ὅτι φυγὼν τὴν τῆς ἁμαρτίας δικαίαν κατάκρισιν, τῶν καλῶν ἔργων ἔπαινον προσέτι καὶ μισθὸν λήψεται. καὶ ἐν τούτοις ἀσκῶν ἄντις αὐτὸν γυμνάζοι τε ἅμα πρὸς εὐσέβειαν τὴν ψυχὴν, καὶ τὸ σῶμα ὑποπιάζων, κατὰ τὸν ἅγιον παῦλον, καὶ δουλαγωγῶν, κρατοίη ἂν τῶν παθῶν μᾶλλον ἢ αὐτὸς αὐτοῖς ὑποχείριος γένοιτο. ὥστε μηδαμῶς δεῖσθαί τινα τῶν ἀτόπων ἐπινοήσεων καὶ ἐπιτηδευμάτων ἐκείνων, ἀφ᾽ οὗ ἅπαξ τοῦ πράγματος κινηθέντος τοῦ τῆς ἀναχωρήσεως καὶ βίου μονήρους, ἐπολλαπλασιάσθη τε καὶ εἰς ὑπερβολὴν ηὐξήθη, θαυμαζόμενά τε παρὰ πᾶσι καὶ ὡς τελείωσις τοῦ χριστιανισμοῦ παραλαμβανόμενα. ἔστι δ᾽ ἥκιστα πάντων. πλάνη δὲ μᾶλ-

λον

λὸν καὶ ἀπάτῃ τῆς πιθανολογίας καὶ ψευδοῦς, δι' οὗ μέτεισιν ἡ θεία δίκη τοὺς μὴ δεξαμένους τὸν τῆς ἀληθείας λόγον καὶ ὑπακούσαντας αὐτῷ. ὅτι δὲ οἱ πρῶτον ἐκ τῆς πόλεων καὶ τοῦ ὄχλου τῶν ἀνθρώπων ἀναχωρήσαντες, καὶ μονήρη τινὰ βίον ἐνστησάμενοι, ἀντώνιοί φημι καὶ παφνούτιοι καὶ σπυρίδωνες καὶ ἄλλοι πλεῖστοι ὅσοι, πεπόνθασί που ἄνθρωποι ὄντες ἀνθρώπινόν τι, οὐκ ὑπὲρ προπηλακισμῷ γ' ἐκείνων τῶν ἀνδρῶν ἔποι τις ἄν. οἳ δοκοῦσιν οὐκ ἀλογίστως οὐδὲ μεγάλης ἄνευ καὶ ἀξιολόγου αἰτίας, πρὸς τοιοῦτον τῆς πολιτείας τρόπον κατενεχθῆναι. δῆλον δὲ ὅτι μονάζουσι προὔργου καὶ ξύμφορον ἦν, ἄσκησιν ἅμα τινὰ προστεθῆναι τῇ διαγωγῇ. καὶ πρὸς πολλὰ χρήσιμα μὲν ἦν τὰ τῆς ἀρετῆς γυμνάσια, μάλιστα δὲ πρὸς τοὺς ἀναγκαίους τότε ἀγῶνας ὥστε καθάπερ ἀθλητάς τινας τῆς πίστεως ἕξιν περιβεβλῆσθαι αὐτοὺς τῆς καρτερίας καὶ ἐγκρατείας καὶ ῥώμης ψυχικῆς. ἐφ' ᾧ καὶ παιδαγωγήσαντες τῶν πρεσβυτέρων τινὲς τοὺς νέους, ἐποιήσαντο συλλόγους μοναστικούς, καὶ κανονίσαντες προαγορεύσεσί τισιν ἐνθέσμοις τοῦ βίου, τῇ σεμνῇ καὶ ἐναρέτῳ σκληρότητι ἐν-

διατρίβειν ἠνάγκασαν, οὐκ ἐπιτηδεύοντας μισανθρωπίας τῦφον, ἀλλὰ τὸ τῆς μισοπονηρίας αὐστηρόν. σκεψάμενος δέ τις εὕροι ἄν οἶμαι, οὐδαμῶς ἀπὸ σκοποῦ ἔχον, ἢ τῇ ὑγιαινούσῃ διδαχῇ μαχόμενον τὸ πρᾶγμα, ἤνπερ ἁπλῶς γίνηται, καὶ ἐπ' ἀγαθῷ τῆς τ' ὀρθοδόξου πίστεως καὶ εὐσεβοῦς πολιτείας. ὥσπερ τοὐναντίον σαθροῦ θεμελίου ὑποκειμένου τοῦ εἴδει, μᾶλλον δὲ παντάπασιν ἀλλοιωθέντος ἐκείνου, καὶ γεγονότος ἐθελοθρησκείας θαυματοποιός καὶ ἐνεργείας πλάνης, τῆς τ' ἀρετῆς γηΐνης ἤδη οὔσης, ἐν τῇ ἀνθρωπίνῃ ἤτοι δοκησισοφίᾳ, ἢ ὑποκρίσει ἢ ἀπάτῃ, παυθῆναι δήπου τὸ ἐπιτήδευμα ἐχρῆν, ὑπὸ προφανέσης ἐν κόσμῳ ἀληθείας οὐρανίου, καὶ τὸ ψευδές τε ἅμα καὶ ἀντίχριστον τῆς προαιρέσεως καὶ τὸ κακοῦργόν τε καὶ αἰσχρὸν τῆς πράξεως ἐξελαθῆναι τῆς ὀρθοδόξου καὶ εὐτάκτου ἐκκλησιαστικῆς κοινωνίας. τὸ δὲ παλαιὸν γένος ἐκεῖνο ἐν τῇ μὴ ἄγων τις, ἴσως ὑπολάβοι τὸν θεὸν αὐτὸν οἰκονομῆσαί πως ταῦτα, βουλόμενον ὥσπερ ἐν μεγάλῳ θεάτρῳ ἀπὸ τῆς καθολικῆς τοῦ χριστοῦ ἐκκλησίας προχειρίσαι τοιούτους τινὰς ἀθλητὰς τῆς ἀρετῆς, ὥστε τοὺς πρὸ

ἕλλησί ποτε, καὶ τοῖς ἄλλοις ἔθνεσιν, οἷον ἐν κοσμικῷ προσκήνιῳ εὐδοκιμήσαντας φιλοσόφους, καὶ οἵπερ οὖν ἕτεροι ἐπ' ἀρετῆς ταλαιπωρήσει διαβεβόηνται, πυθαγόρας, φημὶ, καὶ σωκράτης, καὶ γυμνῆτας, καὶ βραχμᾶνας, πρὸς τούτους παραβαλλομένους, ἀνασκήτους φαίνεσθαι, εἰ καὶ δὴ καὶ ἕτερ᾽ μέρος ἀντιπαλαίσοντες θέλωσι τὰ τῶν χριστιανῶν, μᾶλλον ἢ ὑπερβῆναι, καὶ νικῆσαι, περὶ οὓς ἱνας οὖν ἐξεταζόμενα. οὕτως ἄρα τις ἴσως τεκμήραιτο περὶ τούτων, ὅτι μὲν τὸ πρᾶγμα ἀθετῶν ὅλως, αἰδῶ τε νέμων τοῖς ἐν τοιαύτῃ πολιτείᾳ ὁσίως βεβιωκέναι καὶ ὑπὲρ τῶν ἀληθῶν καὶ ὀρθῶν δογμάτων ἀνδρείως ἀγωνίσασθαι, καὶ πολλοῖς πνευματικοῖς χαρίσμασι διαπρέψαι, καὶ ἐπ' ὠφελείᾳ τῆς χριστοῦ ἐκκλησίας πλεῖσθ' ὅσ' ἐκπεπονηκέναι, συμφώνως ἀδομένοις δὴ ἱστορίαις ἀρχαίαις: τὴν ἀκεραιότητα δ' ὅμως καὶ τὸ καθαρὸν τοῦ ἀποστολικοῦ κηρύγματος διατηρηθῆναι πρὸ πάντων μάλιστα δεῖν νομίζων εἰ βουλόμενος. οἱ δὲ μεταγενέστεροι μοναχοὶ οἷον παῖδες πατέρων, τοσούτῳ κακίους εὑρίσκονται γεγονέναι, ὅσῳ πλείω χρόνον τῶν ἐκείνων στερρότητός τε καὶ

μεγαλονοίας ἀπέστησαν, πρὸς γοητείαν τινὰ καὶ περιφρόνησιν ἀσύστατον ἐκπεσόντος. ὥσπερ καὶ πρότερον ὁδοῦ παρέργως ἐνεδείξαμεν. οὐ γὰρ διὰ βραχέων δύναιτό τις, οὐδ' ἐν τῷ νῦν εἶναι, εὖ ἂν ἴσως ἔχοι, περὶ τούτων ἀκριβῶς διαλαβεῖν. σκοπείτω μὲν οὖν τις καὶ λαλείτω περὶ τούτων ὅπερ ἂν δοκῇ ἑκάστῳ.

Περὶ ἀπαθείας.

Περὶ δὲ τῶν παρὰ χριστιανοῖς ποτὲ τὰ τοῖς ἀπὸ στοᾶς φιλοσόφοις ὅμοια δόγματα ζηλωσάντων, καὶ τὴν ἀπάθειαν ὡς τέλος εὐσεβοῦς ἀρετῆς προαγαγόντων, καὶ δύο βίους θεωρητικὸν μὲν ἕνα καὶ πρακτικὸν ἕτερον τὸν καὶ κοινὸν, εἰσαγόντων, ἀνάγκη μὲν ἐνταῦθα ῥηθῆναί τι, φυλαξόμεθα δ' ὅμως, μὴ ἄλλου τινὸς πέρι σπουδάσαι δόξωμεν πλὴν τῆς ἀληθείας, ἧς ζημία πάντως ἀφόρητος, ὥστε τὸν τῆς ἀληθείας ἀστοχήσαντα, καὶ τῆς σωτηρίας ἅμα στερηθῆναι. αὕτη γὰρ δήπου ἐν τῷ γινώσκειν θεὸν ἀληθινὸν ἐστὶ, ὁ δὲ τὴν ἀλήθειαν ἀγνοῶν, οὐδὲ τὸν θεὸν ἐπιγινώσκει. φανερὸν δὲ τοῖς ἐπιβλέπειν βουλομένοις γίνεται τὸ ἐπιτήδευμα κακοζηλία ὑπάρχον, καὶ μίμησις τῶν πρότερόν ποτ' ἐπ' αὐταρ-

κεία

κάρ θαυμαστῇ, ἢ καρτερείας ὑπερβολῇ περιβοήτων γεγονότων. οἷος ἦν σωκράτης παρ' ἀθηναίοις, καὶ ἔτι μᾶλλον κράτης καὶ διογένης. καὶ παρεμπλοκὴ τῶν περὶ θεωρήσεως πεφιλοσοφημένων ὑπὸ τῶν παλαιῶν. ὑπῆρξαν δὲ καὶ παρὰ τοῖς ἑβραίοις ἄνδρες προφῆται, ἐν οἷς ὁ θεὸς ἐθαυμασιούργησε πολλὰ δὴ καὶ ἄλλα, καὶ τὸ τῆς φύσεως ἀνεμπόδιστον πρὸς πάνθ' ὅσ' ἂν ἐντέλλαιτ' αὐτὸς αὐτοῖς. οἷον ἐγγένετο ἐν τῇ τεσσαρακονθημέρῳ ἀσιτίᾳ τοῦ ἡλίου. ἀλλὰ ταῦτα οὐχ ὑπόκειται ὑπὸ τὴν τῶν ἀνθρώπων οὔτε δύναμιν οὔτε γνώμην. θεῖά τε καὶ οὐκ ἀνθρώπινά ἐστιν ἔργα. καὶ τὴν ἐννόησιν τε καὶ ἐπιχείρησιν περὶ ἐκεῖνα αὐτοματίζαι τε καὶ νεωτεροποιῆσαί τι πρὸς θρησκείαν καινὴν καὶ θεοφορείαν ἐπίκλητον, οὐδαμῶς ἀναλογεῖ τῇ περὶ σωτηρίου πίστεως ὑγιεῖ διδασκαλίᾳ καὶ ταῖς ἀποστολικαῖς παραδόσεσι. ταῖς γὰρ φυσικαῖς ἀνάγκαις ἀντινομοθετῆσαι καὶ προσενεγκεῖν ἀνάγκην ἑτέραν μεταβολῆς τινος οὔτ' εὐσχήμου διὰ τὴν ἀτοπίαν, οὔτε χρηστῆς διὰ τὴν ἰδιοτροπίαν, ἔχει λόγον οὐδένα, οὔτε θεοσεβοῦς ἐπιγνώσεως, οὔτε δικαίας φιλανθρωπίας. διαστέλλαι δὲ

 χρὴ

χρὴ πάντως ταῦτ' ἐν τῇ φύσει πρωτότυ-
πα καὶ ἀρχέγονα, καὶ τὴν παράπτωσιν καὶ
διαφθορὰν τούτων. εὑρίσκεται τοίνυν ἡ ἀ-
πάθεια οὐκ οὖσα ἀνθρωπίνη ἀλλ' οὐδὲ φυσι-
κή. ὁ δὲ χριστιανισμὸς οὐκ ἔστιν ἀπώλεια ἀλλὰ
κατόρθωσις, οὐδ' ἐναντίωσις ἄλογος, ἀλλὰ
χρῆσις ἔννομος πάντων ὅσα κατὰ τὸν τῆς φύ-
σεως ἀκέραιον νόμον γίνεται. διὰ τοῦτο καὶ τὸν
χριστὸν οἱ θεολογοῦντες οὐ γενέσθαι διαφθο-
ρᾶς τινὸς τῇ φύσει, μεταστοιχειώσεως δέ, αἴ-
τιον εἰρήκασιν. ἔστι μὲν οὖν τὸ ἀσκητικὸν
ἐπιτήδευμα, ὡς παιδαγωγία πάγκα-
λόν τε καὶ πολυωφελὲς ἔργον. δῆλον γὰρ
ὅτι ἐν ψυχῇ ἀναγώγῳ, οἷαί τινες εἰσὶν αἱ τῶν
ἐμπαθῶν, οὐκ ἂν ἐμφύοιτο τῆς εὐσεβοῦς κα-
λοκαγαθίας ἔρως. διόπερ πρόσφορον δὴ
νομιστέον καὶ μᾶλλον ἀναγκαῖον τῆς ἐκκλη-
σιαστικῆς πολιτείας καὶ τοῦ κατὰ ταύτην τε-
λείου βίου οἷον προγύμνασμα, τὸ κρατῆσαι
τῶν σαρκικῶν λογισμῶν, καὶ ἐπιστρέψαι τοὺς
πιστεύοντας, ἄνω πρὸς τὸν χριστὸν καθήμε-
νον ἐκ δεξιῶν θεοῦ, μηκέτι πρὸς τὴν γῆν
κάτω κύπτοντας, καὶ ταῖς ψυχικαῖς ἐπι-
θυμίαις ὑπαγομένους. ἵνα τέλεον νεκρω-
θέντες μὲν τῇ ἁμαρτίᾳ, ζῶντες δὲ τῇ δι-

καιο-

καιοσύνῃ τῇ διὰ πίστεως τοῦ δικαίου χριστοῦ, τὸ λοιπὸν οὐκ ἐγκαυχούμενοι τῇ φύσει, ἀλλὰ τῇ διαφθορᾷ ἐκείνης οὐκέτι ὑπεύθυνοι, καὶ νικῶντες ἐπίπαν δι' ἁγίου πνεύματος τὸ πονηρὸν, οὕτω τὰ ἐπιβάλλοντα ἑκάστῳ ἀπεργάζωνται προθύμως, καὶ περί τε τὴν ἀλήθειαν τῶν δογμάτων κατ' οὐδὲν σφαλλόμενοι, καὶ πρὸς τὸ τῶν πέλας ἀγαθὸν καὶ συμφέρον πράττοντες ἅπαντα, μετὰ γνώμης ὀρθῆς καὶ τρόπου φιλανθρώπου διατελῶσι τῷ τε θεῷ προσευχόμενοι καὶ εὐχαριστοῦντες, καὶ χρηστόν τι παρ' αὐτοῖς τῇ τῶν ὁμοπίστων, καὶ εἰ δυνατὸν, πάντων ἀνθρώπων συμβιώσει εἰσενέγκοντες. καὶ πάσχοντες μὲν εὖ μὴ ἐκλυθῶσι. πάσχοντες δὲ κακῶς μὴ δυσφορηθῶσι. πάντοτε φέρειν μετ' εὐγνώμως τὰ συμβαίνοντα κατὰ τὸ θεῖον θέλημα, καὶ τὴν οἰκείαν ἀνθρωπείῳ γένει τύχην, ἁγνῶς δὲ καὶ καθαρῶς καὶ φρονίμως καὶ δὴ καὶ ἀνδρείως καὶ ὁσίως ζῆν πειρώμενοι πάντοτε, ἵνα ἀντιπαραταξόμενοι ταῖς ἐπιθυμίαις καὶ ὁρμαῖς τῆς κακίας, καὶ οὐ τῇ φύσει ἀλλὰ τῇ ταύτης λώβῃ μαχόμενοι, οὕτως τὸν τῇδε δρόμον διανύσωσι, καὶ τύχωσι τοῦ προκειμένου, τοῖς τῶν πιστῶν ἐναρέτοις ἀγῶ-

σιν ἄθλου καὶ βραβείου. οὐ μέντοι γε ἤτοι ὡς λιμένα καλῶν ὑμνήσουσι τὴν παράδοξον ἀπάθειαν περιβλέποντες, ἢ βαθμῶν κλίμακάς τινας πρὸς τὸ ἀνωτάτω ὥσπερ τέλος ταύτης προθήσουσιν. ἅπερ σφαλερὰ πάντως καὶ δὴ καὶ ψευδῆ πως ἐστὶν, ἐκβαίνοντα ταῖς τῶν ἀφρονεστέρων καὶ κουφονόων ἐθελοθρησκείαις πρὸς φανερὰν τῆς ὑγιαινούσης διδαχῆς λύμην, ἐν τῷ δογματίζεσθαι ἀδιορίστως τελείωσιν εἶναι τῆς εὐσεβείας τὸ τυραννῆσαι τῆς φύσεως, καὶ διαλῦσαι ταύτην, ὡς καὶ τῷ χρόνῳ ἀφομοιοῦσθαι τοῖς θηρίοις, καθὼς ἔγραψέ ποι εὐάγριος. ἥπερ δὴ παρατροπὴ τοῦ νοῦ σαφὴς, πολιορκίαν ἐνιστῶσα τῆς οὐ ποτε ἡττηθήσεσθαι ὀφειλούσης, ἀλλὰ διορθώσεως χρηζούσης φύσεως. ἔστι δὲ πάνδεινον τὸ κακὸν, τόσῳ δὴ μᾶλλον ὅσῳ ἧττον ἐνίοτε κατανοεῖται ἢ κρυπτόμενον ἢ θωπευόμενον, τὸ ἐφίεσθαί, φημι, τῶν ἀνεφίκτων. τί γὰρ ἄλλο; ἔνσαρκον εἶναί τινα ἄγγελον, ὥσπερ ἔφησαν τινὲς σεμνύνοντες τὴν ἐπιτήδευσιν, καὶ μετέωρον ὥσπερ θεὸν ὑπὲρ γῆς, καὶ μεταξὺ φερόμενον οὐρανοῦ τε καὶ γῆς, ἢ ἀλαζονεύματά τινα, τῶν τὸν πάλαι τύφον καινῷ τύφῳ ἀνταλλαξάντων, ὡς ἐ-

ποίησαν τινῶν προφανῶς, ἀντὶ τῆς σωκρα-
τικῆς κρεμάθρας κωμικῆς, τραγικήν τινα
σκηνὴν ὑπήξαντο, καὶ τῇ χριστιανῶν εὐσε-
βείᾳ ἁπλῇ οὔσῃ, ποικίλας παραδοξοποιΐας
περισκυκλοῦντες, αἳ πάντοτε τὰς ἀνθρω-
πίνας γνώμας πρὸς αὐτὰς ἕλκειν πεφύ-
κασι, αἷς φλυάφοι προσαφθέντες λόγοι,
οὐδὲν ἔχοντες εὐλαβείας, δι' ἑτοίμου πάνυ
τὴν ἀλήθειαν κατεργάζονται καὶ διαφθείρου-
σι, καὶ πάντα πληροῦσι τύφου καὶ δεισιδαι-
μονίας, ὧν νυνὶ πᾶσα οἰκουμένη γέμει κα-
κῶν, καὶ οἷς βυθίζεται οἷον ὑπερπεφορτισ-
μένη ναῦς, καὶ παίγνιόν τι γεγένηται τοῦ δια-
βόλου, ἐν σκότῳ ψηλαφητῷ τῶν ψευδῶν.
ἀλλὰ σὺ τοῦτον, παραγενόμενος χρόνῳ πο-
τέ, ὦ χριστὲ ἰησοῦ, ὁ ἐλθὼν ἵνα λύσῃς ἔργα
τοῦ διαβόλου, ἔκβαλε καὶ ἀποδίωκε τὸν ἀθ-
λίων καὶ ταλαιπώρων ἡμῶν, ἵνα ἐπιγνῶ-
μεν ἐν ἀληθείᾳ θεὸν πατέρα ἀΐδιον, καὶ σὲ
ὃν ἐκεῖνος ἔπεμψεν υἱὸν αὐτοῦ, καὶ κύριον
ἡμῶν ἰησοῦν χριστόν, καὶ ἀμφοτέρου πνεῦ-
μα ἅγιον, ἕνα, μόνον, ἀληθινόν, ἀΐδιον, δί-
καιον, οἰκτίρμονα θεόν, ᾧ δόξα καὶ ἔπαι-
νος καὶ νίκη εἰς αἰῶνας τῶν αἰώνων ἀμήν.

Ἀνακεφαλαίωσις.

Διεξήλθομεν δὴ τὰ δέκα τοῦ θείου νόμου κεφάλαια ὑπομνηματίσαντος ὅσα προσήκειν ἔδοξε κατηχητῇ. ἐκ δὲ τούτων πειρᾶσθε νῦν ὑμεῖς ἀποκρίνασθαι διὰ βραχέων, περί τινων ἃ μάλιστα πρόχειρα πάντοτ' ἔχειν χρὴ τὴν διάνοιαν τῶν χριστιανοὶ εἶναι ἀξιούντων. ΠΑΙΔΕΣ. τίνα ἐστὶ ταῦτα; ΔΙΔΑΣΚ. τί τὸ τέλος τῶν ἐντολῶν. ὅτι τέσσαρά ποι σκοπῇ τις ἂν μάλιστα περὶ ἑκάστην ἐντολήν. α. τί παραγγέλλει ἡ ἐντολή. β'. τί τὸ τέλος τῆς παραγγελίας. γ'. εἰ τὸ κελευόμενον ποιεῖν οἷοί τε ἐσμέν. δ'. πῶς ἀρέσκει θεῷ τὰ πραττόμενα. καὶ ἐφ' ὅσα παρατείνει τὸ τῆς νομοθεσίας ἔργον. ΠΑΙΔ. σὸν δὴ τὸ ἐξηγεῖσθαι καὶ ταῦτα. ΔΙΔ. πυνθάνεσθε τοίνυν ἐν τάξει περὶ ἑκάστου, ἵνα προχωρῇ κοσμίως ἡ διάλεξις. ΠΑΙΔ. τί τὸ τέλος τῶν ἐντολῶν; ΔΙΔ. τὸ ἀνατιθέναι πᾶσαν τῆς ὑπακοῆς ἐπιχείρησιν τῷ θεῷ, ἵνα ἑπόμενοι τῇ ἀρχῇ οὕτω προβαίνωμεν, ὁρῶντες πρὸς τὸ τοῦ θεοῦ θέλημα, καὶ τιμῶντες αὐτόν, καὶ λατρεύοντες αὐτῷ καρδίᾳ καθαρᾷ καὶ ἀνυποκρίτως. ΠΑΙΔ. τί δὲ παραγγέλλει ἑκάστη τῶν ἐντολῶν; ΔΙΔ. τοῦ-

που μὲν περὶ ἐν τοῖς ἄνω εἴρηται κατὰ πλάτος. καὶ δὴ καὶ τὸ δεύτερον, τί τὸ τέλος, ἄρτι ἀνακεφαλαιωσάμενοι εἴπομεν. ΠΑΙΔ. λοιπὰ ἄρα τὸ τρίτον καὶ τέταρτον, περὶ τῆς ἐξεργασίας τῶν παρηγγελμένων. πότερον δὴ ἐκπονοῦμεν ταῦτα καὶ ἱκανοί ἐσμεν ἀποτελεῖν κατὰ τὸ θέλημα τοῦ νομοθέτου; καὶ πῶς ἐργαζόμενοι ἀρέσκοιμεν ἂν αὐτῷ; ΔΙΔ. εἰρήκατε καὶ ὑμεῖς πρότερον ἐρωτώμενοι, ὅτι οὐκ ἐσμὲν οἷοι περ ἀφ' αὑτῶν πληρῶσαι τὰ τοῦ νόμου. οὐδαμῶς γὰρ ἡ τοιαύτη δύναμις ἀνθρωπεία γένοιτ' ἄν, οὐδὲ τὸ ἔργον τοῦτο τῆς ἀσθενοῦς σαρκὸς, καὶ αἰχμαλώτου σώματος τῆς ἁμαρτίας. τὰ γοῦν ἡμέτερα ἀτελῆ μέν ἐστι, καὶ οὐχ οἷά τε τὸ ἀπαιτούμενον ὑπὸ θεοῦ παριστάναι. ἀρέσκει δ' ὅμως τῷ θεῷ, ἡ οἵα δήποτε ὑπακοὴ ἡμῶν διὰ τὸν χριστὸν, ὃς ἐξιλάσατο τὸν πατέρα δι' ὁλοκλήρου καὶ τελείας ὑπακοῆς, ὥσπερ καὶ ἐν τοῖς ὄπισθεν ἠρξάμεθα λέγειν, καὶ νῦν διὰ πλειόνων εἰπεῖν καιρὸς ἂν εἴη. ΠΑΙΔ. μὴ πρότερόν γε πρὶν καὶ τοῦτο ἀποδιδόναι. ΔΙΔ. τὸ ποῖον; ΠΑΙΔ. ἐφ' ὅσα παρατείνει τὸ τῆς νομοθεσίας ἔργον. ΔΙΔ. καὶ τοῦτο ἐκ τῶν προειρημένων εὑρήσετε λογιζόμενοι, ὅτι ἐπὶ

τρία.

τρία. α'. ἵνα ἅπαντες ἄνθρωποι κανόνα ἔ-
χωσι τῶν ἠθῶν καὶ πολιτικῆς συμβιώσεως.
καὶ παιδευθῶσι πρὸς ἀρετὴν καὶ εὐταξίαν,
καὶ σεμνότητα τρόπου, τῆς κακίας οὕτω πως
συστελλομένης, καὶ τῶν νηπίων καὶ ἀπειράτων
ἔτι ὄντων τοῦ βίου, τῇ παιδείᾳ τῶν σαρκί-
νων προπετειῶν ἀφελκομένων, καὶ τοῖς ἐ-
λέγχοις διδασκομένων, καὶ ταῖς τιμωρί-
αις νουθετουμένων. ὥστε περιποιηθῆναι ἀκά-
κοις πανουργίαν, παιδὶ δὲ νέῳ αἴσθησίν τε
καὶ ἔννοιαν, κατὰ τὸν Σολομῶντα. β'. τὸ διὰ τῆς νο-
μίμης παραγγελίας τὴν ἁμαρτίαν εἰς ὑπερ-
βολὴν ἁμαρτωλὸν γεγονυῖαν, ἐμφανισθῆ-
ναι, καὶ τῇ συνειδήσει ταύτης ἐμφόβους ἡ-
μᾶς οὕτω δὴ ταλαιπωροῦντας μετανοεῖν
καὶ ζητεῖν τὴν ἐν Χριστῷ σωτηρίαν. πρὸ γὰρ
τοῦ τῆς ἀφέσεως τυχεῖν τινα διὰ πίστεως εἰς
Χριστὸν, ἀνάγκη διανοούμενον ταράττεσθαι καὶ
ἀδημονεῖν, διὰ τὴν κατηγοροῦσαν αὐτοῦ ἁ-
μαρτίαν. γ'. ὡς καὶ τοῖς δικαιωθεῖσι πίστει
προκεῖσθαι ἔνδειξιν τοῦ θείου βουλήματος,
καθ' ὃ ζῶντες ἀρέσκοιεν αὖ τῷ θεῷ. ὥστε
μάτην ἤδη ζητεῖσθαι ἄλλας τινὰς ἐπιτηδεύ-
σεις πρὸς τὸ λατρεύειν τῷ θεῷ, παρεκτὸς τού-
των. ἐπεὶ τοῖς μὲν δικαίοις νόμος οὐ κεῖτ.

κατα-

καταδικάζων καὶ κύριος ὢν αὐτῶν, κεῖ-
ται δ' ὅμως ἐλέγχων τὴν παλαιότητα τῆς
σαρκὸς, καὶ ἡμᾶς ἐπισπέρχων οἷον μαστιζο-
μένους πρὸς καινότητα τοῦ πνεύματος. καὶ
δεῖ τούτους παρέχεσθαι αὐτοὺς ἐθελοντὰς ὑπη-
κόους τοῦ νόμου. οὕτω γὰρ καὶ ἐλεύθεροι ἔσονται
πιστεύοντες τῷ ἐλευθερωτῇ χριστῷ, καὶ
ὑπακούσονται τῷ ἀϊδίῳ θελήματι, καὶ ἀμε-
ταθέτοις ἐντολαῖς θεοῦ. καὶ ἅγιοι καὶ ἄμω-
μοι καὶ ἀνέγκλητοι διατελέσουσιν ὑπάρχον-
τες, ἐν χριστῷ ἰησοῦ κυρίῳ ἡμῶν, εἴ γε ἐπι-
μένοιεν τῇ πίστει, ὡς γέγραπται ἐν τῇ πρὸς
κολασσαεῖς ἐπιστολῇ. ταῦτα σχεδόν ἐστι τὰ
ἐν τῇ δευτέρᾳ πρὸς τιμόθεον ἐπιστολῇ δη-
λούμενα ἐν τούτοις. πᾶσα γραφὴ θεόπνευ-
στος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν,
πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παι-
δείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ ὁ τοῦ
θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν
ἐξηρτισμένος. θεόπνευστος γὰρ ἡ τοῦ νό-
μου καὶ τῶν προφητῶν γραφὴ, τοὺς ἐπαΐον-
τας ὠφελεῖ πρῶτον τῇ διδαχῇ, ὥστε μὴ σα-
λεύεσθαι ἔτι αὐτοὺς κλυδωνιζομένους καὶ πε-
ριφερομένους παντὶ ἀνέμῳ τῆς διδασκαλί-
ας ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, καὶ πανουρ-
γίᾳ

γία πρὸς τὴν μεθοδείαν πλάνης, κατὰ τὰ γεγραμμένα πρὸς ἐφεσίους. ἡ αὐτὴ δὲ καὶ ἐλέγχει τοὺς ἁμαρτάνοντας σπουδάζουσα ἀνακαλέσασθαι αὐτοὺς εἰς ὁδὸν ἀληθείας. διὰ τοῦτο καὶ ἐπανόρθωσις παρ' αὐτῇ τῶν καταπεπτωκότων καὶ ἀνατετραμμένων ἐν ταῖς ψυχικαῖς καὶ σωματικαῖς δυνάμεσι. καὶ ἡ αὐτὴ παιδεύουσα τοὺς ἀκροωμένους καὶ ὁδηγοῦσα πρὸς τὴν ἐπίγνωσιν τοῦ υἱοῦ τοῦ θεοῦ, ὥστε καταντῆσαι αὐτοὺς ἐν δικαιοσύνῃ τῇ διὰ πίστεως εἰς ἄνδρα τέλειον, οὕτως ἀπαρτίζει, ἐν χριστῷ καὶ κατάγει εἰς λιμένα ζωῆς αἰωνίου.


Περὶ τῆς λέξεως τοῦ νόμου.

Ἐπεὶ δὲ πολλὰ περὶ νόμου ἐλέχθη πρὸς ἡμῶν, ἡ δὲ λέξις παρὰ τῷ ἀποστόλῳ μάλιστα, διαφόρως πως τῷ σημαινομένῳ ἐμφέρεται, οὐκ ἂν εἴη ἀλλότριον ἀπὸ τῆς προκειμένης πραγματείας διασαφεῖν τι καὶ περὶ τούτου. ἰστέον οὖν ὅτι ἑβραΐδος διαλέκτου ἰδιώματι νόμος ἐνίοτε μὲν παρ' ἀποστόλῳ διδασκαλίαν ἢ καὶ παράγγελμα σημαίνει. οἷον ὅταν νόμον λέγῃ, διαστελλόμενος τὸν ἔργων, ὅνπερ καὶ τῶν ἐντολῶν καλεῖ νόμον, καὶ τῆς πίστεως. ἐνιαχοῦ δὲ τὴν ἐντολήν. οἷον, τὴν ἐπιθυμίαν οὐκ

ᾔδ

αὖ ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν οὐκ ἐπιθυμή-
σεις. πάλιν ἄλλοθι ἐφόρμησιν σημαίνει ἡ λέ-
ξις καὶ ἐφολκήν, μᾶλλον δὲ ὑπεξουσιασμόν
τινα, ὡς ὅταν εἴπῃ, δυοῖν νόμοιν αἰσθάνεσθαι
αὐτὸν ὁ ἀπόστολος, ἑνὸς τοῦ ἐθέλειν τὸ ἑτέ-
ρου τοῦ μὴ κατεργάζεσθαι ὅμως. ὃν τὸν νόμον ἁ-
μαρτίας καλεῖ. καὶ πάλιν, ὅτι ὁ τοῦ πνεύμα-
τος νόμος τῆς ζωῆς ἐν χριστῷ ἰησοῦ, ἠλευθέ-
ρωσεν αὐτόν, ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ
τοῦ θανάτου. πολιτεύεσθαι γὰρ ἤδη ἑαυτόν φη-
σιν, ἐν τῇ ζωῇ, ἀρχόμενον ὑπὸ χάριτος, καὶ
οὐκ ἐν θανάτῳ ὑπὸ ἁμαρτίας. κατὰ ταῦτα
τοίνυν ὀρθῶς ἀκούοντες τοῦ ὀνόματος, τὰς τοῦ
παύλου περὶ νόμου διαλέξεις ἐκδεξόμεθα, οὐ
ζητοῦντες ἄλλας τινὰς ἐν ὁμωνυμίᾳ πε-
πλασμένας διαστολάς, ἐπιπροσθοῦσας τῇ σα-
φηνείᾳ τῆς ἀποστολικῆς διδαχῆς. οἷον ὅτι
ὑποτίθεται τρεῖς νόμους, ὁ ἀπόστολος. ἕνα μὲν
τοῦ νοὸς κατὰ τὸ ἐν ἡμῖν ἔμφυτον ἀγαθόν. ἕτε-
ρον δὲ τὸν τοῦ σώματος ἢ σαρκὸς τὸν ἐκ προβο-
λῆς γινόμενον τοῦ πονηροῦ. τρίτον τὸν τῆς ἁμαρ
τίας καὶ ἐπιθυμίας. οὕτω γὰρ ὁ μεθόδιος
ἐξηγήσατο. ὁ δὲ φώτιος, ἕνα λέγεσθαι ὑπὸ
παύλου νόμον φησὶ γραπτὸν τὸν τοῦ θεοῦ. ἕτε-
ρον δὲ φυσικὸν ἤγουν ἔμφυτον. τρίτον τὸν

ἐνισχύσαντα διὰ ἁμαρτίας ἐν ἡμῖν. ἅπερ εἶναι μετὰ τῆς προσηκούσης διορθώσεως ἐκλαμβανόμενα οὐκ ἂν ἴσως μέμψοιτ' ἄν τις, οὐδὲν ὅμως παρατεθέντα ἐνταυθοῖ, οἷά τε συγχεῖν καὶ διαστρέφειν τὰ παρ' ἀποστόλῳ ῥητά, καὶ τὴν τῶν ἀναγινωσκομένων γνώμην ἀπάγειν τῆς ὑγιοῦς ἐννοήσεως. ὃ δὴ φυλακτέον ὅτι μάλιστα, ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, ἄλλως τε καὶ ἀρχομένοις καὶ θεμέλιον τῆς θεοσεβοῦς καὶ σωτηρίου γνώσεως θεῖναι σπουδάζουσιν. καὶ ταῦτα δὴ περὶ τῆς νομίμης διατάξεως μετρίως διαλεχθέντες, τέλος ἐπιθήσομεν κατὰ τοῦτο τὸ μέρος τῇ κατηχήσει, εὐλογοῦντες ἐφ' οἷα δήποτ' οὖν ἐξεργασίᾳ τὸν θεόν, καὶ προσευχόμενοι αὐτῷ, βοηθὸν παραγενέσθαι, ὥστε καὶ τὰ δύο ἔτι λοιπὰ τῆς ἡμετέρας διαιρέσεως κεφάλαια, προσεκπονηθῆναι, εὐαρέστως τε αὐτῷ, καὶ ὠφελίμως τοῖς ἐντυγχάνουσιν. αὐτῷ ἀϊδίῳ, μόνῳ, ἀληθεῖ, δικαίῳ, ἁγνῷ καὶ οἰκτίρμονι θεῷ, πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, δόξα, ἀρετὴ καὶ νίκη, εἰς αἰῶνας τῶν αἰώνων, ἀμήν.



ΤΟ ΔΕΥΤΕΡΟΝ ΜΕΡΟΣ ΤΗΣ ΚΑΤΗΧΗΣΕΩΣ. ΕΝ Ω ΕΚΚΕΙΤΑΙ ΗΤΕ ΤΗΣ ΠΙΣΤΕΩΣ ΟΜΟΛΟΓΙΑ ΚΑΙ ΤΑ ΠΡΟΣ ΑΥΤΗΝ.



Διεξεληλυθότων τὴν νομικὴν διδασκαλίαν μέτρῳ τῆς κατηχητικῆς προπαιδεύσεως, λοιπὸν ἂν εἴη δηλαδὴ καὶ τὰ ἑπόμενα προσθεῖναι τῇ πραγματείᾳ. τούτων δ᾽ ἦν κατὰ τὴν ὑποκειμένην τάξιν τὸ δεύτερον ἡ τῆς πίστεως ὁμολογία καὶ τὰ προσήκοντα αὐτῇ. ἥσινός τε ἡ διδαχὴ οἰκεία ἐστὶ τοῦ χριστιανισμοῦ καὶ μόνη σωτήριος, κατὰ τὴν ἀΐδιον βουλὴν τοῦ θεοῦ, μυστήριον ὑπάρχον χρόνοις αἰωνίοις σεσιγημένον, φανερωθὲν δὲ διὰ εὐαγγελικοῦ κηρύγματος ἰησοῦ χριστοῦ ἐκ τῶν προφητικῶν γραφῶν, κατ᾽ ἐπιταγὴν τοῦ αἰωνίου θεοῦ, εἰς ὑπακοὴν πίστεως, καὶ γνωρισθὲν εἰς πάντα τὰ ἔθνη, καθάπερ φησὶν ὁ ἅγιος

παῦλος. ὑπερβάλλει δὲ τάδε πᾶσαν διά-
νοιαν καὶ σοφίαν ἀνθρωπίνην, ἐξαίρετός τ' ἐστὶ γνῶσις ἥδε, καὶ οὐδεμίαν ἔχουσα ὁμοίαν ἑτέραν, καὶ ὑπὸ τὰς ἀνθρωπείας ἐνθυμήσεις οὐδαμῶς πίπτουσα, ἡ τῶν ἀποκεκαλυμμένων μόνῳ διὰ λόγῳ τοῦ θεοῦ, περί τε τῆς οὐσίας καὶ βουλῆς τοῦ θεοῦ. ὥστε τοὺς ἀκούοντας ταῦτα γνῶναί τε τὸν θεὸν, καὶ συνιδεῖν πῶς διάκειται πρὸς αὐτοὺς ἐκεῖνος. παρὰ μὲν οὖν ἰουδαίοις θαυμαστή ποθ' ἡ σπουδὴ ἐγένετο, καὶ δὴ καὶ ἐπιστήμη τις τῶν θρησκειῶν, οἱ δ' αἰγύπτιοι τῇ κτήσει τῆς σοφίας ὀνομαστοὶ, καὶ ἕλληνες μαθήμασί τε καὶ λογιότητι λαμπροὶ ὑπῆρξαν, ἄλλοι τε ἄλλων ἀρετῶν ἀντιλαβόμενοι δόξαν τε καὶ ἔπαινον ἔσχον. οὐδεὶς δὲ πώποτε ἀνθρωπίνῳ λογισμῷ κατέληφε τὴν θείαν ἀλήθειαν, οὐδ' οἷός τ' ἐγένετο κατανοῆσαι τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος τῆς θεογνωσίας, ἀλλ' ἐστι τοῦτο δῶρον θεοῦ καθ' ὃ γινόμεθα θεοδίδακτοι, μαθητευόμενοι διὰ λόγῳ θεοῦ καὶ ῥήματι τῆς ἀληθείας, ὥσπερ λέγει καὶ ὁ βαπτιστὴς, θεὸν οὐδεὶς ἑώρακε πώποτε, ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς ἐκεῖνος ἐξηγήσατο. καὶ αὕτη ἐστὶν ἡ τῶν χριστιανῶν

νῶν μυστικὴ σοφία, κήρυγμα περὶ υἱοῦ τοῦ θεοῦ, καὶ χριστοῦ ἰησοῦ ἐσταυρωμένου, ὅ ἐστιν εὐαγγέλιον, σκάνδαλον μὲν ὂν τοῖς περὶ θρησκείας ἐπτοημένοις, καὶ καταγέλως τοῖς ἐπὶ φρονήσει μεγαλαυχοῦσι, τοῖς δὲ κλητοῖς ἰουδαίοις τε καὶ ἕλλησί, φησιν ὁ ἅγιος παῦλος, ἤγουν πᾶσιν ὑπὸ τὸν ἥλιον ἀνθρώποις ὑπακούουσι τῷ κηρύγματι, χριστὸς θεοῦ ἐστὶ δύναμις καὶ θεοῦ σοφία.

Περὶ διαφορᾶς νόμου καὶ εὐαγγελίου.

Ἀναληπτέον δὲ τῇ μνήμῃ τὰ καὶ πρότερον εἰρημένα περὶ διαφορᾶς νόμου (δῆλον δὲ ὅτι τῶν ἐντολῶν νόμον νυνὶ λέγομεν) καὶ εὐαγγελίου, εἴτ' οὖν νομικῆς καὶ εὐαγγελικῆς διδασκαλίας. ὧν μὲν ἑτέρα παρὰ ἑτέρας συστατική πως καὶ μεταληπτική (ὁ γὰρ χριστὸς, τέλος νόμου ὤν, αὐτός φησι τὸν μωϋσέα γεγραφέναι περὶ αὐτοῦ) μακροτάτω δ' ὅμως διέστηκε ἀποχωριζομένη ἑκατέρα ἑκατέρας, ἀρχήν τε καὶ τέλος ἐσχηκυῖα διάφορον, ὡς ἐλέχθη. τὴν δὲ διαφορὰν κατίδοι τις ἂν οὐχ ἥκιστα ἐν .ϛ'. τούτοις .α. ὅτι ὁ νόμος ἀπαιτεῖ τὸ κελευόμενον, καὶ τοὺς μὴ ἀπεργαζομένους κολάζει. τὸ δ' εὐαγγέλιον

ἐπαγγέλλεται τῶν ἁμαρτηθέντων ἄφεσιν καὶ χάριν δικαιοσύνης διὰ χριστὸν ἰησοῦν θεοῦ υἱόν. β΄. ὅτι ὁ νόμος περὶ τὰ ἀνθρώπινα ἔργα ἀσχολεῖται, τὸ δ' εὐαγγέλιον, περὶ θεῖον ἔργον, ὅ ἐστιν ἡ πίστις, καθάπερ γέγραπται ἰωαν. ς΄. τὸ γ΄. μισθὸν ὁ νόμος προτίθησι τῷ ἐργαζομένῳ κατ' ὀφείλημα, τὸ δ' εὐαγγέλιον κατὰ χάριν τῷ πιστεύοντι ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ. δ΄. ὅτι ὁ νόμος, κατὰ τὸν ἅγιον παῦλον ὀργὴν κατεργάζεται, τὸ δ' εὐαγγέλιον ἱλασμὸν καὶ σωτηρίαν καὶ εἰρήνην δωρεῖται τοῖς πιστεύουσιν, ὡς γέγραπται, ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον, ὁ δὲ ἀπειθῶν τῷ υἱῷ οὐκ ὄψεται ζωὴν ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ' αὐτόν. καὶ ὁ παῦλος γράφων ῥωμαίοις διδάσκει τοὺς πιστεύοντας δικαιοῦσθαι δωρεὰν χάριτι θεοῦ διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν χριστῷ ἰησοῦ, ὃν προέθετο ὁ θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι. ε΄. τοῦ νόμου κρίσις ἐστὶν ἰδίως, ὅτι ὁ ποιήσας τὰ τοῦ νόμου ζήσεται ἐν αὐτοῖς, τοῦ δ' εὐαγγελίου ἔλεος, καθάπερ γέγραπται, ὁ πιστεύων εἰς τὸν υἱὸν οὐ κρίνεται, ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται. ς΄. ὁ νόμος οὐ ποιητικὸς ὢν δικαιοσύνης μαρτύριον ἦν

αὐτῆς,

αὐτῆς, ἐπιτηδευθεὶς οἰκείως πρὸς τοὺς ἰουδαίους, τὸ δ' εὐαγγέλιον μαρτυρούμενον, καταγγελτικὸν γὰρ δικαιοσύνης μαρτυρουμένης ὑπὸ τοῦ νόμου καὶ προφητῶν, δικαιοσύνης δὲ θεοῦ εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας, οὐ γάρ ἐστι διαστολὴ, γράφει ὁ ἅγιος παῦλος ῥωμαίοις.

Τί ἐστι τὸ εὐαγγέλιον; καὶ περὶ τοῦ ὅτι δικαιούμεθα τῇ πίστει μόνον.

Τί φαίημεν ἄρα ἐμφαίνειν τὴν τοῦ εὐαγγελίου λέξιν, καὶ πῶς τὸ σημαινόμενον ὁρίσαιμεν ἄν; οὕτω πως, οἶμαι, οὐκ ἀπὸ τρόπου, λέγοντες, ὅτι τὸ εὐαγγέλιον κήρυγμά ἐστι μετανοίας ἐπαγγελίαν ἔχον ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ δικαιοσύνης καὶ κοινωνίας πνεύματος ἁγίου πρὸς ζωὴν αἰώνιον, πάντων τούτων δωρεὰν διὰ χριστοῦ διδομένων πᾶσι τοῖς πιστεύουσι. φησὶ γὰρ ὁ χριστὸς αὐτὸς ὅτι οὕτως γέγραπται, δεῖν κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν, ἀρξαμένου τοῦ κηρύγματος ἀπὸ ἱερουσαλήμ. καὶ ὁ παῦλος παρὰ λουκᾷ λέγει, διαμαρτυράμενος ἰουδαίοις τε καὶ ἕλλησι, τὴν εἰς τὸν θεὸν μετάνοιαν καὶ πίστιν τὴν

εἰς τὸν κύριον ἡμῶν ἰησοῦν. ὅτι δὲ πνεῦμα ἅγιον ἐνεργὸν ἐστιν ἐν τοῖς πιστεύουσι δῆλον ἐξ αὐτῆς τῆς πείρας, καὶ λέγει ὁ παῦλος, ὅτι ἡ ἀγάπη τοῦ θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν, διὰ πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν. καὶ αὖθις. αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα θεοῦ. καὶ αὖθις. τὸ πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν. περὶ τῆς ζωῆς αἰωνίου διαῤῥήδην λέγει ὁ ἰωάννης, ὅτι ὁ θεὸς τὸν μονογενῆ υἱὸν ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. ὅτι δὲ δωρεὰν ἐπιτυγχάνουσι τούτων οἱ πιστεύοντες οὐκ διὰ τὰς ἀρετὰς ἢ τὴν ἀξίαν οἰκείαν, ἀλλ' διὰ μόνον τὸν δικαιοῦντα τὸν ἀσεβῆ, τὸν θεὸν πατέρα κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, μαρτυρεῖται δι' ὅλης θεοπνεύστου γραφῆς καὶ ἐν ταῖς ἱεραῖς τῶν προφητικῶν καὶ ἀποστολικῶν βίβλων, ὥστε τοὺς τολμῶντας ἀμφισβητῆσαι περὶ τούτου, παντάπασιν ἐκπεσεῖν τῆς ὑγιοῦς διδαχῆς καὶ σωτηρίου ῥήματος καὶ ὀρθοδόξου λόγου τῆς ἀληθείας, καὶ ἀλλοτριῶσαι αὐτὸν ἔξω τὸν τῆς ἐκκλησιαστικῆς κοινωνίας. σαφῶς γὰρ καὶ ἀναμφιλόγως ταῖς τε λέξεσι καὶ

τῇ διανοίᾳ εἴρηται τοῦτο (ὥσπερ καὶ τὸ καθο-
λικὸν ἐν τῇ ἐκκλησίᾳ χριστοῦ δόγμα κατα-
σκευάζεται) τὸ τὴν πίστιν μόνην δικαιῶ-
σαι, ἐν τῇ πρὸς ῥωμαίους, πάντες ἥμαρτον
καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ δικαιού-
μενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ τῆς ἀπο-
λυτρώσεως τῆς ἐν χριστῷ ἰησοῦ. καὶ μετ' ὀλί-
γον φησὶν ὁ ἀπόστολος, πίστει δικαιοῦσθαι
ἄνθρωπον χωρὶς ἔργων νόμου. καὶ πρὸς ἐφε-
σίους δὲ γράφει τάδε. τῇ χάριτί ἐστε σεσωσ-
μένοι, διὰ πίστεως. καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, θεοῦ
τὸ δῶρον οὐκ ἐξ ἔργων. καὶ πρὸς φιλιππη-
σίους, μὴ ἔχων τὴν ἐμὴν δικαιοσύνην, τὴν
ἐκ νόμου, ἀλλὰ τὴν διὰ πίστεως χριστοῦ, τὴν
ἐκ θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει. καὶ ἐν τῇ
δευτέρᾳ πρὸς τιμόθεον, συγκακοπάθησον
φησι, τῷ εὐαγγελίῳ κατὰ δύναμιν θεοῦ τοῦ
σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει
ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν ἀλλὰ κατ'
ἰδίαν πρόθεσιν καὶ χάριν τὴν δοθεῖσαν ἡ-
μῖν ἐν χριστῷ ἰησοῦ. καὶ ἐν τῇ πρὸς τίτον, ἡ
χρηστότης καὶ ἡ φιλανθρωπία ἀπεφάνη τοῦ
σωτῆρος ἡμῶν θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δι-
καιοσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ
τὸν αὐτοῦ ἔλεον, ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ

παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου. καὶ ἔμφυτον τὸ δόγμα ἀκέραιον, ἕως δὴ καὶ ἡ τῶν ἱερῶν γραμμάτων ἀνάγνωσις ἤνθησεν ἐν ἐκκλησίᾳ. μετὰ δὲ ταῦτα τῶν λόγων ἀμεληθέντων, καὶ οὐκέτι σπουδασάντων περὶ τῆς ἀληθείας τῶν ἀνθρώπων, οὐδ᾽ ἑπομένων τῷ καλῷ ποιμένι, ἀλλὰ πλανωμένων τῇδε κἀκεῖσε, ἐν βραχεῖ δὴ καὶ τῆς ἐκείνου φωνῆς ἀηθεῖς ἐγένοντο οἱ πολλοὶ ἀκούσαντες ἑτέρων ὧν τινῶν οὖν μᾶλλον ἢ τοῦ θείου λόγου, οὕτως τ᾽ ἄρα καὶ ἡ ἐκκλησιαστικὴ φράσις βεβαρβάρωται χρόνιος οὖσα ἐν βαρβάροις, καὶ μετέμαθε τῶν πατέρων διάλεκτον καὶ τὸν τῆς ὑγιοῦς διδαχῆς νοῦν οὐκ ἐφύλαξεν. πρὸς ἃ δὴ παντί τινι ὑποστρεπτέον ὅστις ποτὲ κομίσασθαι πρόθυμός ἐστι τὸ τέλος τῆς πίστεως αὐτοῦ σωτηρίαν ψυχῆς κατὰ τὸν ἅγιον πέτρον. ὅτι δὲ πάντα ἀφορίσαντες οἱ ἐν ὁσίοις πατέρες τῶν πάλαι, μόνην τὴν ἐκ πίστεως δικαιοσύνην, ὡς χάριν καὶ δῶρον θεοῦ διὰ χριστοῦ ἐπρέσβευσαν, δηλοῦται ἐκ τῆς ἀκολουθίας τῶν ὑπομνημάτων ἃ κατέλιπον ἡμῖν ἐκεῖνοι καὶ δὴ καὶ ταῖς λέξεσί που διαῤῥήδην τὸ δόγμα ἐξαγορευθὲν παρ᾽ ἐκείνοις εὑρίσκεται. φησὶ γοῦν

ὁ Βα-

ὁ Βασίλειος, ἐν τῷ περὶ ταπεινοφροσύνης
ὧδε. αὕτη ἡ τελεία καὶ ὁλόκληρος καύχη-
σις ἐν θεῷ, ὅτε μήτ' ἐπὶ δικαιοσύνῃ τις
ἐπαίρεται τῇ ἑαυτοῦ ἀλλ' ἔγνω μὲν ἐνδεῆ ὄν-
τα αὐτὸν δικαιοσύνης ἀληθοῦς, πίστει δὲ μό-
νον τῇ εἰς θεὸν, δικαιούμενον. ἔτι ὁ πατριάρ-
χης φώτιος εἰς τὸ πρὸς τοὺς γαλάτας τρί-
τον κεφαλ. ἅπαντες ἄρα συγκεκλεισμένοι
ἐτύγχανον εἰς τὴν ἁμαρτίαν, διὸ ἐκ μόνης
πίστεως δύναται τυχεῖν τῆς ἐπαγγελίας. ἐκ
γὰρ τοῦ νόμου μᾶλλον ἔτι εἰς ἁμαρτίαν συνε-
λαθέντων ἀπεδείχθησαν ἅπαντες. διήλεγ-
ξεν ἡ θεία γραφὴ καὶ τοὺς πρὸ νόμου καὶ τοὺς
ἐν νόμῳ, τοὺς μὲν τὸν τῆς φύσεως τοὺς δὲ τὸν
μωσαϊκὸν παραβαίνοντας, ἀλεξιφάρμακον
δὲ καὶ τούτοις κἀκείνοις τὴν ἐπηγγελμένην
διὰ τῆς πίστεως προσενήνοχε σωτηρίαν. καὶ
εἰς δεύτερον τῆς πρὸς κολασσαεῖς προτέρας.
καὶ γὰρ παραβάντες τὰ προσομολογηθέντα
ἔνοχοι ἡμεῖς τῷ χειρογράφῳ, ἀρκεῖ δὲ τὸ πι-
στεῦσαι μόνον, καὶ τῷ βαπτίσματι ἐξαλεί-
φεται τὸ χειρόγραφον. καὶ γρηγόριος ἐν τῷ
περὶ εὐταξίας. ὁμολόγησον ἰησοῦν χριστὸν,
καὶ πίστευσον ὅτι ἐκ νεκρῶν ἐγήγερται καὶ
σωθήσῃ. δικαιοσύνη γὰρ καὶ τὸ πιστεῦσαι

 μόνον

μόνον, σωτηρία δὲ παντελὴς τὸ καὶ ὁμολο-
γῆσαι καὶ προσθεῖναι τῇ ἐπιγνώσει τὴν παῤ-
ῥησίαν. καὶ ἦν ἔργον οὐδὲν πλεῖστα ὅσα τοι-
ουτότροπα τῶν ἐν ὁσίων πατέρων μαρτύ-
ρια παραθέσθαι. τῶν μέντοι γραφικῶν ἀπο-
δείξεων ἀναντιῤῥήτων οὐσῶν, σαφῶς τε καὶ
τρανῶς παριστάμενων τὸ δόγμα, οὔτε χρείαν
ἔχοιμεν ἂν πλειόνων προσμαρτυρήσεων, καὶ
οὐδεὶς δύναιτό ποτε ἕτερόν τι τούτου κατα-
σκευάσαι, εἰ μὴ σοφιστικῶς διαστρέφων τὰ
ῥητὰ, καὶ πανούργως χρώμενος τῇ ἐξηγή-
σει, ἢ καὶ κλεπτικῶς παρελόμενος ῥημάτι-
όν τι, καὶ οὕτω τὴν ἀληθῆ διάνοιαν λυμαι-
νόμενος. ὥσπερ ἀμέλει καὶ ποιεῖν τολμῶ-
σί τινες, οἳ μᾶλλον προαιροῦνται ὑπερα-
σπίσαι τῶν ἐπισωρευομένων τῇ ἀληθείᾳ
ψευδῶν, ἢ συναγωνίζεσθαι τῷ ἁπλῷ θεοῦ
λόγῳ. καὶ τούτων οἱ μὲν οὕτως ἄτοπα προ-
φέρουσιν, ὥστε εὐθὺς ὀφθέντα αὐτὰ καταγέ-
λαστα καὶ στυγητὰ φαίνεσθαι, οἷά ἐστι τὰ τῶν
ψευδομονάχων τερατολογήματα. οἱ δὲ πει-
ρῶνται εὐχροιάν τινα προστρῖψαι τοῖς ψεύ-
δει, ἐπιμεριζόμενοι καὶ τούτῳ καὶ τῇ ἀλη-
θείᾳ. οὗτοι δ᾽ ὅσῳ πανουργότεροι εἰσὶ, δια-
ποικιλμοῖς καὶ μορφώμασιν εὐειδέσι κοσ-
μοῦν-

μοιοῦντων τὸ ψεῦδος, τόσῳ μᾶλλον ἀπο-
διωκτέον καὶ διαπτυστέον τὴν ἀντίχριστον
περίνοιαν, καὶ ἀκολουθητέον ταῖς τῆς θείας
γραφῆς καὶ τῶν εὐσεβῶν πατέρων ὑπο-
μνημάτων εἱρμῷ ἐνταῦθα. συμμίσγουσι
δὲ τὰ ψεύδη, φασι, τοῖς ὀνέοις, καὶ διαφό-
ρων λόγων συγχύσει διαφθείρουσι τὴν ἀλή-
θειαν. καὶ ἔτι που τις εἶπε κατὰ τῶν μὴ ὀρθῶς,
μήθ' ὑγιῶς ἀποδεχομένων τὴν περὶ πί-
στεως διδαχὴν καὶ μὴ φοβουμένων τὸν θεὸν
ἀλλὰ πρόσχημα ποιούντων ταύτην τῆς κατὰ
σάρκα ἀμετανοήτου βιοτῆς, τὴν μὲν τῆς πί-
στεως γνῶσιν ὁμολογούντων, τοῖς δ' ἔργοις
ἀρνουμένων, τοῦτον διαστρέφοντες ἕλκουσι
πρὸς φαρισαϊκόν τινα τῦφον, καὶ ἀσύμφω-
νον τῇ καθολικῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ διδα-
χὴν πλάττοντες τοῖς ἰδίοις λογισμοῖς, ἔπει-
τα πρὸς τοὺς ὀρθοδόξους πόλεμον αἱροῦνται,
διό τι ἧττον πρὸς πορισμόν, τὸ ἁπλοῦν τῆς
ἀληθείας ἐπιτήδειον. παραδιατριβὴν δὲ
ποιοῦνται οὗτοι ἐν τοῖς πρώτοις, τὸ ῥητὸν
τῆς ἐπιστολῆς ἰακώβου, ὅτι ἡ πίστις χωρὶς ἔρ-
γων νεκρά ἐστιν. ἃ μὲν ὡς πρὸς τοὺς αὐτῇ κενῷ
ἀργῆς πίστεως ὀνόματι ἐπαιρομένους ἐν ἐ-
λέγχου σχήματι εἰρημένα, ἀμέμπτως ἔχει πάν-
τως.

τως. ἀντιλογικῶς δὲ καθ' αὑτὰ καὶ ἐριστικῶς προενεχθέντα ὑπόθεσιν ἂν παρέχοι τοῦ ἀντιχεῖσθαι περὶ ἔργων δόγματος τοῖς φιλονείκοις. περὶ μὲν οὖν τὰς ἀντιῤῥήσεις ἀείπου συμβαίνειν φιλεῖ, ὥστε τοὺς μαχομένους, καὶ ὅπερ ἔθος τῶν κρατεῖν ἐθέλοντας, διατείνεσθαι περὶ τοῦ προκειμένου ἐπὶ τἀναντία καὶ οὐκέτι στοχάζεσθαι τοῦ μέσου. ὅτι δ' ὁ ἰάκωβος λόγον ἐποιήσατο περὶ τῶν τῆς ὀρθῆς πίστεως ἐνδειγμάτων τε ἐνεργειῶν, φανερὸν ἐξ ὧν φησί, δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων, κἀγὼ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου. τὸ αὐτὸ δὲ καὶ ἐκ τῆς παραβολῆς δηλοῦται. νεκρὰ γάρ φησιν, ἡ πίστις ἡ χωρὶς ἔργων, ὥσπερ σῶμα χωρὶς πνεύματος νεκρόν. τουτέστιν ἡ μηδὲν ἐργαζομένη πίστις, οὐκ ἂν εἴη πίστις. ὥσπερ σῶμα ἀπεληλυθυίας τῆς ψυχῆς, οὐκέτι ἄνθρωπος λέγοιτ' ἂν τῷ ὄντι, ἀλλ' εἰ μὴ ὁμωνύμως. συλλογίζεται τοίνυν ὁ ἰάκωβος, ἐν τοῖς ἁγίοις οὐδαμῶς ἀργὴν καὶ νωθρὰν εἶναι τὴν πίστιν. κἂν ποι φωραθῇ τις τοιαύτη οὖσα, ταύτην οὐδὲ πίστιν ἤδη, εἰ μὴ ὁμωνύμως, προσαγορευτέον. οἷον εἴ τις εἴποι, πίστιν νοεῖσθαι ἁπλῶς τὴν ἐνεργῆ, ὥσπερ σῶμα νεκρὸν οὐχ ἁπλῶς ἀνθρώ-

ἀνθρώπινον σῶμα, ἀλλὰ τοῖς ἤγουν ἐστερημένον τῆς ψυχῆς. κατὰ ταῦτα καὶ ὁ χρυσόστομος ἐξηγήσατο τὸ ῥητὸν ἐν ἐπιστολῇ πρὸς τοὺς γαλάτας, πίστις διὰ ἀγάπης ἐνεργουμένη. οὐκ ἀρκεῖ, φησὶ, μόνον τὸ πιστεῦσαι τῷ χριστῷ, ἀλλὰ δεῖ τὴν πίστιν ταύτην ἐνεργεῖσθαι καὶ διαφυλάττεσθαι καὶ οἷον ἀναζωπυρεῖσθαι, διὰ τῆς εἰς χριστὸν ἀγάπης. ἅπερ κατὰ μὲν τῶν μὴ ὀρθῶς φρονούντων περὶ πίστεως εὖ εἴρηται. πρὸς δὲ τοὺς εὐλαβεῖς καὶ φοβουμένους τὸν θεὸν, σύμφορον τὸ ὑπὸ χριστοῦ τῷ ἀρχισυναγώγῳ λεγόμενον, μὴ φοβοῦ, μόνον πίστευε. καὶ αὕτη μὲν ἡ τῆς ὑγιοῦς διδαχῆς ἑρμηνεία σαφὴς ἐστι καὶ ἁπλῆ. εἰ δέ τις φιλόνεικος ἐστιν, ἐκεῖνος ἴσω ὅτι ἡ τοῦ θεοῦ βασιλεία, οὐκ ἐστιν ἐν λόγῳ ἀλλ' ἐν δυνάμει. καὶ ὅτι ὁ χριστὸς ἦλθε τοὺς ἁμαρτωλοὺς σῶσαι. καὶ ἀποστήτω ἀπὸ κακίας πᾶς ὁ ποιῶν ἀνομίαν, καὶ μετανοησάτω καὶ πιστευσάτω τῷ εὐαγγελίῳ.

Περὶ τοῦ σημαινομένου τῆς κατὰ τὴν λέξιν τὴν τῆς πίστεως.

Τῆς δὲ διαφωνίας ἐνταυθοῖ, αἴτιον καὶ τὸ μὴ διαστέλλεσθαι περὶ τῆς λέξεως σημαινομένου.

νομένου. ἰστέον ἄρα ὅτι, πίστις, ἐν τῇ ἱερᾷ γρα-
φῇ σημαίνεται ποτὲ τὴν γνῶσιν τὴν ἱστορικήν
τε καὶ δογματικήν. αὕτη δὴ ἐστι συγκατά-
θεσις ἀπρόκριτος, γνώμης εὐσεβοῦς καὶ πει-
θομένης τῷ θεοῦ ῥήματι. καὶ ἔσθ' ὅτε αὐτὰ
τὰ ἱστορούμενα καὶ ἡ ἔκθεσις τῶν πιστευτέων
δείκνυται τῷ ὀνόματι. ὡς ὅταν λέγῃ ὁ θεο-
λόγος, εἰ πάντες ἐμιμοῦντο τὴν αὐτοῦ ἀ-
πραγμοσύνην, ὅτι οὐκ ἂν ἡ πίστις περιεσύ-
ρετο τῶν ἰδίων ἑκάστῳ φιλονεικιῶν ὅπλον
τυγχάνουσα. καὶ ἐπιφάνιος καλεῖ τὴν ἀρείου
ἐμβεβροντημένην πίστιν, μᾶλλον δὲ ἀπιστίαν
ἢ κακοπιστίαν. σαφῶς γὰρ βούλεται ὁ νοῦς τῆς
φωνῆς ἐνταῦθα δηλοῦν τὴν ἔκθεσιν τῶν πι-
στευτέων οὐχ ὁμοίως ἔχουσαν, οὐδὲ τῇ καθολι-
κῇ ὀρθογνωμοσύνῃ συνᾴδουσαν, ἀλλὰ δια-
φερομένην καὶ μεταβαλλομένην τῇ συγγρα-
φῇ. ὡσαύτως καὶ ἀκακίου ποτὲ καινὴν
ἔκδοσιν πίστεως συγγεγραφότος καὶ ἀνα-
γνόντος, ὡς σωκράτης διηγήσατο ἐν τῇ
ἱστορίᾳ; εἶπε σωφρόνιος πομπηϊοπολί-
της, εἰ τὸ καθ' ἑκάστην ἡμέραν ἰδίαν ἐκτί-
θεσθαι βούλησιν, πίστεως ὑπάρχει ἔκθεσις,
ἐπιλείψει ἡμᾶς ἡ τῆς ἀληθείας ἀκρίβεια. καὶ
οὐ μόνον δὲ τὴν ξυγγραφὴν καὶ διδαχὴν

περὶ πίστεως, ἀλλὰ καὶ τὴν ἀναστροφὴν καὶ
οἱονεὶ πολιτείαν κατὰ πίστιν, σημαίνει τοὔνο=
μα, ὡς ἐν τούτῳ, ἐργαζώμεθα τὸ ἀγαθὸν
πρὸς πάντας, μάλιστα δὲ πρὸς οἰκείους τῆς
πίστεως. οὕτως εἰώθαμέν που καὶ περὶ τοῦ εὐ=
αγγελίου ὀνόματι φράζειν ἐνδεικνύντες, τά
τε τῆς εὐαγγελικῆς ἱστορίας καὶ διδαχῆς ξυγ=
γράμματα, καὶ αὐτὸν τὸν τοῦ πολιτεύματος
τρόπον. καὶ τοῦτο μὲν ἓν σημαινόμενόν ἐστι τῆς
λέξεως. ἕτερον δὲ τὸ τοῦ χαρίσματος, ἐν=
δεικνύμενον τὴν ἔμπυρον καὶ θαυματουρ=
γὸν πίστιν, ὡς ὅτε γράφει παῦλος τοῖς κο=
ρινθίοις. ᾧ μὲν διὰ τοῦ πνεύματος δίδοται
λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κα=
τὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ
αὐτῷ πνεύματι. ἐνταῦθα γὰρ οὐ τὴν κοινὴν,
ὡς παῦλος γράφων τίτῳ καλεῖ, πίστιν, ἀλ
λὰ τὸ εἰδικὸν χάρισμα λέγει τῆς πίστεως. καὶ
αὖθις. ἐὰν ἔχω πᾶσαν τὴν πίστιν ὥστε ὄρη
μεθιστάνειν. περὶ τοῦ χαρίσματος καὶ ὁ κύριος,
ἐὰν, φησὶν, ἔχητε πίστιν, ὡς κόκκον σινά=
πεως. τρίτον σημαινόμενον τῆς φωνῆς ἐστὶ,
περὶ οὗ νῦν ὁ λόγος μάλιστα, τὸ τῆς πεποιθή=
σεως ἐπὶ τὸν υἱὸν τοῦ θεοῦ κύριον ἡμῶν ἰησοῦν
χριστὸν, καθ' ὃ ἡ δικαιοσύνη συνοικειοῦ=

ται

ται τῇ πίστει, ὅς οὔσης μόνης ταύτης δικαιωτι-κῆς τῆς χάριτος καὶ τοῦ ἐλέους τοῦ θεοῦ διὰ χριστόν, ἐν ᾧ ἔχομεν τὴν παῤῥησίαν καὶ τὴν προσαγωγὴν ἐν πεποιθήσει τῇ διὰ πίστεως αὐτοῦ. οὐ παρεμφαίνεται γὰρ ἐνθάδε ἀξία τις τῆς ἰδίας ἐννοήσεως, ἢ ποιότητος ψυχικῆς ἢ ἕξεως λογικῆς, ἀλλὰ πάντως τοῦ δικαιοῦντος τὸν ἀσεβῆ μόνου εὐσπλάγχνου θεοῦ διὰ χριστόν, ἡ πίστις τὴν θείαν δωρεὰν τοῦ εὐαγγελίου κηρυχθέντος, ὀργάνου δίκην δέχεται τε μόνη καὶ προσοικειοῖ τοῖς πιστεύουσι. καὶ οὕτω λέγεται, τὸ πιστεύειν εἰς χριστόν, καὶ πίστις τοῦ χριστοῦ. καὶ πᾶν ὃ οὐκ ἐκ πίστεως ἁμαρτία ἐστί. καὶ τοῦτο μὲν τὸ σημαινόμενον γνώριμον παντί που, τοῖς καὶ σμικρόν τι ἐπαΐουσι τῆς ἑλληνικῆς γλώσσης. αὐτὸ δὲ τὸ ἔργον, ὡς παῦλος ὠνόμασε, θεοῦ γὰρ ὄν, καὶ ἐν ἡμῖν δι' ἀγάπης καὶ χρηστότητος αὐτοῦ ἀποτελούμενον, νοῦς ἂν συνίδῃ οὐδαμῶς ὁ βέβηλος ἢ τῶν καταφρονούντων, ἢ καὶ πολεμίων τῆς ἀληθείας, ἀλλὰ τῶν μὴ ἀντιτασσομένων τῷ θεῷ, καὶ ὑπακουόντων τῷ εὐαγγελίῳ, καὶ προσδεχομένων τὴν ἐπαγγελίαν τῆς βασιλείας τοῦ θεοῦ. ταύτην τὴν πίστιν βεβαίαν εἶναι καὶ ἀμετακίνητον, καὶ τῆς ἐπαγγελίας

αὐγ-

ἀνενδοιάστως ἔχεσθαι δεῖ, καὶ συνεχῶς διαπαλαίειν καὶ μάχεσθαι τοῖς διαλογισμοῖς καὶ τῇ διαπορήσει. ὅστις δὴ τῶν ὀλιγοπίστων πειρασμός ἐστι, καὶ ὑπὸ χριστοῦ ἐλέγχεται, ἐπιπλήξαντος τῷ πέτρῳ καὶ φήσαντος, ὀλιγόπιστε, εἰς τί ἐδίστασας; διὸ αὐτὴν ὀφείλομεν ἀδιαλείπτως ἵνα μὴ ἐκλίπῃ ἡ πίστις ἡμῶν, μᾶλλον δὲ ἵνα προστεθῇ ἡμῖν ἔτι αὐξηθεῖσα. τὸ δὲ περὶ τοῦ δισταγμοῦ παράγγελμα φευκτέον ὡς φθοροποιὸν τοῦ κηρύγματος, καὶ δηλητήριον ὂν τοῦ δόγματος τῆς ζωοποιοῦ ἀληθείας.

Περὶ τοῦ δικαιωθῆναι ῥήματος.

Εἴπομεν ὅτι πίστει δικαιούμεθα. τὸ δὲ δικαιωθῆναι νοητέον, τὸ δικαίους νομισθῆναι, γοῦν τὸ λογίζεσθαι τὸν θεὸν ἡμῖν πιστεύουσι τὴν δικαιοσύνην. αὕτη τοίνυν γνώμη ἐστὶ τοῦ θεοῦ ἀποφαίνουσα δικαίους ἡμᾶς, ἤγουν προσδεκτοὺς καὶ κεχαρισμένους παρ' αὐτῷ, οὐ δι' ἀξίαν τῶν ἡμετέρων ἔργων, ἀλλὰ διὰ τὸν χριστὸν, γενόμενον μεσίτην καὶ διαλλάκτην καὶ εἰρηνοποιόν, ἐφ' ᾧ πιστεύομεν. οὗτος γὰρ υἱὸς θεοῦ καὶ πάσης ἀνομίας ἄμοιρος ὤν, παρεδόθη ὑπὲρ ἡμῶν ὡς ἀδι-

κος, οὐδεμίαν ἁμαρτίαν πεποιηκὼς πώποτε. καὶ ἀπέθανεν ὑπὲρ ἁμαρτιῶν δίκαιος ὑπὲρ ἀδίκων, θανατωθεὶς σαρκί, καὶ ζωοποιηθεὶς πνεύματι, ὥς φησιν ὁ ἅγιος πέτρος. ἐν τούτῳ τοίνυν καὶ διὰ τοῦτον, δίκαιοι καὶ καθαροὶ γινώσκονται, ἀφεθείσης τῆς καταδίκης ὀφειλομένης ταῖς ἁμαρτίαις, πάντες ὅσοι τὴν χάριν καὶ τὸ δῶρον δέχονται τῇ πίστει. καθόλου γὰρ ἐξενήνεκται, καὶ ἐπὶ πάντας διήκει τὸ ἐπάγγελμα, ὡς καὶ πρότερον ἐπεσημηνάμεθα. ἐκέλευσε γοῦν ὁ χριστὸς κηρύττεσθαι τὸ εὐαγγέλιον πάσῃ κτίσει, καὶ μαθητεῦσαι πάντα τὰ ἔθνη. καὶ τοῦτό φησιν, ἐστὶ τὸ θέλημα τοῦ πατρὸς, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον. καὶ ἀναστήσω ἐγὼ αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ. ἡ τοίνυν δικαιοσύνη αὕτη πίστεως περιείληφε τὴν τῶν ἁμαρτιῶν ἄφεσιν, καὶ τὸ ἔχειν ἵλεω τὸν θεὸν, τοὺς μετανοήσαντας καὶ πιστεύοντας ἐπὶ τὸν χριστὸν, υἱοθετουμένους κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ, εἰς ἔπαινον δόξης καὶ χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, διὰ τοῦ αἵματος αὐτοῦ τὴν

ἄφεσιν

ἄφεσιν τῶν παραπτωμάτων κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ, κατὰ τὰ τοῖς ἐφεσίοις ἐπεσταλμένα. τούτοις καὶ τὸ ἅγιον πνεῦμα ἐπιχορηγεῖται. φησὶ γὰρ ὁ χριστὸς, ὅτι ὁ πατὴρ δώσει τὸ ἅγιον πνεῦμα τοῖς αἰτουμένοις. καὶ ὁ παῦλος λέγει, σῶμα πιστοῦ ναὸν εἶναι πνεύματος ἁγίου. καὶ αὐτοῦ ἐστιν ἡ ἀνακαίνισις καὶ ὁ ἁγιασμὸς καὶ ἡ παράκλησις ἐν ἐκκλησίᾳ, ὥσπερ εἴρηται καὶ αὖθις.

Περὶ τοῦ τῆς χάριτος ὀνόματος.

Χάριν δὲ ὀνομάζοντες, ἐννοῶμεν ἀεὶ, τὸ δῶρον εἶναι καὶ μὴ ὀφείλημα τὴν ἀγάπην τοῦ θεοῦ, ἣν ἠγάπησεν ἡμᾶς ἐχθροὺς ὄντας ἔτι. ἁμαρτωλοὶ γὰρ ὑπάρχοντες κατηλλάγημεν τῷ θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ. ὥστε ἀεὶ χρεὼν ἀναφέρεσθαι τὴν διάνοιαν ἐπὶ τὸ χωριστικὸν καὶ ἀποτακτικὸν τῶν ἔργων καὶ τῆς ἀξίας ἡμῶν, καὶ ἐπὶ τὸ ἀφανιστικὸν τῶν οἰκείων κατορθωμάτων. κατὰ τὸ πρὸς ἐφεσίους, ὥσπερ προὐξεθήκαμεν, γεγραμμένον, χάριτι ἐστὲ σεσωσμένοι διὰ πίστεως, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, θεοῦ τὸ δῶρον, οὐκ ἐξ ἔργων ἵνα μήτις καυχήσηται. καὶ τοῦτ' αὐτὸ ἐμφαίνει καὶ ἄλλο οὐδὲν, τὸ φάσκειν, ὅτι μόνη τῇ

πίστει δικαιούμεθα. οὐ γὰρ δὴ μεμονωμένην καὶ ἔρημον τῆς καλοκαγαθοποιΐας πίστιν συνιστάνομεν, ἀλλὰ καθιστάνομεν τὸ τῆς ἀϊδίου ἀληθείας σωτήριον δόγμα, ὅτι μόνῃ τῇ πίστει καὶ οὐδεμιᾷ ἄλλῃ ἤτοι ἕξει ἢ δυνάμει ἢ ἐπιχειρήσει λαμβάνεται δῶρον τοῦ θεοῦ ἡ δικαιοσύνη ἐν ἀφέσει τῶν ἁμαρτιῶν διὰ χριστὸν ἰησοῦν. οὐκ ἔστι δὲ λεπτολογία ἥδε, ἀλλὰ γνῶσις ἀναγκαία τῆς ἀληθείας πρὸς σωτηρίαν ἡμῶν. καὶ ὁ θεμέλιος ᾧ ἐποικοδόμηται ἐν ἐκκλησίᾳ πάντα. θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν ἰησοῦς χριστὸς ὡς ὁ παῦλος ἔγραψε κορινθίοις. καὶ ἡ τοῦ θεμελίου τούτου ἔνδειξις θεμέλιον ἔχει τὴν προφητικὴν καὶ ἀποστολικὴν διδαχὴν, ἐφ᾽ ᾧ ἐποικοδομήθημεν ἡμεῖς τὰ ἔθνη, ὄντος ἀκρογωνιαίου αὐτοῦ ἰησοῦ χριστοῦ, ὡς γέγραπται ὑπὸ ἁγίου παύλου πρὸς ἐφεσίους. καὶ ἐν ταύτῃ δὴ τῇ πίστει στῆναι δεῖ πάντας τοὺς εὐσεβεῖς ἀσφαλῶς καὶ ἀμεταπτώτους. εἰ καὶ οὐκ ἐξ ἴσου πάντας εἶναι εὐρώστους καὶ ἰσχυροὺς ἐνδέχεται. περιέχει γοῦν καὶ θάλπει ἡ ἐκκλησία καὶ τοὺς ἀσθενοῦντας τῇ πίστει, καὶ ἔσθ᾽ ὅτε καὶ κινδυνεύοντας οἱονεὶ λειποψυχεῖν ἐν τοῖς πει-

ρασ-

ρασμοῖς. καὶ ἡ μὲν ἀπιστία, φοβερὸν τὸ ὀλέθριον κακὸν, παντάπασιν ἐχθρὰ ἐστὶ τῷ θεῷ, ὑπερηφανία τε καὶ καταφρόνησις οὖσα, ἐν ἐσχάτῃ ἀμελεία τοῦ τε γινώσκειν τὸν θεὸν καὶ λατρεύειν αὐτῷ ἐν ἀληθεία καὶ δικαιοσύνῃ. ἡ δὲ ὀλιγοπιστία, ἀῤῥωστία τις ὑπάρχουσα τῆς πίστεως, δῆλον ὅτι νόσος εἰκότως προσαγορευθείη τῶν πιστῶν, ταρασσομένων τε καὶ ἀγωνιζομένων μὲν πρὸς τὴν τελέαν ἀπιστίαν, ἔτι δὲ λειπομένων τι καὶ καμνόντων καὶ μηδέπω παντελῶς κρατούντων τοῦ δεινοῦ. καὶ οἱ τοιοῦτοι ὑπὸ φόβου μᾶλλον οἰστρηθέντες, ἢ ἐλπίδος χρηστῆς δραξάμενοι, προσέδραμον τέ ποι τῷ χριστῷ καὶ ἐξήγειρον αὐτόν. οὗ μὲν ἔπαινον ἔχοντες, αἰτίαν δὲ μᾶλλον, καὶ αὐτὴν μεγίστην δὴ, ὅτι μὴ πιστεύουσι, σώζονται δ᾽ ὅμως καὶ ἐλεοῦνται, καὶ φέρει ἐπιεικῶς ὁ οἰκτίρμων θεὸς τὴν ἀσθένειαν τούτων, ἕως γε, κατὰ τὸν ἅγιον παῦλον, ἀεὶ τὰ μὲν ὀπίσω ἐπιλανθανόμενοι τοῖς δ᾽ ἔμπροσθεν ἐπεκτεινόμενοι, κατὰ σκοπὸν διώκωσιν ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ θεοῦ ἐν χριστῷ ἰησοῦ.

Ὅτι φιλέργους περὶ τὴν ἀρετὴν εἶναι δεῖ τοὺς πιστούς.

Ὅτι μὲν οὖν καὶ ἠλευθερώθησαν διὰ χριστοῦ ἀπὸ τοῦ νόμου, οἱ πιστεύοντες, καὶ δίκαιοι εἰσὶ πίστει τῇ εἰς χριστὸν, ἤδη προείρηται. οἱ δὲ ἄλλως περὶ τούτων φρονοῦντες καὶ διδάσκοντες, ἤτοι διαβάλλουσιν εἰδότες τὰ καλῶς λεχθέντα, ἢ πλανῶνται μὴ αὐτοὶ, οὐ βούλονται δὲ εἰς τὴν ὁδὸν νουθετούμενοι ἀνελθεῖν, ὥστε καταντῆσαι εἰς τὴν ἀλήθειαν. ἤδη δέ τινες καὶ πρόφασιν ζητοῦντες τοῦ ἀποχρᾶσθαι τῇ ἐλευθερίᾳ πρὸς ἀφορμὴν σαρκὸς, εἶτα τοῖς καλῶς λεχθεῖσιν, οὐ σπουδαίως προσέχουσι τὸν νοῦν. ἐκ τούτων δὲ συμβαίνει βλασφημεῖσθαι τὸ δόγμα, ὥσπερ ἀποτρεπτικὸν ἢ διακωλυτικὸν γ' ὂν τῆς ἐκ τῶν ἀγαθῶν ἔργων ὠφελείας, ἐπιτηδευόμενον πρὸς τοὺς πολλοὺς δημοτικῶς, ὡς παντός τινος πρὸς ἄνεσιν καὶ ῥᾳστώνην νεύοντος, καὶ φεύγοντος τὸν περὶ τὰς ἀρετὰς κάματον καὶ τὴν μελέτην. ἔστι δὲ πᾶν μᾶλλον ἤπερ τοῦτο. οὐ γὰρ κηρύττομεν πίστιν φαύλην τινὰ καὶ ῥάθυμον, ἀλλὰ καὶ πάνυ γενναίαν καὶ φιλόπονον. οἴδασι τοίνυν οἱ πεπιστευκότες, ὅτι ἀνακαινισθέντες, καὶ νέα ἤδη

κτίσις

κτίσις γενόμενοι, ὀφειλέται εἰσὶ τῇ βουλήσει θεοῦ, καὶ οἷοι τὰ δίκαια οὐκ ἐξ ἀνάγκης ἤδη καὶ δέει τῶν τιμωριῶν ὅσαι ταῖς ἀμπλακίαις πρόκεινται ἐν τῷ νόμῳ, ἀκούσιοι ἐπιτελοῦντες, ἀλλ' ἑκόντες, μίσει τε τῶν πονηρῶν καὶ ἔρωτι τῶν καλῶν ἔργων. ὥστε πείθεσθαι καὶ ἀκολουθεῖν ἐν πᾶσιν ὑπακούοντας αὐτοὺς τῷ θείῳ ἀϊδίῳ καὶ ἀμεταθέτῳ νόμῳ τῆς δικαιοσύνης. καὶ φεύγειν μὴ κατὰ κράτος τὰ τῆς σαρκὸς ἔργα, τὰ ἀπαγορευθέντα ἐν τῷ νόμῳ, τὴν δὲ σάρκα σὺν παθήμασι καὶ ταῖς ἐπιθυμίαις σταυρώσαντας, διώκειν τὰ ἀρεστὰ τῷ θεῷ, καρπὸν προενέγκοντας τοῦ πνεύματος. διδάσκει γοῦν τοῦτο ἡ εὐαγγελικὴ παραβολὴ τρανώτατα, περὶ τῆς ἀκάρπου συκῆς. καὶ ὁ βαπτιστὴς λέγων, ὅτι πᾶν δένδρον μὴ ποιοῦν καρπὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. καὶ ὁ ἅγιος παῦλος λαμπρῶς ἐν διαφόροις τόποις παρίστησι τὸ αὐτὸ, καὶ δὴ καὶ ἐν τῇ πρὸς ἐφεσίους ἐπιστολῇ γράφων ὧδε. τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν κυρίῳ μηκέτι ὑμᾶς περιπατεῖν καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν. καὶ τὰ λοιπά. καὶ ἔτι πρότερον, θεοῦ, φησιν, ἐσμὲν ποίημα

κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, ὅς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης

κτισθέντες ἐν χριστῷ ἰησοῦ ἐπ' ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ θεὸς ἵν' ἐν αὐτοῖς περιπατήσωμεν. ὁ δὲ πέτρος λέγει ἃ παρεῖναι δεῖ τοῖς πιστοῖς, καὶ ὅτι αὐτὰ ὑπάρχοντα καὶ πλεονάζοντα οὐκ ἀργοὺς οὐδ' ἀπράκτους καθίστησιν εἰς τὴν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἐπίγνωσιν. ᾧ γάρ, φησι, μὴ πάρεστι ταῦτα τυφλός ἐστι μυωπάζων λήθην λαβὼν τοῦ καθαρμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν. καὶ προστίθησι, διὸ μᾶλλον ἀδελφοὶ σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι. καὶ ὁ παῦλος αὖθις πρὸς τίτον. ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ, ὅς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον ζηλωτὴν καλῶν ἔργων. ὅπου καὶ ἐπιστήσειεν αὐτὸς ἴσως καὶ καταμάθῃ, ὅτι τὰ ὑπὸ τῶν πιστῶν πραττόμενα ἔργα καλά, ἀξιοῦται

ἀμοι-

ἀμοιβῆς καὶ ἀνταποδόσεως ὑπὸ θεοῦ. καὶ ἐστὶν ἄρα τῆς ἀκρᾶς ἀγαθότητος, ὥσπερ ὁ θεολόγος φησὶ, ποιῆσαι τὸ ἀγαθὸν καὶ ἥμερον, οὐ φύσει μόνον κατασπειρόμενον, ἀλλὰ καὶ προαιρέσει γεωργούμενον. καὶ οὕτω δὴ διὰ ἀγῶνος καὶ πάλης τῆς πρὸς τὰ κάτω, κληρονόμοι γίνονται τῆς ἄνω δόξης οἱ πιστοί, ἔνδειγμα ὑπάρχοντα τῆς δικαίας κρίσεως τοῦ θεοῦ, εἰς τὸ καταξιωθῆναι αὐτοὺς τῆς βασιλείας τοῦ θεοῦ, ὑπὲρ ἧς καὶ πάσχουσιν, ὡς εἴρηται ἐν τῇ δευτέρᾳ πρὸς θεσσαλονικεῖς. ὥστε ἤδη καὶ τὴν ἀξίαν καὶ τὸν μισθὸν συνάπτειν τοῖς καλοῖς τῶν πιστῶν ἔργοις, καὶ ἆθλον γίνεσθαι τῆς ἀρετῆς, τὰ χαριζόμενα καὶ ἐπ' ἐλπίδι πίστεως ἀποκείμενα παρὰ θεῷ, ὄντινα οὖν τις τρόπον κακοπαθήσειε, μόνον ὡς χριστιανοῦ ἡ θλίψις καὶ ὁ μόχθος εἴη. καὶ ἔστι δὴ τούτοις ἀκόλουθον, τὸ καὶ τοὺς ἀνομοιοῦντας ἐκπίπτειν τῆς χάριτος καὶ ἀποβάλλειν τὸ πνεῦμα τὸ ἅγιον. ὅπου δὴ καὶ ὅσοι μὴ πράττουσιν ἑκόντες τὰ δέοντα, τῆς πίστεως ἀπαλλοτριοῦνται. οὕτω γὰρ ἔγραψε πρὸς τιμόθεον ὁ παῦλος, εἴ δέ τις τῶν ἰδίων καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται καὶ ἔστιν ἀπίστου χείρων. εἰ δὲ τέ-

κνα θεοῦ γίνονται οἱ πιστεύοντες εἰς ὄνομα τοῦ υἱοῦ, ὁ δὲ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν, ἐπεὶ δὴ οἱ ἐργαζόμενοι τὸ κακὸν οὐκέτι ἂν εἶεν οἷοι καὶ νομίζεσθαι τέκνα θεοῦ. οὐκ ἄρα μένουσιν ἐν τῇ πίστει, ὅτι οἱ ἐκ θεοῦ ὄντες ἀκούουσι τὰ ῥήματα θεοῦ. ῥῆμα δὲ προσηνέχθη λαμπρῶς ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης, ὥς φησιν ὁ ἅγιος πέτρος, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, εἰς ὃν ἐγὼ εὐδόκησα. καὶ πρόσκειται τὸ παράγγελμα παρὰ ματθαίῳ, αὐτοῦ ἀκούετε. γράφει δὲ τῷ τιμοθέῳ ὁ παῦλος τάδε. ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν ἥν τινες ἀπωσάμενοι περὶ τὴν πίστιν ἐναυάγησαν.

Περὶ ἐκουσίου.

Ὅτι τοίνυν οὐκ ἐστὶν ἄπρακτος οὐδὲ ῥαστωνεύεται ἡ τῶν χριστιανῶν πίστις, καὶ ὅτι περὶ τὰ τοῦ θείου νόμου ἔργα ἀγαθὰ ἀσχολεῖται, οὐκ αὐθαιρέτων τινῶν ὡς μειζόνων καὶ θειοτέρων ἐπιτηδευμάτων τελειωτικὴν ἀρετὴν διώκουσα, ἤδη εἴρηται. ἐπεὶ δὲ περὶ τοῦ εἰδέναι καὶ πῶς ἄρα οἷοί τε εἰσὶν οἱ ἄνθρωποι ποιεῖν τὰ τοῦ θείου νόμου, διηπόρηταί τισι, τεκμαίρεσθε δὴ ὑμεῖς, ὦ παῖδες, ἐκ τῶν προ-

ἐκτεθέντων, ἀποκρίνασθαι πρὸς τὰς περὶ τούτου ἐρωτήσεις. ΠΑΙΔ. ἐρώτα δή. ΚΑΤΗΧΗΤ. εἰ τελέως πείθεσθαι τοῖς ἐπιτεταγμένοις ὑπὸ θείου νόμου καὶ ἀπεργάζεσθαι αὐτά, δυνατοί ἐσμεν; ΠΑΙΔ. οὐκ ἐσμέν. ΚΑΤΗΧΗΤ. ἄρα τί οὐκ ἐσμέν; ἢ οὐχ ὁρᾶτε πολλοὺς καὶ ἐν τοῖς ναοῖς ὁσημέραι καλινδουμένους καὶ ἡσύχως πράττοντας τὰ αὐτῶν, καὶ λυποῦντας μηδένα, ταῖς δὲ τῶν νόμων διατάξεσι κοσμίως πειθομένους. περὶ δὲ τῆς τῶν πρότερον ἀρετῆς, τὰ ἱστορούμενα οὐκ ἀγνοεῖτε. οἷον περὶ δικαιοσύνης, καὶ σωφροσύνης καὶ ἐγκρατείας, καὶ ἀνεξικακίας, ἀριστείδου, σωκράτους, φωκίωνος. ὡς λόγου ἕνεκα μεμνῆσθαι ὀλίγων. ΠΑΙΔ. ὅτι σὺ εἶπας ἀπαιτεῖν τὸν νόμον ὑπακοὴν ὁλοχερῆ, καὶ ἐξεργασίαν τελείαν τοῦ θείου θελήματος, ὥστε μαθόντα τινὰ τὸ παραγγελθέν, ποιεῖν εὐθὺς αὐτό, οὐδὲν ἄλλο σκοπούμενον ἤπερ τὸ θεοῦ θέλημα, καὶ τὸ πείθεσθαι ῥήματι αὐτοῦ γινώσκοντα τί πράττει καὶ βουλόμενον ἅμα καὶ κατεργαζόμενον τὰ πρακτέα. τοῦτο δ' ἔφης ὅτι ἐν τῇ τῆς ἡμετέρας φύσεως διαφθορᾷ οὐδαμῶς γένοιτ' ἂν ὑπὸ ἀνθρωπίνης δυνάμεως οὐδεμιᾶς. καὶ

ἐλε-

ἔλεγον ὅτι μέλλεις ἔτι πλέω εἰπεῖν περὶ τούτων. ΚΑΤΗΧ. εἴρηται τοίνυν ἤδη, ὅτι ὁ θεοῦ υἱὸς χριστὸς ἰησοῦς μόνος ἐξηγητής ἐστι τῶν τοῦ θεοῦ, καὶ ὅτι πρὸς αὐτοῦ μαθητευθέντες, καὶ ἔγνωμεν τὸν θεόν, καὶ ἀκολουθοῦμεν τῷ θελήματι αὐτοῦ, ἀρεσκούσης τῆς ἰδίας ἡμῶν ὑπακοῆς καὶ σπουδῆς τῷ θεῷ διὰ χριστὸν εἰς ὃν πεπιστεύκαμεν. ΠΑΙΔ. μεμνήμεθα τούτων. πῶς δὲ ὦ φίλε διδάσκαλε, διϊσχυριζόμενός τις, ὅτι πάντα τὰ τοῦ νόμου ἐφύλαξεν, ἀγαπᾶται μὲν ὑπὸ χριστοῦ, ἀποχωρεῖ δὲ οὐχ ἧττον ἀπ' αὐτοῦ; ΚΑΤΗΧ. τὴν τοῦ ζητήματος λύσιν αὐτοὶ εἰρήκατε. ΠΑΙΔ. πῶς; ΚΑΤΗΧ. ὅτι ἀποχωρῆσαι τοῦτον ἔφητε ἀπὸ χριστοῦ. οὐκ ἐφύλαξεν ἄρα τὰς ἐντολὰς τελέως ἀλλ' ἀπεχόμενος τῶν αἰσχρῶν ἔζη μὲν βίον ἀνέγκλητον ἴσως παρ' ἀνθρώποις, οὐκ ἐστοχάσατο δὲ τοῦ τέλους, ὅπερ ἦν ὑπακοῦσαι τῷ ῥήματι θεοῦ. ἠγαπᾶτο τοίνυν δι' ἁπλότητα τρόπου, ὡς ἔοικεν, ἀπεχώρησε δὲ ἀφελκόμενος τῇ ἀπειθείᾳ. πῶς γὰρ οὗτος ὁ φάσκων τὰ καταλεγόμενα φυλάξαι ἅπαντα, οὐ παρελογίσατο αὐτὸν (οὐ γὰρ τὸν χριστόν γε) ὑποτοπήσας ὅτι τὰς ἐντολὰς ἐτήρησε, προφθέγγοντος τοῦ πασῶν τῶν

ἐντο-

ἐντολῶν κύρους; εἴπερ δὲ ἦν τὸ περὶ τιμῆς τῆς ὑπακοῆς καὶ εὐσεβείας περὶ τὸν θεόν, καὶ τῆς ἀγάπης ἐξ ὅλης ψυχῆς καὶ καρδίας καὶ διανοίας, ἐν τοῖς πρώτοις κείμενον. παιδεύειν ἄρα ἐκεῖνον ὁ κύριος βουλόμενος, καὶ προσάγειν πρὸς τὴν ἀληθῆ φυλακὴν τῶν νενομοθετημένων, κελεύει αὐτῷ ἕπεσθαι, οὐδὲν περὶ πλέονος ποιοῦντα τοῦ πειθαρχεῖσθαι τῷ θεοῦ λόγῳ. ὁ δὲ ἀποστρέφεται καὶ ἀπέρχεται λυπούμενος, καὶ δῆλος δὴ ἐγένετο ὅτι τὰς τῶν ἐντολῶν ὑπεκρίνατο μᾶλλον καυχώμενος, ἢ ἐξειργάσατο φυλάξας. ἐκ δὴ τούτων γνοίημεν ἂν ὅτι τὰ τοῦ νόμου δοκοῦσι μὲν καὶ ξυνιέναι καὶ οἷοί τ' εἶναι ἀπεργάζεσθαι οἱ ἄνθρωποι, σφάλλονται δὲ τῇ ἐπιχειρήσει. ὁ γὰρ νόμος πνευματικός, ἡμεῖς δὲ σαρκικοί. τουτέστιν, ἄνθρωποί ἐσμεν τὴν ψυχὴν σαρκὶ περιβεβλημένην ἔχοντες. φρόνημα δὲ σαρκὸς νόμῳ θεοῦ οὐχ ὑποτάσσεται, οὐ γὰρ δύναται. καὶ ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος θεοῦ. χρείαν ἄρα ἔχομεν τοῦ ἱκανώσαντος ἡμᾶς πρός τε τὴν κατάληψιν καὶ πρὸς τὴν ἀπεργασίαν τῶν θείων παραγγελιῶν. οὗτός ἐστιν ὁ λόγος θεοῦ, καὶ ἡ ἀνεκδιήγητος χάρις, ἡ δωρησαμένη

ἡμῖν

ἡμῖν ἐν τῇ ἁγίᾳ πίστει τήν τε γνῶσιν τοῦ θεοῦ καὶ τὴν σπουδὴν τοῦ πείθεσθαι πᾶσιν ὅσα ἐνετείλατο ὁ θεός, καὶ τὸ πρωτιστεῦσαι εἰς πᾶν ἔργον ἀγαθόν. ὅτι δὲ τοῖς τοῦ ἑκουσίου κινήμασιν ἐπ' ἀμφὼ τὰ καλά φημι καὶ τὰ κακὰ νομιζόμενα, αὐτοτελῶς ἐλαυνόμεθα, δῆλον ἐκ τοῦ προαίρεσιν εἶναι μίαν τῶν ψυχικῶν κινήσεων, ἥτις βουλευτικὴ τῶν ἐφ' ἡμῖν ἓν πρὸ ἑτέρου προκειμένου σα αἱρεῖται, ὅθεν καὶ ὠνόμασται. ὥσπερ δὲ ὁ θεὸς, τὴν ἄλλην φύσιν συντηρεῖ πᾶσαν, ὥστε εἶναι τι καὶ μένειν οἷάπερ ἐστὶ, ὡς τὴν τῆς ὄψεως ἢ λογισμῶν, οὕτω καὶ τὴν τῆς προαιρέσεως οὐ προδίδωσιν. ἐπεί γ' οὔτε τὸ τυφλὸν ὄψις, οὔτε τὸ ἄλογον λογικὸν ἂν εἴη, οὔτε τὸ ἀκούσιον δὴ καὶ ἀπροαίρετον, προαίρεσις. εἶναι δὲ προαίρεσιν ὥσπερ ὄψιν τῶν φυσικῶν δυνάμεων δῆλόν ἐστι, συλλογίζοιτο τοίνυν ἐκ τούτου τις ὅτι αὐτεξούσιος ἡ τοῦ ἑκουσίου φορὰ πρὸς τὰ ἐκ προαιρέσεως γινόμενα. ἐπεὶ δὲ ἴσμεν, οἷα τῇ φύσει οὐ μόνον ἀσθένεια ἐστὶ νόσος, ἀλλὰ καὶ λώβη καὶ διαφθορὰ ὑφ' ἁμαρτίας προσετρίφθη, διὸ ἐστὶ κατὰ τὸ λόγιον, ἔγκειται διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος, εὐλαβέστερόν πως ἡμῖν

περὶ

περὶ τοῦ αὐτεξουσιότητος διαλεκτέον, καὶ μὴ φρονητέον μέγα ἐπεὶ τῇ ἡμετέρᾳ τοιᾳδε φύσει, φιλοσοφικῶς μᾶλλον ἢ θεολογικῶς περὶ τούτων συζητοῦσιν. εἰ μὲν γὰρ καὶ κατὰ τὴν φυσικὴν ἰδιοκρασίαν ἕτερος ἑτέρου τοῖς ἤθεσι σεμνότερος γίνεται, καὶ ὁ μὲν ἐπιτηδειότερος πρὸς δικαιοσύνην, ὁ δὲ πρὸς σωφροσύνην καὶ ἄλλος πρὸς ἄλλην τινὰ ἢ καὶ πλείους τῶν ἀρετῶν, ἔστι δ' ὅμως καὶ τὸ κατόρθωμα σφαλερὸν, καὶ ἓν πὰρ' ἐσλὸν πήματα συνδύο. κατὰ πίνδαρον. ἤγουν, ὅπου ἀρετὴ μία ἐνταῦθα καὶ κακίαι δύο πάρεισι. τοῦτο γὰρ καὶ οἱ ἔξω σοφοὶ καθεωράκασι, προάγοντες αἴτιόν τινα φρενοβλαβείας καὶ ἁμαρτοποιὸν δαίμονα, καὶ διὰ τὸ κακοῦργον ὀνομάζοντες ἄτην, ὅτι πάντας ἀᾶται. καὶ ὁ λυρικός που φησὶ, τὴν προμηθεία ἐμβαλεῖν ἀρετὴν καὶ χάρματα ἀνθρώποις, ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτον νέφος, καὶ παρέλκει πραγμάτων ὀρθὰν ὁδὸν γ' ἔξω φρενῶν. καὶ τοῦ κακοῦ τούτου οἱ πάλαι σοφιζόμενοι τὴν ἀνθρωπίνην σοφίαν, οὐ καταλαβεῖν δυνάμενοι, τύφου καὶ δεισιδαιμονίας ἐνέπλησαν ἅπαντα, καὶ βλαπτικοὺς τε καὶ ἀπατεῶνας γί-

νεσθαι

νεσθαι ποτὲ τοὺς θεοὺς παρέδοσαν. καὶ ἔπλασαν αἰσχρουργούς τινας δαίμονας, καὶ ἐπὶ πᾶσιν, ὥσπερ κολοφῶνα, ἐπέθηκαν τὴν μοιρειδίαν ἀνάγκην, κατὰ Σοφοκλέα, τῶν πεπρωμένων ἑκάστῳ, μοῖραν ἔχουσαν ἀμήχανον ἐκφυγεῖν καὶ θεῷ, κατὰ τὸν παρ' Ἡροδότῳ χρησμὸν πυθικόν. ἅπερ οὐδὲν ἅπαντα ψεύδη ὀλέθρια καὶ πλάνη ἄθεος ἐν τοῖς ἀπολλυμένοις. παρήκουσαν δὲ οἱ παῖδες τῶν πατέρων, καὶ τὴν περὶ θεοῦ κτίσαντος τὸν ἄνθρωπον ὀρθογνώμονα καὶ αὐτεξούσιον ἁπλῶς, καὶ τοῦ διαβολικοῦ ὄφεως τὴν διάνοιαν ἀπὸ τοῦ κτίστου διὰ ἀπείθειαν ἀποστρέψαντος, καὶ τῆς ἁμαρτίας οὕτως αἰχμαλωτισάσης τὸν ἄνθρωπον ἕως τὸ θανάτου τίμημα ἐποίησε, περὶ τούτων ἄρα τὴν διδαχὴν καὶ παράδοσιν ἀληθῆ, ἀκούσαντες μὲν οἱ πλεῖστοι, ἀμελήσαντες δὲ καὶ ἐν οὐδενὶ λόγῳ τιθέντες τὰ λεγόμενα, δεύτερον παρεῖχον προσβολῆς καιρὸν τῷ διαβόλῳ, ὥστε ὑπαχθῆναι αὐτοὺς εὐμεθόδως ἐν ἐνεργείᾳ πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει, ἐφ' ᾧ περὶ τὴν τῆς ἀληθείας γνῶσιν ὀλιγώρως καὶ ἀπρονοήτως εἶχον. κατεστάθη μὲν γὰρ ὁ πρωτόπλαστος αὐτεξούσιος, ὥσπερ

ἐν

ἐν μέσῳ ἀγαθοῦ καὶ κακοῦ, ἵνα γένηται ἐπ' αὐτῷ, ὁπότερον ἂν ἐθέλῃ τούτων ἑλέσθαι, ἀποκλίνας δὲ πρὸς τὸ παρακοῦσαι τοῦ θείου νόμου, ἐπιβληθείσης κατάρας αὐτῷ θεόθεν, οὐχ ὅτι τὸ αὐτεξούσιον ἀκέραιον ἐφύλαξεν, ἀλλὰ καὶ τὸ ἀντιστρατευόμενον πονηρὸν καὶ δουλείαν ὑπὸ τὴν ἐξουσίαν ἐπάγον, προσεκτήσατο, παρεισδύσης τῆς ἁμαρτίας καὶ ἐνιζανούσης τε καὶ ἐμπολιτευομένης ἤδη τῇ σαρκί, καθάπερ κηφῆν ἔσωθεν ἐν κηρίῳ μελίσσης. ὥστε κἂν μόνον περὶ τῶν φυσικῶν δυνάμεων τε καὶ ἐνεργειῶν λόγον ποιώμεθα, εὑρίσκεσθαι μὲν τὸ ἑκούσιον ἐν τῇ ψυχῇ, ὡς εἴρηται, ἵνα ἔπαινον ἔχῃ τὰ καλά, ψόγον δὲ τὰ αἰσχρὰ τῶν πραγμάτων, καὶ γένοιτο, καθάπερ ὁ Πλάτων φησί που, ἡ μὲν αἰτία τοῦ ἑλομένου, ὁ δὲ θεὸς ἀναίτιος, τὸ δ' αὐτεξούσιον διά τε τὴν ἐνοικοῦσαν ἁμαρτίαν, καὶ διὰ τὰς ἐνέδρας καὶ τὴν βίαν τοῦ διαβόλου, πάνυ τι εἰς στενὸν συνελάθη, καὶ λείπεται τούτου ἕνεκα καυχήσεως τόπος οὐδέμια, καὶ μᾶλλον αἰσχύνοιτό τις ἂν καὶ ταπεινωθείη, ἤπερ ὑπερηφάνως καὶ κομπαστικῶς ἔχοι, διὰ τὴν τοῦ ἰδίου θελήματος ἐξουσίαν, καὶ τὴν πρὸς ἀρετὰς πάσας ὁδηγὸν φύσιν, ἥ τις ἑπομέ-

νος, κατὰ τοὺς ἀπὸ στοᾶς κατορθοίη πανταχοῦ. καὶ λεγόμενον ἔτι δὴ περὶ τῶν προφανῶς φυσικῶν ὑπαρχόντων. τὸ δὲ τῆς θείας ἀληθείας γνώρισμα καὶ ἡ ἐπ' αὐτὴν ὁδὸς, καὶ ὡς συνελόντι εἰπεῖν, τὸ τῆς χάριτος δῶρον πρὸς σωτηρίαν χορηγούμενον ἐν πίστει τοῦ σωτῆρος χριστοῦ, πάσῃ τε τῇ τῶν ἀνθρώπων διανοίᾳ ἀνεξερεύνητον καὶ λογισμῷ ἀκατάληπτον καὶ προθυμήσει ἀκατέργαστον, μάθημά τ' ἐστὶν οὐράνιον οὐ γήϊνον, καὶ πνευματικὸν οὐ σαρκικὸν, ὥστε πάντας τοὺς ἐπιτυχόντας αὐτοῦ θεοδιδάκτους εἶναι, καὶ γεγεννημένους ἄνωθεν. οὐ γὰρ δύναται, φησὶν ὁ βαπτιστὴς, ἄνθρωπος λαμβάνειν οὐδὲν ἐὰν μὴ ᾖ αὐτῷ δεδομένον ἐκ τοῦ οὐρανοῦ. διὸ καὶ μυστήριον καλεῖ πάντοτε ὁ παῦλος, τὴν ζωοποιὸν τῆς ἀληθείας γνῶσιν, παραδεδομένην μὲν πρῶτον τοῖς πατράσι, καὶ οἰκειωθεῖσαν τῷ τῶν ἑβραίων λαῷ. ἐν δὲ πληρώματι τοῦ χρόνου, κατὰ τὴν τοῦ θείου θελήματος εὐδοκίαν καὶ βουλὴν, κηρυχθεῖσαν εἰς πάντα τὰ ἔθνη, τοῦτο δ' ἐστὶ τὸ εὐαγγέλιον χριστοῦ περὶ ἀφέσεως τῶν παραπτωμάτων κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ, κατὰ τὰ πρὸς ἐφεσίους γραφέντα. αὐτὴ θεία ἐστὶ φρόνησις καὶ σοφία,

σοφία, ἧς ἀκούοντες καὶ ἣν ἀποδεχόμενοι, γινώσκουσι τὸν θεὸν διὰ ἑρμηνείας τοῦ θεοῦ λόγου, καὶ πιστεύοντες περιποιοῦνται εἰς ἔπαινον τῆς δόξης αὐτοῦ, προηλπικότες εἰς χριστόν, ἤγουν πιστοὶ εὐεργεθέντες παρὰ θεῷ. καὶ τούτων ἐστὶν ἥτε πρόθεσις καὶ ὁ προορισμὸς καὶ ἡ ἐκλογή. ἐπίστευσαν, γάρ, φησιν, ὁ λουκᾶς ἐν ταῖς πράξεσιν, ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον. οὐ γὰρ ἄν τις σωθείη διὰ πίστεως εἰς χριστόν, ἧς ἄνευ ἐλπὶς σωτηρίας οὐδεμία, ἐκτὸς τῆς θείας χάριτος, καὶ τοῦ προεπελθόντος ἁγίου πνεύματος, σὺν τῷ θείῳ λόγῳ. γενικὸν γὰρ τὸ ἀγαθὸν καὶ πίστις κοινή, καὶ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. τὸ δὲ δῶρον τῆς χάριτος διὰ λόγου θεοῦ προσφέρεται, καὶ λαμβάνεται μόνῃ τῇ πίστει. οἱ γὰρ τὸν λόγον ἀκούοντες καὶ δεχόμενοι τὴν θείαν ἐπίπνοιαν, καὶ ὅσοι μὴ ἀπωθοῦνται τὴν προσφερομένην χάριν, οὗτοι τεταγμένοι εἰσὶν εἰς τὴν ζωήν. οἱ δ' ἄλλοι ἀπαξιοῦνται τῆς ζωῆς τῇ ἰδίᾳ κρίσει, καὶ καταφέρονται αὐθεκουσίως εἰς τὸν ὄλεθρον. ὥστε τὸ τῆς τάξεως καὶ προορίσεως, κατὰ τὸ ἑπόμενον τὸ τῆς οἰκείας ἑκάστου πίστεως ἢ ἀπιστίας νοηθῆναι. οἱ γὰρ πι-

στεύοντες τῷ λόγῳ τετάχαται εἰς τὴν ζωήν.
οἱ δ' ἀπειθοῦντες οὔ. εἰ δέ τινι περιεργάζε-
σθαι ἔτι δοκεῖ, καὶ διακριβοῦν μᾶλλον ταῦ-
τα, ἐκεῖνος ἴστω οὐκ ἀκίνδυνον πρᾶγμα
πραγματευσόμενος, ἐν τῷ βιάζεσθαι περὶ
τῶν ὑπὲρ ἡμᾶς καὶ τὰ κρυπτὰ ἀνερευνᾷν,
ἐν μέσῳ κειμένων τῶν ἀναγκαίων καὶ γνω-
ρίμων, οἷς μελετηθησομένοις καὶ μακρότατος
ἂν βίου χρόνος οὐκ ἀρκέσειεν ἄν. ἡμᾶς τοί-
νυν, ἄλλωστε καὶ κατήχησιν μεταχειριζομέ-
νους, εὖ ἔχοι χαμαὶ ῥέποντας ἐν ταπεινοφρο-
σύνῃ μαθεῖν τὰ δέοντα, καὶ τὰ πρὸς τὴν τι-
μὴν τοῦ θεοῦ, καὶ εἰς ἡμετέραν σωτηρίαν τεί-
νοντα, ὥστε πάντα τινὰ, τὴν τῆς υἱοθεσίας
ἐλπίδα ἐπὶ τὸν θεὸν ἔχοντα, ἁγνίζειν ἑαυ-
τὸν, καθάπερ φησὶν ὁ ἰωάννης. καὶ οὐκέτι
καλῶς ἔχει συνείρειν ἐνταυθοῖ τὰ μὴ ἁρμό-
ζοντα παρεμπλέκοντας ἤτοι περὶ ἑκουσίου ἢ
περὶ τῆς ἡμετέρας ἐξουσίας τι. τοῦτο γὰρ θεοσε-
βές τε καὶ σωτήριον ἔργον ἂν εἴη, τῇ τε πί-
στει προβαίνειν ἀεὶ πρόσω, καὶ τοῖς ἀγαθοῖς καὶ
ἐπαινετοῖς τῶν ἔργων καὶ πάσῃ τῇ ἀρετῇ
διαπρέπειν, ὡς ἐστὶ δίκαιον τοὺς ἁγίους. οἱ
ἐκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον καὶ
ἐνδυσάμενοι τὸν νέον, καὶ οἱ θανόντες εἰσὶ

σὺν

συνχριστῷ τῇ ἁμαρτίᾳ, καὶ ἀνεγερθέντος τῇ δικαιοσύνῃ. οὐ γὰρ ἤδη χώρα τῇ ζητήσει, εἰ πρακτέον τὸ καλόν; καὶ πῶς ἄντις πράξειεν; ἀλλὰ τῇ ἀσκήσει καὶ μελέτῃ ἐπιβλητέον, ἐν τῷ ὑπωπιάζειν καὶ δουλαγωγεῖν τὸ σῶμα, καὶ ἐπιχορηγῆσαι ἐν τῇ πίστει τὴν ἀρετὴν, κατὰ τὸν ἅγιον πέτρον, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονὴν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν, ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην.

Ἔτι περὶ τοῦ τὴν πίστιν ἀδιάκριτον καὶ ἀνενδοίαστον εἶναι δεῖν.

Ἐπεὶ δὲ ἐλέχθη ὅτι ἀδιάστακτος καὶ βεβαία εἶναι βούλεται ἡ τῶν χριστιανῶν πίστις, καὶ ὅτι αἱ διαπορήσεις πρὸς τὰς ἀπιστίας, ἡ δ᾽ ἀπιστία μόνη τὴν ἀσέβειαν τελείαν καθίστησι, ζητήσειε τις ἴσως πῶς συμφωνεῖ τούτοις τὸ ἀποστολικὸν παράγγελμα, τὸ κελεῦον μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθαι τοὺς εὐσεβεῖς. καὶ τὰ ὅμοια τούτῳ. ταῦτα γὰρ δόξειεν ἂν πάντως μετέχειν ἐνδοιασμοῦ τινος καὶ διαλο-

γισμῶν ἢ διακείσεως. λεκτέον δὲ πρὸς ταῦτα, ὅτι κατὰ τὸ ἀποστολικὸν κήρυγμα ἡ πίστις ἐν πεποιθήσει καὶ πληροφορίᾳ ὑπάρχουσα, οὐκ ἄν ποτε γένοιτο οἷά τε προσίεσθαι τὴν ἀπάθειαν καὶ τὸ ἀστάθμητόν τε καὶ περιφερόμενον τῆς γνώμης. οὐδ' οὖν ἐκεῖνα τούτοις ἐναντία. πῶς γὰρ ἂν εἴηγε; λόγια ὄντα ἀμφότερα. τί βούλεται τοίνυν τὸ ῥητόν; δῆλον ὅτι σωφρονίζειν ἡμᾶς, καὶ οὐκ ἐᾶν ὑψηλὰ φρονεῖν καὶ ἐπαίρεσθαι τοῖς λογισμοῖς. ἀλλ' ἀεὶ φοβεῖσθαι τὸν θεὸν σέβοντας καὶ ἀγαπῶντας. οὐ γὰρ φόβος γε παραγγέλλεται ἀποστρεφόμενος καὶ φεύγων τὸ θεῖον, ἀλλὰ τιμῶν τε αὐτὸ καὶ εὐλαβούμενος, ὡς ἴσμεν. ἵνα γένοιτο ἡ διάθεσις. οὐχ οἷα δούλων πρὸς δεσπότας, ἀλλὰ οἷα τέκνων πρὸς πατέρας. καὶ οὖν δεῖ γνῶναι βουλομένῳ σαφὲς τὸ λεγόμενον. οὐ γὰρ ὅτι τὴν πίστιν βεβαίαν καὶ ἀναμφίλογον πεποίθησιν ἔχειν βουλόμεθα διὰ τοῦτο καὶ ἀφροντιστίαν ἢ καὶ καταφρόνησιν καὶ ὀλιγωρίαν ἐπαινοῦμεν. εἰδότες ὅτι ὁ θεὸς μισεῖ ἐν τοῖς πρώτοις τὸ ἀμεταγνόητον καὶ τὸ ἀμελὲς τῶν ἀνθρώπων, ὅπερ καὶ πάσης ἀπιστίας καὶ κακίας αἴτιον, ὅτι τ' ἐθέλει ἀγρυπνεῖν ἡμᾶς καὶ ἐπικαλεῖσθαι

αὐτὸν, εὐχομένους καὶ ἱκετεύοντας καὶ προσδεχομένους τὴν τοῦ ἐλέους βοήθειαν, πεποιθότας μέντοι βεβαίως, καὶ πιστεύσαντας ἀδιακρίτως ἐπ' αὐτῷ, καὶ ἀτελεύτητον γὰρ τῷ βίῳ τούτῳ ἀγῶνα ἀγωνιζομένους τοῦ διαμάχεσθαι ἀεὶ τῇ διαπορήσει, καὶ παλαίειν μετὰ τῶν διαλογισμῶν. ὥσπερ ἔφημεν που καὶ πρότερον.

Ἔκθεσις συμβόλων τῆς ἁγίας πίστεως.

Λοιπὸν εἴη νῦν ἀπαριθμηθῆναι τὰ τῆς ἁγίας πίστεως ἡμῶν κεφάλαια. ταῦτα δὲ ἀποστοματίσαι τῶν θεοσεβῶν παιδίων ἔργον ἂν εἴη.

ΚΑΤΗΧΗΤΗΣ.

Λεγέτω δή τις ἀπὸ στόματος τὸ καλούμενον τῶν ἀποστόλων σύμβολον.

ΠΑΙΣ.

Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα ποιητὴν οὐρανοῦ καὶ γῆς. καὶ εἰς ἰησοῦν χριστὸν υἱὸν αὐτοῦ μονογενῆ, κύριον ἡμῶν. τὸν συλληφθέντα ἐκ πνεύματος ἁγίου, γεννηθέντα ἐκ μαρίας τῆς παρθένου. παθόντα ἐπὶ ποντίου πιλάτου, σταυρωθέντα, θανόντα, καὶ ταφέντα. κατελθόντα εἰς ᾅδου, καὶ ἀνα-

ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ ἐκ τῶν νεκρῶν, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρὸς, ὅθεν ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκρούς. πιστεύω εἰς πνεῦμα ἅγιον. ἁγίαν ἐκκλησίαν καθολικήν. κοινωνίαν τῶν ἁγίων. ἄφεσιν ἁμαρτιῶν. ἀνάστασιν σαρκὸς, καὶ μετὰ ταύτην τὴν ζωὴν, ζωὴν αἰώνιον.

ΚΑΤΗΧ.

Ταῦτα ἄρα τὰ κεφάλαια δυοκαίδεκα ὄντα τὸν ἀριθμὸν ἁπλῶς ἐκτεθέντα τρόπον τοῦτον, τοῖς ιβ΄. ἀποστόλοις καθ᾽ ἕκαστα προσωκειώθη. ὡς περὶ μὲν τοῦ πέτρου τὸ, πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα. καὶ τῶν ἄλλων τὰ λοιπά. οἷον ἐκ συμφώνου πρὸ τοῦ διαχωρισθῆναι κατὰ τὴν τοῦ χριστοῦ ἐντολὴν αὐτοὺς, τὴν διδαχὴν ἀνακεφαλαιωσαμένων καὶ διαλαβόντων ἐν τούτοις. ὅτι μὲν οὖν δῆλον ὅτι τῆς χριστιανικῆς καὶ ἀποστολικῆς διδαχῆς κεφάλαιά ἐστι ταῦτα, περὶ δὲ συνθέσεως καὶ τῶν κατασκευασάντων, οὕτως ἐχέτω ὥσπερ καὶ ἔχει. οὐδὲν γὰρ ἀνέγνων παραδεδομένον περὶ τούτου ἀξιόπιστον, οὐδ᾽ εὕρηκά που τὸ σύμβολον τοῖσδε τοῖς ῥήμασιν ἐκκείμενον παρ᾽ ἕλλησι γε. ὑπολάβοι

μὲν

μὲν οὖν τις ἴσως ὅτι τὸ παρ᾽ ἐπιφανίῳ ὡς ἀπὸ μαρκέλλου ἐκτεθὲν, οὕτω διεσκευάσθη ὑπὸ τῶν ἄλλων, πρῶτον δὲ, ὡς ἐμὲ εἰδέναι, φέρεται τὸ ἐν τῇ κατὰ νίκαιαν συνόδῳ διὰ τὴν ἀρειανικὴν νεωτεροποιίαν συγγραφὲν καὶ ἐκδοθὲν σύμβολον τοῦτο.

ΠΙΣΤΕΥόμεν εἰς ἕνα θεὸν, πατέρα παντοκράτορα ποιητὴν οὐρανοῦ τε καὶ γῆς. ὁρατῶν τε πάντων καὶ ἀοράτων. καὶ εἰς ἕνα κύριον ἰησοῦν χριστὸν, τὸν υἱὸν τοῦ θεοῦ, τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα, πρὸ πάντων τῶν αἰώνων. τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός. φῶς ἐκ φωτὸς, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ. γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί. δι᾽ οὗ τὰ πάντα ἐγένετο, τάτε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐν τῇ γῇ. τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ μαρίας τῆς παρθένου. καὶ ἐνανθρωπήσαντα. σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ ποντίου πιλάτου, καὶ παθόντα καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς γραφάς. καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς. καὶ καθεζό-

θεζόμενον ἐκ δεξιῶν τοῦ πατρός. καὶ πάλιν
ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νε-
κρούς, οὗ τῆς Βασιλείας οὐκ ἔσται τέλος. καὶ εἰς
τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποι-
όν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν
πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συν-
δοξαζόμενον. τὸ λαλῆσαν διὰ τῶν προφη-
τῶν. εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστο-
λικὴν ἐκκλησίαν. ὁμολογοῦμεν ἓν βάπτι-
σμα εἰς ἄφεσιν ἁμαρτιῶν. προσδοκῶμεν
ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος
αἰῶνος ἀμήν. οὕτως ἐξέθηκε τὴν πίστιν
ἐπιφάνιος. ὁ δὲ Βασίλειος συντομώτερον
οὕτως. Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παν-
τοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀορα-
τῶν ποιητήν. καὶ εἰς ἕνα κύριον ἡμῶν ἰη-
σοῦν χριστὸν τὸν υἱὸν τοῦ θεοῦ. γεννηθέντα ἐκ
τοῦ πατρὸς, μονογενῆ. τουτέστιν ἐκ τῆς οὐσίας
τοῦ πατρός. θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός. θε-
ὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ. γεννηθέντα οὐ
ποιηθέντα, ὁμοούσιον τῷ πατρί. δι᾽ οὗ τὰ
πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ καὶ ἐν
τῇ γῇ. τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ
τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ
σαρκωθέντα. ἐνανθρωπήσαντα. παθόντα,

καὶ

καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ. ἀνελθόντα εἰς τοὺς οὐρανούς. ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς τὸ ἅγιον πνεῦμα. καὶ τὰ λοιπά.

Μετὰ δὲ ταῦτα καὶ ἐπὶ τῶν πνευματομάχων καλουμένων ἀνακυψάσης αἱρέσεως, διωρίσθη καὶ ὁ περὶ τοῦ ἁγίου πνεύματος λόγος, καὶ ἄλλοθι δὲ δι' ἄλλας ἀναφανείσας αἱρέσεις, διεσκευάσθη ἀκριβέστερον ἡ ἐξομολόγησις. καὶ ἔδοξε, φησὶν ὁ ἐπιφάνιος, τοὺς προσιόντας τῷ θείῳ τῆς παλιγγενεσίας λουτρῷ ἐπαγγέλλειν καὶ λέγειν ὧδε.

ΠΙΣΤΕύομεν εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ἀοράτων τε καὶ ὁρατῶν ποιητήν. καὶ εἰς ἕνα κύριον ἰησοῦν χριστόν, τὸν υἱὸν τοῦ θεοῦ. γεννηθέντα ἐκ θεοῦ πατρὸς, μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρὸς, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτὸς. θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ. γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν οὐρανοῖς καὶ τὰ ἐν τῇ γῇ, ὁρατά τε καὶ ἀόρατα. τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα, τουτέστι γεν-

νηθέντα τελείως ἐκ τῆς ἁγίας μαρίας τῆς ἀει-
παρθένου, διὰ πνεύματος ἁγίου. ἐνανθρωπή-
σαντα, τουτέστι τέλειον ἄνθρωπον λαβόντα,
ψυχὴν καὶ σῶμα καὶ νοῦν, καὶ πάντα ὅτι
ἐστὶν ἄνθρωπος, χωρὶς ἁμαρτίας. οὐκ ἀπὸ
σπέρματος ἀνδρὸς, οὐδ᾽ ἐν ἀνθρώπῳ, ἀλλ᾽
εἰς ἑαυτὸν σάρκα ἀναπλάσαντα, εἰς μίαν
ἁγίαν ἑνότητα. οὐ καθάπερ ἐν προφήταις
ἐνέπνευσέ τε καὶ ἐλάλησε καὶ ἐνήργησεν,
ἀλλὰ τελείως ἐνανθρωπήσαντα. ὁ γὰρ λό-
γος σὰρξ ἐγένετο, οὐ τροπὴν ὑποστὰς οὐδὲ
μεταβαλὼν τὴν ἑαυτοῦ θεότητα εἰς ἀνθρω-
πότητα. εἰς μίαν συνενώσαντα ἑαυτοῦ ἁγί-
αν τελειότητά τε καὶ θεότητα. εἷς γάρ ἐστι
κύριος ἰησοῦς χριστὸς, καὶ οὐ δύο. ὁ αὐτὸς
θεὸς, ὁ αὐτὸς κύριος, ὁ αὐτὸς βασιλεύς.
παθόντα δὲ τὸν αὐτὸν ἐν σαρκὶ, καὶ ἀναστάν-
τα, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς ἐν αὐτῷ
τῷ σώματι, ἐν δόξῃ, κρῖναι ζῶντας καὶ νε-
κρούς. οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. καὶ εἰς
τὸ ἅγιον πνεῦμα πιστεύομεν. τὸ λαλῆσαν
ἐν νόμῳ, καὶ κηρύξαν ἐν τοῖς προφήταις καὶ
καταβὰν ἐπὶ τὸν ἰορδάνην λαλοῦν ἐν ἀπο-
στόλοις, οἰκοῦν ἐν ἁγίοις. οὕτως δὲ πιστεύο-
μεν ἐν αὐτῷ, ὅτι ἐστὶ πνεῦμα ἅγιον, πνεῦ-

μα θεοῦ, πνεῦμα τέλειον, πνεῦμα παράκλητον, ἄκτιστον, ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, καὶ ἐκ τοῦ υἱοῦ λαμβανόμενον. καὶ πιστεύομεν εἰς μίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. καὶ εἰς ἓν βάπτισμα μετανοίας. καὶ εἰς ἀνάστασιν νεκρῶν. καὶ κρίσιν δικαίων ψυχῶν καὶ σωμάτων. καὶ εἰς βασιλείαν οὐρανῶν. καὶ εἰς ζωὴν αἰώνιον.

Φέρε δὴ καὶ ἀθανασίου σύμβολον ὅπερ ἐκ παλαιοῦ τινος ἔθους ἐν ταῖς ἐκκλησιαστικαῖς ὁμιλίαις μελῳδεῖται ἀντιψαλλόμενον, τόδε. ΟΣΤΙΣ βούλεται σωθῆναι πρὸ πάντων χρὴ κρατεῖν τὴν καθολικὴν πίστιν. ΗΝ εἰ μὴ εἷς ἕκαστος σῶαν καὶ ἀμώμητον τηρήσῃ, ἄνευ δισταγμοῦ εἰς τὸν αἰῶνα ἀπολεῖται. ΠΙΣτις δὲ ἡ καθολικὴ αὕτη ἐστίν, ἵνα ἕνα θεὸν ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι σεβώμεθα. ΜΗΤΕ συγχέοντες τὰς ὑποστάσεις, μήτε τὴν οὐσίαν μερίζοντες. ΑΛΛΗ γάρ ἐστιν ἡ ὑπόστασις τοῦ πατρὸς, ἄλλη τοῦ υἱοῦ, ἄλλη τοῦ ἁγίου πνεύματος. ΑΛΛΑ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, μία ἐστὶν ἡ θεότης, ἴση ἡ δόξα, συναΐδιος ἡ μεγαλειότης. ΟΙΟΣ ὁ πατὴρ τοιοῦτος ὁ υἱὸς, τοιοῦτον καὶ τὸ ἅγιον πνεῦμα.

μα. ΑΚΤΙΣΤΟΣ ὁ πατὴρ, ἄκτιστος ὁ υἱὸς, ἄκτιστον καὶ τὸ πνεῦμα τὸ ἅγιον. ΑΙΩΝΙΟΣ ὁ πατὴρ, αἰώνιος ὁ υἱὸς, αἰώνιον καὶ τὸ πνεῦμα τὸ ἅγιον. ΠΛΗΝ οὐ τρεῖς αἰώνιοι ἀλλὰ εἷς αἰώνιος. ΩΣΠΕΡ οὐδὲ τρεῖς ἀκατάληπτοι, οὐδὲ τρεῖς ἄκτιστοι ἀλλ' εἷς ἄκτιστος καὶ εἷς ἀκατάληπτος. ΟΜΟΙΩΣ παντοδύναμος ὁ πατὴρ, παντοδύναμος καὶ ὁ υἱὸς, παντοδύναμον καὶ τὸ πνεῦμα τὸ ἅγιον. ΠΛΗΝ οὐ τρεῖς παντοδύναμοι ἀλλ' εἷς παντοδύναμος. ΟΥΤΩ θεὸς ὁ πατὴρ, θεὸς ὁ υἱὸς, θεὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον. ΠΛΗΝ οὐ τρεῖς θεοὶ ἀλλὰ εἷς θεός. ΟΜΟΙΩΣ κύριος ὁ πατὴρ. κύριος ὁ υἱὸς, κύριον καὶ τὸ πνεῦμα τὸ ἅγιον. ΠΛΗΝ οὐ τρεῖς κύριοι ἀλλὰ εἷς ἐστι κύριος. ΟΤΙ ὡς ἰδίαν μίαν ἑκάστου ὑπόστασιν, θεὸν καὶ κύριον ὁμολογεῖν τῇ χριστιανικῇ ἀληθείᾳ βιαζόμεθα, οὕτω τρεῖς θεοὺς ἢ τρεῖς κυρίους λέγειν τῇ καθολικῇ εὐσεβείᾳ κωλυόμεθα. Ο πατὴρ ἀπ' οὐδενός ἐστι ποιητὸς, οὐ κτιστὸς, οὐδὲ γεννητός. Ο υἱὸς ἀπὸ τοῦ πατρὸς μόνου ἐστὶν, οὐ ποιητὸς, οὐ κτιστὸς, ἀλλὰ γεννητός. ΤΟ πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, οὐ ποιητὸν, οὐ κτιστὸν, ἀλλ' ἐκπορευτόν.

τόν.

τῶν. ΕΙΣ οὖν πατὴρ, οὐ τρεῖς πατέρες. εἷς υἱὸς, οὐ τρεῖς υἱοί. ἓν πνεῦμα ἅγιον οὐ τρία πνεύματα ἅγια. ΚΑΝ ταύτῃ τῇ τριάδι, οὐδὲν πρότερον ἢ ὕστερον, οὐδὲν μεῖζον ἢ ἔλαττον, ἀλλὰ σῶαι αἱ τρεῖς ὑποστάσεις καὶ συναΐδιοι εἰσὶν ἑαυταῖς, καὶ ἴσαι κατὰ πάντα καθὼς εἴρηται, καὶ τὴν μονάδα ἐν τριάδι σέβεσθαι δεῖ καὶ τὴν τριάδα ἐν μονάδι. Ο γοῦν βουλόμενος σωθῆναι, οὕτω περὶ τριάδος φρονείτω. ΠΛΗΝ ἀναγκαῖόν ἐστι πρὸς αἰώνιον σωτηρίαν, ὅπως καὶ τὴν ἐνσάρκωσιν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, ἔτι ὀρθῶς πιστεύσῃ. ΕΣΤΙ γὰρ πίστις ὀρθὴ ἵνα πιστεύωμεν καὶ ὁμολογῶμεν, ὅτι ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ θεὸς καὶ ἄνθρωπός ἐστι. ΘΕΟΣ ἐκ τῆς οὐσίας τοῦ πατρὸς πρὸ αἰώνων γεννηθεὶς, καὶ ἄνθρωπος ἐκ τῆς οὐσίας τῆς μητρὸς, ἐν τῷ αἰῶνι τεχθείς. ΤΕΛΕΙΟΣ θεὸς καὶ τέλειος ἄνθρωπος ἐκ ψυχῆς λογικῆς καὶ ἀνθρωπίνης σαρκὸς ὑφιστάμενος. ΙΣΟΣ τῷ πατρὶ κατὰ τὴν θεότητα, ἐλάττων τοῦ πατρὸς κατὰ τὴν ἀνθρωπότητα. ΟΣ εἰ καὶ θεὸς καὶ ἄνθρωπός ἐστιν, οὐ δύο ὅμως ἀλλὰ εἷς ἐστι χριστός. ΕΙΣ δὲ οὐ τροπῇ τῆς θεότητος εἰς σάρκα, ἀλλὰ προσ-

λήψει

λήψει τῆς ἀνθρωπότητος εἰς θεόν. ΕΙΣ πάντως οὐ συγχύσει τῆς οὐσίας, ἀλλὰ ἑνότητι τῆς ὑποστάσεως. ΚΑΙ γὰρ ὡς ψυχὴ λογικὴ καὶ ἡ σάρξ, εἷς ἐστιν ἄνθρωπος, οὕτω καὶ ὁ θεάνθρωπος εἷς ἐστι χριστός. ΟΣ ἔπαθε διὰ τὴν σωτηρίαν ἡμῶν, κατῆλθεν ἐν ᾅδου. ΑΝέστη τῇ τρίτῃ ἡμέρᾳ ἐκ τῶν νεκρῶν. ΑΝῆλθεν εἰς οὐρανοὺς, κάθηται ἐκ δεξιῶν τοῦ πατρὸς καὶ θεοῦ παντοκράτορος. ΟΘΕΝ ἥξει κρῖναι ζῶντας καὶ νεκρούς. ΟΥ τῇ παρουσίᾳ πάντες οἱ ἄνθρωποι ἀναστήσονται μετὰ τῶν σωμάτων αὐτῶν, καὶ ἀποδώσουσιν τῶν ἰδίων ἔργων ἀπολογίαν. καὶ οἱ μὲν τὰ ἀγαθὰ πράξαντες πορεύσονται εἰς ζωὴν αἰώνιον, οἱ δὲ τὰ φαῦλα εἰς τὸ πῦρ αἰώνιον. αὕτη ἐστὶν ἡ καθολικὴ πίστις, ἣν ἐὰν μή τις πιστῶς πιστεύσῃ, σωθῆναι οὐ δυνήσεται.

Αὗται δὴ αἵδε ἐξηγήσεις τινὲς εἰσὶ τῶν κεφαλαιωδῶς ὑπὸ τῶν πρότερον ῥηθέντων, τῆς χρείας διὰ τὰς αἱρετικὰς ματαιολογίας, τὴν ὀρθόδοξον ἀκριβολογίαν ἀπαιτούσης. εἰ μὲν οὖν ἀθανάσιος περὶ οὗ πολὺς τοῖς ἐκκλησιαστικοῖς ξυγγραφεῦσι λόγος, συνέθηκέ τε καὶ ἐξέδωκε τὸ ἀμοιβαῖον σύμβολον, ὡς νῦν ᾄδεται, οὐκ ἔχω εἰπεῖν,

ἀλλ

ἀλλὰ δὲ τεκμηρίων τινῶν ὑπονοήσειν αὖτις νεώτερον εἶναι τοῦτο ἢ καθ' ἡλικίαν ἐκείνην, καὶ ἐκτεθῆναι παρὰ τοῖς δυτικοῖς μάλιστα. φανερὸν δὲ ἐξ ὧν ἐπέστειλε λιβερίῳ τῷ τῆς παλαιᾶς ῥώμης ἐπισκόπῳ ὁ ἀθανάσιος, καὶ ἐξ ἄλλων τινῶν ξυγγραμμάτων αὐτοῦ, ὅτι ἐνίοτε ἀδιορίστως οὐσίας, καὶ ὑποστάσεως ὀνόμασι κέχρηται. καὶ οὐκ ἀγνοοῦμεν ὅτι ταῦτα τὰ ὀνόματα ὑπὸ γρηγορίου καὶ βασιλείου πρῶτον διεσαφηνίσθη ἑρμηνευόμενα, διδασκόντων τὴν μὲν οὐσίαν τὸ κοινὸν τῆς θεότητος ἐμφαίνειν, τὴν δ' ὑπόστασιν, ἤγουν πρόσωπον, ὡς ἐκάλεσαν οἱ δυτικοί, τὸ ἰδιάζον. τοῦ μὲν τῆς οὐσίας ῥήματος ἔννοιαν ἀδιόριστον τῆς φύσεως ἐνδεικνυμένης, τοῦ δὲ τῆς ὑποστάσεως χαρακτῆρα χωριστικὸν ἑνὸς ἀφ' ἑτέρου. διὸ καὶ ἰδιότητα ταύτην ὠνόμαζον. ἀλλὰ ταῦτα ἐάσαντας ἤδη τὸ προκείμενον τραπώμεθα.

ΠΑΙΔ. ἄγε πρότερον περὶ τῆς τοῦ συμβόλου λέξεως λόγον τινὰ ποιοίης. ΚΑΤΗΧΗΤ. ἐρήσεται τοίνυν καὶ τοῦτο διὰ βραχέων. ἡ γὰρ τῆς πίστεως συγγραφή, οὐδὲν οὖσα ἄλλο ἤπερ ξυγκομιδὴ τῆς ὑγιοῦς διδαχῆς κεφαλαιώδης, ἀλλὰ τῶν ἁγίων γραφῶν ἐπιτετμημένη,

σύμβολον ἐκλήθη τῶν πιστῶν, ἤγουν σύνθημα καὶ σημεῖον ἀφ' οὗ γνωρίζεται αὐτῆς συμβαλὼν τὴν ὀρθόδοξον ἐκκλησίαν. οἷον ἀπὸ σημαιῶν ἢ παραγγέλματός τινος παραδιδομένου ὑπὸ βασιλέως ἐν ταῖς μάχαις γνωρίζονται οἱ φίλοι διακρινόμενοι ἀπὸ τῶν πολεμίων. καὶ ἔστι μὲν ταῦτα οἱονεὶ τύπος καὶ ὑπόθεσις ὧν πιστεύειν δεῖ ἅπαντας τοὺς χριστιανοὺς, τὴν δὲ ἀκρίβειαν καὶ τὰς θεωρήσεις καὶ κατασκευὰς αὐτῶν ληπτέον ἐκ τῶν ἁγίων γραφῶν καὶ μαθητέον διὰ λόγων διδασκαλικῶν τῆς θεολογίας. εἶεν. νῦν ἄρα τὰ κεφάλαια, τὰ ἁπλᾶ φημι καὶ οἱονεὶ πρωτότυπα ἐκεῖνα, ἀναμνημονεύοντος ἀκούοιτέ τι καὶ περὶ ἑκάστου. λεγέτω τίς οὖν τὸ πρῶτον ἀρξάμενος, καὶ τὸ δεύτερον ἕτερος καὶ ἄλλος τὸ τρίτον, καὶ οὕτω κατὰ τάξιν προΐτω ὁ κατάλογος μετὰ τῆς ἡμετέρας ἀφηγήσεως. ΠΑΙΣ. Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα ποιητὴν οὐρανοῦ καὶ γῆς. ΚΑΤΗΧ. τὸ πιστεύω ῥῆμα οὐδὲν ἄλλο δηλοῖ ἢ πίστιν ἔχω. τὴν δὲ πίστιν οὐ μόνον τῆς γνώσεως ἀλλὰ καὶ τῆς πεποιθήσεως νοητέον, ὡς ἤδη εἴρηται. εἴη δ' αὖ πίστις κατὰ τὴν πρὸς ἑβραίους γραφεῖσαν ἐπιστολὴν,

ὑπό-

ὑπόστασις ἐλπιζομένων πραγμάτων, ἔλεγχος οὐ βλεπομένων. ἤγουν ἁπάντων οἷς ἡ τῶν σωθησομένων ἐλπὶς ἐφέστηκε καὶ κρατύνεται στήριγμα καὶ βάσις. μὴ μέντοι τοιούτων τινῶν πραγμάτων οἵων ξυνιέναι τὴν ἀνθρωπίνην διάνοιαν, ἢ καταλαβεῖν τὰς αἰσθήσεις, ἀλλ' ἅτινα μήτε νοῦς μήτε ὀφθαλμὸς ἀνθρώπου ἑώρακέ πώποτε. καὶ ταῦτα τοίνυν ὅμοιά τις ἂν λέγων τοῖς ὑπὸ παιδίων μανθάνειν τὰ γράμματα πρῶτον ἀρξαμένων ἀποστοματιζομένοις, οὐκ ἂν ἁμάρτοι. ἐκεῖνά τε γὰρ μόνον τὰ εἰρημένα ὑπὸ τοῦ καθηγητοῦ προφέρουσιν οὕτως ὥσπερ ἤκουσαν λέγοντος ἐκείνου, μηδὲν ἔτι ἐπιστάμενοι οὔτε ἐννοοῦντες ὅπερ ποιεῖν τὸ κελευόμενον. ὡσαύτως καὶ τοὺς χριστιανοὺς οὐδὲν περιεργάζεσθαι δεῖ, ἀλλὰ μόνον ὑπηχεῖν ταῖς ἁγίαις γραφαῖς, καὶ λέγειν περὶ θεοῦ τε καὶ τῶν θείων πραγμάτων ἅπερ ἐκεῖναι ὑπαγορεύουσι. καὶ τούτοις δῆλον ὅτι χρὴ ὑπείκειν τε καὶ ἕπεσθαι, ὡς θεοῦ λόγῳ ἄνευ διαλογισμῶν καὶ ἐνδοιασμοῦ. ὥστε τῶν ἀκουομένων καὶ κατανοουμένων συγκατάθεσιν γενέσθαι ἄκριτόν τε καὶ ἀβασάνιστον. τοὺς δὲ πλεῖστον ὅσον μοχθήσαντας, ἵνα ἀποδέξωσιν

σιν οὐκ ἔστιν ἄλογον τὴν τῶν χριστιανῶν πί-
στιν, ἐπαινετέον, εἴγε τὸ συμφωνεῖν ἐκείνην
τῷ θείῳ λόγῳ παραστῆσαι ἤθελον. οὐ γὰρ τοῖς
ἀνθρωπίνοις γε λογισμοῖς συμβιβαστέον
αὐτὴν ὥσπερ τινὲς ἐπεχείρησαν, τὰ τῶν σι-
βυλλῶν καὶ χρησμῶν ἔπη ὡς μαρτυρίαν
παραθέμενοι τῆς οὐρανίου ἀληθείας, ἀγνώστου
τε καὶ ἀκαταλήπτου οὔσης ἁπάσῃ τῇ κτίσει.
ὁ γὰρ μονογενὴς υἱὸς ὁ ὢν ἐν τῷ κόλπῳ τοῦ
πατρὸς, αὐτὸς ἐξηγήσατο μόνος. οὐδ' ἐστὶν ἄρα
οἷον φάναι καὶ ἄλογον τὴν τῶν χριστιανῶν
πίστιν, ἣν νοήσωμεν οὕτω λέγοντες, ἔξω λο-
γισμῶν καὶ ὑπὲρ πᾶσαν κατάληψιν σοφί-
ας ἀνθρωπίνης ἔστιν αὐτήν. οὐ γὰρ ἐπιστήμη
οὐδὲ ξύνεσις, ἀλλὰ πίστις, ὅτι τε καὶ καλεῖ-
ται, ἡμῖν δὴ ἐν τῷ ὀρθοδοξεῖν περὶ θεοῦ καὶ
τῶν θείων πραγμάτων κατὰ τὸ ῥῆμα αὐτοῦ,
πάσης νοήσεως τιμιωτέρα ὑπάρχουσα, καὶ
τὸ ὄντως ὂν ἐμφαίνουσα, καὶ δὴ καὶ συνοικ-
οῦσα ἡμῖν μόνη ἁπασῶν δυνάμεών τε καὶ
ἐνεργειῶν. ὥστε ἐκποδὼν ποιητέον ἐνταῦ-
θα τὰ σχήματα καὶ πιθανὰ τῶν φιλοσοφι-
κῶν διαλέξεων, αἳ τὴν πίστιν ἐκφαυλίζου-
σαι, ἐν τρίτῃ τάξει ὕστερον τῆς ἐπιστήμης ἀριθ-
μοῦσι, καὶ μετὰ τῆς εἰκασίας πόῤῥω που τῆς
ἀλη-

ἀληθείας ἀπάγουσιν. αὕτη γάρ ἐστιν ἡ ἀνθρωπίνη σοφία, ἣν ἀπόλλυσιν ἡ θεία σοφία, κατὰ τὸ γεγραμμένον, ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου. οὐχὶ ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; οὐχ ἧττον δ' ὅμως καὶ γνῶσίς ἐστι τῶνδε, καὶ δὴ καὶ ἐπιστημονική. κἂν τὰς ἀρχὰς λάβωμεν τὸ ῥῆμα τοῦ θεοῦ ἐκ τῶν ἁγίων γραφῶν. δεῖ γὰρ τὸν χριστιανὸν οὐ ταχέως πιστεύειν, καὶ ἀνεξετάστως προσχωρεῖν παντὶ λόγῳ, ἀλλὰ μόνῳ τῷ λαληθέντι παρὰ τοῦ θεοῦ. τουτέστι τῷ ἐν τοῖς ἱεροῖς ἐκκειμένῳ γράμμασι. πρῶτον τοίνυν εὗ παράκειται ἐνταῦθα τὸ, ἕνα. κατὰ τὸ λόγιον, ὅτι εἷς θεὸς, καὶ πατὴρ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσι. καὶ τὸ, κύριος ὁ θεὸς ἡμῶν, εἷς ἐστί. τὸ γὰρ οὐσιῶδες τῆς φύσεως τοῦ θεοῦ ἀμερές τε καὶ ἀδιαίρετον πάντως, τὸ δὲ ὑποστατικὸν τῆς ἰδιότητος τοῖς γνωρίσμασι τῶν προσώπων διαστολὴν λαμβάνει. οὐ διαπαυομένου τοῦ συνεχοῦς τῆς θεότητος παρενθήκῃ τινι, ἢ παρεμπτώσει κενοῦ, τοῦ διὰ μέσου παρενειρομένου, ἀλλὰ μενούσης ἐκείνης οὐδὲν ἧττον

 συνημ-

συνημμένης καὶ μιᾶς κατ' αὐτήν, εἰ καὶ προσδέχεται τὸ τῆς ὑποστάσεως διάφορον καὶ σημειωτικόν, ᾧ τὰ τρία γνωρίζεται πρόσωπα. ἀμήχανον δ' οὖσιν ἐκφυγεῖν ταῦτα τοὺς τῆς ἀσεβείας χλευασμούς, τὸ ἓν τρία, καὶ τὰ τρία εἶναι ἕν, ἢ ἵνα ἀκριβέστερον λέγωμεν, τὸ ἓν ἐν τρισίν, καὶ τὰ τρία ἐν οἷς τὸ ἕν, ἢ μᾶλλον ἃ ἡ θεότης μία οὐσία, ὡς ὁ θεολόγος ταῖς λέξεσιν ἐχρήσατο. ἔστι δ' ὅμως οὐ πεπλασμένως ἢ ἐννοηματικῶς, ἀλλ' ἀληθῶς καὶ τῷ ὄντι. ὁ μὲν πατὴρ ἄναρχος παντάπασι καὶ ἀγέννητος. ὁ δ' υἱὸς ἀρχὴν ἔχων τὴν ἄναρχον καὶ ἄχρονον γέννησιν. τὸ δ' ἅγιον πνεῦμα τὴν ἀΐδιον ἐκπόρευσιν. τὰ δὲ γνωρίσματα τῶν ἰδιοτήτων προβαίνουσιν ἀπὸ τοῦ ἁγίου πνεύματος, ὡς χαρισδότου, καὶ διδασκάλου πάσης ἀληθείας. τοῦτο γὰρ πέμπει καὶ γνωρίζει μὲν ὁ υἱὸς ἐκπορευόμενον θεόθεν, αὐτὸς δὲ ὁ υἱὸς μονογενῶς ἐκλάμψας πρὸ πάντων αἰώνων ἐκ τοῦ ἀγεννήτου φωτός, ἐμφαίνει καὶ τὸν πατέρα, τὸν ἐκ μηδεμιᾶς προϋπαρχούσης αἰτίας μηδενὶ τρόπῳ ὑποστάντα, ἀλλὰ παντάπασιν ὄντα ἄναρχον. οὕτω δὴ γνωρίζεται τὸ τῶν ὑποστάσεων κεχωρισμένον, καὶ ἡ ἕνωσις αὖθις

αὖθις ἐκ τῆς διακρίσεως ὑπὲρ τὸ ἓν καὶ συνημμένον ἀνατρέχει. καὶ ἑπόμεθα ἐν τούτοις ταῖς γραφικαῖς ἀποδείξεσι μόναις, λέγοντος τοῦ μακαρίου παύλου, ὅτι διαιρέσεις χαρισμάτων εἰσὶ, τὸ δ' αὐτὸ πνεῦμα. καὶ διαιρέσεις διακονιῶν εἰσὶν, ὁ δ' αὐτὸς κύριος. καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δ' αὐτός ἐστι θεὸς, ὁ ἐνεργῶν πάντα ἐν πᾶσιν. καὶ οὐδεμίαν ἔχομεν χρείαν ἄλλων οὔτε τεκμηρίων οὔτ' ἀπεικονίσεων, ἀλλὰ μόνης συγκαταθέσεως ἀκεραίου, δι' ἧς προχωροῦντες ταῖς τῶν ἁγίων γραφῶν ἐννοίαις, καταρτίσωμεν τὴν πίστιν, περὶ τῶν ἀνεπιστήτων καὶ ἀτόπων εἶναι δοκούντων τῇ ἀνθρωπίνῃ σοφίᾳ καὶ ὀξυνοίᾳ.

Τί οὐσία καὶ τί ὑπόστασις.

Ρητέον ἴσως τι καὶ περὶ τῶν λέξεων ἔτι τῆς τε οὐσίας καὶ τῆς ὑποστάσεως. σημαίνει δὲ οὐσία, ἐν τῇ ἐκκλησιαστικῇ χρήσει, τὸ κοινὸν καὶ ἀμέριστον ἐστι ἀδιάστατον τῆς φύσεως, ἤγουν τῆς θεότητος. εἷς γάρ ἐστι μόνος ὁ θεὸς, ὁ ἐν τῇ τῶν ὑποστάσεων τριάδι θεωρούμενος. ὑπόστασις δὲ, ἣν οἱ δυτικοὶ πρόσωπον ὠνόμασαν, τὸ ἰδιάζον, τὸ καθ' αὐτὸ ὑφε-

ὑφεστὸς ἐν μιᾷ τῇ τῆς φύσεως οὐσίᾳ, καὶ διὰ
οἰκείων γνωρισμάτων δηλουμένων τε καὶ
χωριζομένων ἀφ' ἑτέρων. οἷόν ἐστι τὸ ἄναρ-
χον καὶ ἀγγέννητον τοῦ πατρός. τὸ γεννητὸν
τοῦ υἱοῦ. τὸ ἐκπορευτὸν τοῦ ἁγίου πνεύμα-
τος. τῆς ὑποστάσεως μέντοι ῥήματι, οὐκ ἐπί-
νοησιν ἢ λογισμὸν, ἀλλ' ὄντως οὖσαν, καὶ
καθ' αὐτὴν ὑφεστῶσαν ἰδιότητα δηλοῦσθαι,
μεμνησόμεθα. μὴ σφαλλομένων ἄρα ἡμῶν
ἐνταῦθα, ἐκκενωθείη ἡ σωτήριος τῆς θείας
τριάδος γνῶσις, ἀντὶ τῶν ὄντως οὐσῶν
ὑποστάσεων, πλασμάτων τινῶν ἐννοημα-
τικῶν λειπομένων. ὅτι δὲ ὁ θεὸς ἡμῶν οὗ-
τος, ἐποίησεν ἤγουν ἔκτισεν οὐρανόν τε
καὶ γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς, μωϋσῆς
διηγήσατο. καὶ τὴν ἱστορίαν ἡμεῖς αὐτοῦ ἁ-
πλῶς ἐκδεχόμεθα, καὶ ἐν τούτῳ νυνὶ μάλι-
στα οὐδὲν ἀκριβολογούμενοι τῶν ῥηθέντων
περιεξόμεθα. ἔκτισε δὲ τὰ πάντα ὁ κτίστης
θεὸς πατὴρ, διὰ τοῦ υἱοῦ τοῦ λόγου. συμπα-
ρόντος τοῦ ἁγίου πνεύματος. φησὶ γὰρ ὁ
ἰωάννης, πάντα δι' αὐτοῦ ἐγένετο. καὶ ὁ μω-
ϋσῆς, πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ
ὕδατος. ταῦτα μὲν οὖν ταύτῃ. τὰ λοιπὰ
δὲ τίς ὁ προσθήσων ἔσται; ΠΑΙΣ. ἐγώ. ΚΑ-

ΤΗΧΗΤ. εἰπὲ δή. ΠΑΙΣ. Καὶ εἰς ἰησοῦν χριστόν, υἱὸν αὐτοῦ μονογενῆ, κύριον ἡμῶν. τὸν συλληφθέντα ἐκ πνεύματος ἁγίου, τεχθέντα ἐκ μαρίας τῆς παρθένου. παθόντα ἐπὶ ποντίου πιλάτου, σταυρωθέντα, θανόντα, καὶ ταφέντα. κατελθόντα εἰς ᾅδου, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ ἐκ τῶν νεκρῶν. καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός. ὅθεν ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκρούς. ΚΑΤΗΧΗΤ. τοῦ μὲν πατρὸς θεοῦ ἀξίωμα ἐβλασφήμησαν καὶ ἄλλοι τῶν αἱρεσιαρχῶν καὶ δὴ καὶ ὁ μάνης (οὗ παρώνυμοι οἱ μανιχαῖοι) διττὰς ἀρχὰς καὶ οὐκ οἶδ᾽ ἅττινα ἄλλα πλάττων, μυθικά γε πάντα καὶ ἀσύστατα. ἅπερ διερευνῆσαι ἡμῖν ὄφελος οὐδέν, ἀλλ᾽ οὐδ᾽ ἁρμόζον ἂν εἴη τῇ παρούσῃ πραγματείᾳ. εἰς δὲ τοῦ υἱοῦ τὴν θεότητα ἐμάνη μάλιστα μὲν ὁ ἄρειος καὶ ὁ ἀσεβὴς τούτου θίασος, ἐλεληρήκεισαν δὲ καὶ οἱ πρότερον, οἷον ἀρτέμων καὶ ὁ λίβυς σαβέλλιος, καὶ ὁ ἀπὸ σαμοσάτων παῦλος. ὧν ὀρθότερον ἄν τις ποιοίη, εἰ ἀκούσας ποτὲ τῶν ἀθέων φωνῶν ἐκκλύζοι εὐθὺς τὰ ὦτα νάμασι τῆς ἀληθείας, ἤπερ σπουδάζοι καταμαθεῖν τὰς βλασφήμους καταδρομὰς τοῦ λό-

γου τοῦ θεοῦ. ἔστι τοίνυν ὁ υἱὸς τοῦ θεοῦ, εἰκὼν θεοῦ ἀοράτου, λόγος ἐνυπόστατος, καὶ μέσον τῆς θείας τριάδος πρόσωπον, τῇ οὐσίᾳ θεὸς ἀληθινὸς, καὶ τῇ ὑποστάσει μονογενὴς υἱὸς θεοῦ πατρὸς, συναΐδιος, καὶ προσαγορευθεὶς ἐν τῇ ὑπὸ τῆς νικαίας συνόδῳ, ὁμοούσιος τῷ ἀϊδίῳ πατρί. οὐ συνούσιος οὐδὲ ταυτούσιος, μήτις ἢ συναλοιφήν τινα νοήσειεν, ἢ τὴν τῆς ὑποστάσεως ἰδιότητα ἀνέλοιτο. περὶ μὲν οὖν τούτων ἅλις ὡς ἐν τῷ παρόντι. τοῦτο δ' ἀκριβῶς ὁμολογοῦντες φυλάξομεν, τὸ γεννητὸν μὲν εἶναι τὸν υἱὸν, κτιστὸν δὲ μηδαμῶς, ἵνα μήτις χρονικὴν ὕπαρξιν ἐσχηκέναι τὸν ἄχρονον καὶ ἀΐδιον ψευδῶς ὑπολάβοι. οὐ γὰρ ὅς ἐστι πρὸ πάντων, καὶ δι' οὗ ἔκτισται πάντα, καὶ χωρὶς οὗ ἐγένετο οὐδὲ ἓν, ὃ γέγονεν, ἐκεῖνος ἓν ἂν ὀρθῶς λέγοιτο τῶν κτισμάτων. οὐδ' αὖ ποιητὸν φήσομεν τὸν υἱὸν, τὸ ἀμφίβολον ἐνταῦθα ψεῦδος βδελυττόμενοι, ἀλλὰ μονογενῆ καὶ ἄχρονον καὶ ἀΐδιον ὑπόστασιν ἐκ τοῦ παντάπασιν ἀνάρχου θεοῦ πατρὸς ἔχοντα, λόγον θεοῦ, καὶ τἆλλα ἅπερ ὀλίγῳ πρότερον κατελέξαμεν. οὐ μὴν ἀλλὰ καὶ πάντοτε φυλακτέον μὴ φιλονεικοῦντας ἀμφὶ τὴν τῶν ἀκαταλήπτων

σκέ-

σκέψιν, καὶ τὴν τῶν ἀνεφίκτων ζήτησιν, λά-
θωμεν ἡμᾶς τῇ τῶν ψυχικῶν διαλέξεων βε-
βηλότητι, τῆς πνευματικῆς γνώσεως ἀποστε-
ρήσαντας, καὶ τέλος εἰς βυθὸν τῆς ἀσεβείας
κατενεχθῶμεν. οὗτος οὖν ὁ θεοῦ υἱὸς καὶ λό-
γος, ἱκέτης γεγονὼς ὑπὲρ ἀνθρωπίνου γέ-
νους, καὶ μεσίτης, τοῦ τε δικαίως ὀργιζομένου
θεοῦ καὶ τοῦ διὰ ἁμαρτίαν ἐνόχου θανάτῳ αἰω-
νίῳ ὑπάρχοντος ἀνθρώπου, κατ᾽ ἐπαγγε-
λίαν ἐπέμφθη εἰς τὸν κόσμον, πρὸς τὸ τε-
λειῶσαι τὸ τῆς ἡμετέρας σωτηρίας ἔργον. καὶ
καταργῆσαι τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου.
καὶ ὅτε ἦλθε πλήρωμα τοῦ χρόνου, ἐξαποστα-
λεὶς ὑπὸ πατρὸς ἐγεννήθη ἐκ γυναικός, γε-
νόμενος, ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον
ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβω-
μεν: ἐγεννήθη δ᾽ ἄνθρωπος ὁλόκληρος
καὶ τέλειος, νοῦν καὶ ψυχὴν καὶ σῶμα ἔχων,
ὥσπερ οἱ ἄλλοι ἄνθρωποι, πλὴν ὅτι ἀνα-
μάρτητος ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἐγένετο.
καὶ ἀποδιωκτέα παντάπασι τὰ τῶν ἀπολ-
λιναριστῶν ληρήματα, καὶ ὧν τινων οὖν ἄλ-
λων, τῶν ἤτοι γε τὸν χριστὸν ἀντὶ τοῦ νοῦ τὴν
θεότητα ποιησάντων, ἢ θέσει καὶ φαντασίᾳ
φασκόντων σῶμα εἰληφέναι τὸν θεοῦ λό-
γον,

γον, ὥστε τὴν ἔνσαρκον οἰκονομίαν τοῦ λόγου ὄν-
τι, ἀλλὰ δοκήσει ἀποτελεσθῆναι. συνέλα-
βε δ' ἐν γαστρὶ θεοῦ υἱὸν ἡ παρθένος, πιστεύσα-
σα τῷ ῥήματι θεοῦ, ἄνευ συνουσίας ἀνδρὸς,
ἐπελθόντος ἐπ' αὐτὴν πνεύματος ἁγίου,
καὶ δυνάμεως ὑψίστου ἐπισκιασάσης αὐτῇ.
ἔτεκέ τε τὸν υἱὸν αὐτῆς πρωτότοκον καὶ μο-
νογενῆ, ἁγνὴ καὶ καθαρὰ διαμείνασα ἀεί. οὗ-
τός ἐστιν ἰησοῦς ὁ χριστὸς ἤγουν σωτὴρ καὶ
βασιλεὺς ἁπάντων, ἀληθινὸς θεὸς καὶ ἄν-
θρωπος, τῆς θείας φύσεως τὴν ἀνθρωπείαν
προσλαβούσης καὶ συζευξάσης αὐτῇ, ἀφρά-
στῳ καὶ ἀδιανοήτῳ ἑνώσεως τρόπῳ. διὸ καὶ
ᾄδεται ἐν τῇ καθολικῇ ἐκκλησίᾳ τοῦτο πάνυ
εὐρύθμως, ὅτι υἱὸς θεοῦ, οὐκ ἀπώλεσε μὲν
ἐνανθρωπήσας ὅπερ ἦν, προσέλαβε δὲ ὅπερ
οὐκ ἦν. ὁ αὐτὸς τριακοντούτης που γεγονὼς
ἐδίδαξε τὴν οὐράνιον ἀλήθειαν αὐτοφώνως
ἐν τῇ γῇ, καὶ ἐκήρυξε τὸ εὐαγγέλιον τῆς βα-
σιλείας. καὶ χρόνου τελευτῆς που διαγινομέ-
νου, παραδοθεὶς ὑπὸ τῶν ἰδίων ἔπαθε δει-
νά, καὶ ἐθανατώθη σταυρωθεὶς, καὶ ἐτάφη.
ἔπαθε δὲ τῇ σαρκὶ μὲν ὁ χριστὸς, ἀπαθὴς δ'
ἔμεινε τῇ θεότητι, πάλιν ἀκαταλήπτως συ-
νούσης μὲν αὐτῷ τῆς θεότητος, οὔτε κωλυού-

σης

σης δὲ τὸ πάσχειν, οὔτε τραπείσης εἰς αὐτό. καὶ ἐκρύβη μὲν τὸ σῶμα ἄπνουν καὶ ἄψυχον ἐν τῷ μνημείῳ τὸ τριήμερον, ἡ δὲ θεότης οὐδαμῶς συνεκλείσθη ἐν τῷ τάφῳ, ἀλλὰ συγκατῆλθε τῇ ἁγίᾳ ψυχῇ εἰς τὰ καταχθόνια, ἑλοῦσα ἐκεῖθεν τὴν τῶν ψυχῶν αἰχμαλωσίαν καὶ κλάσασα κέντρον θανάτου, καὶ διαρρήξασα κλεῖθρα καὶ τοὺς μόχλους τοὺς ἀδαμαντίνους, καὶ λύσασα ὠδῖνας ᾅδου ἐν ἰδίᾳ ἐξουσίᾳ. καὶ ἀνελθοῦσα σὺν ψυχῇ μὴ ἐαθείσῃ ἐν ᾅδου, καὶ ἀναστήσασα τὴν σάρκα μὴ ἑωρακυῖαν διαφθοράν, καθάπερ συμφώνως ταῖς ἁγίαις γραφαῖς καὶ τῇ ἀποστολικῇ παραδόσει, φησὶν ἐπιφάνιος. πῶς δὲ καὶ ποίαις μηχαναῖς ἐπράχθη ταῦτα, τῇ μεγαλειότητι καὶ πανδυναμίᾳ τοῦ θεοῦ ἐπιτρέποντος, κατακολουθήσομεν κἀνταῦθα τῇ τῶν ἱερῶν γραμμάτων καὶ θείου ῥήματος ὑφηγήσει, τὴν γνώμην τῇ ἐκείνων διδασκαλίᾳ οὐ τοῖς ἰδίοις λογισμοῖς προσέχοντες. ἀνέστη δ' ὁ χριστὸς ἐγερθεὶς τριταῖος. τῇ γὰρ τῆς παρασκευῆς ἡμέρᾳ ἐτάφη, καὶ τῇ τοῦ σαββάτου ἀνεπαύθη, καὶ τῇ ἐπομένῃ ἀνεζωοποιήθη τῷ πνεύματι κατὰ τὸν ἅγιον πέτρον. καὶ ὤφθη ἄλλοις τε πολ-

λοῖς

λοῖς καὶ τοῖς ἕνδεκα. καὶ διαταξάμενος τὰ περὶ κηρύγματος ἀνελήφθη εἰς τὸν οὐρανόν, βλεπόντων τῶν μαθητῶν, καὶ κάθηται ἐκ δεξιῶν τοῦ πατρὸς. τουτέστι, κύριός ἐστι πάντων ἐν θείᾳ δυνάμει καὶ μετὰ θείου κράτους. οὐ δή γε τόπῳ τινὶ οἷον καθέδρας ἢ θρόνου περιοριζόμενος, ἀλλὰ παρὼν πανταχοῦ καὶ τῆς ἐκκλησίας προϊστάμενος, καὶ μὴ ἐῶν τοῦ τε διαβόλου καὶ τῶν τούτου ὑπουργῶν βίᾳ καὶ δόλῳ, ἀνατραπῆναι τὸ οἷον ἐν κυματώδει πελάγει κλυδωνιζόμενον σκάφος αὐτῆς. κυβερνῶν τε καὶ θεραπεύων καὶ παρηγορῶν αὐτὴν διὰ παρακλήτου πνεύματος ἁγίου. πάντα δὲ ταῦτα δι᾽ ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν οὕτως ἔχρην πραχθῆναι κατὰ τὴν βουλὴν τοῦ θεοῦ, τὴν φανερωθεῖσαν ἐν τοῖς γεγραμμένοις ὑπό τε τοῦ μωϋσέως καὶ τῶν προφητῶν, καὶ ἐν τοῖς ψαλμοῖς.

Μετὰ δὴ ταῦτα καὶ περὶ τοῦ ἁγίου πνεύματος λεκτέον τι. ἀλλὰ τὸ κεφάλαιον τοῦτο ἀπομνημονευσάτω τις, σὺν τοῖς προσκειμένοις. περὶ γὰρ τῆς ἐσχάτης κρίσεως οὐδὲν ἀσαφὲς οὐδ᾽ ἀμφίβολον ἔχει ὁ λόγος. ἀλλ᾽ εἴρηται τὸ γενησόμενον προδήλως ἐν τῷ

κατὰ

κατὰ ματθαῖον κε. καὶ ἔτι ἀκριβέστερον ἰω-
αν. ε. ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς
μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ
ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς
ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες
εἰς ἀνάστασιν κρίσεως. τούτου τοίνυν φρον-
τίδα ἔχωμεν ἀγρυπνοῦντες ἐν παντὶ και-
ρῷ κατὰ τὴν παραίνεσιν αὐτοῦ τοῦ χριστοῦ,
δεόμενοι ἵνα καταξιωθῶμεν ἐκφυγεῖν ταῦ-
τα τὰ μέλλοντα γίνεσθαι, καὶ σταθῆναι ἔμπρο-
σθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ εὑρεθῆναι πε-
ριπατήσαντας ἡμᾶς ἐν ἁγίαις ἀναστροφαῖς
καὶ εὐσεβείαις, κατὰ τὸν ἅγιον πέτρον, ἀ-
σπίλους καὶ ἀμωμήτους, ἐν ἡμέρᾳ κυρίου.
ἀμήν. ἀλλὰ προστιθέσθω ἤδη τις τὰ λοιπά.
ΠΑΙΣ. πιστεύω εἰς πνεῦμα ἅγιον. Ἁγίαν
ἐκκλησίαν καθολικήν. κοινωνίαν τῶν ἁγί-
ων. ἄφεσιν ἁμαρτιῶν. ἀνάστασιν σαρκός,
καὶ ζωὴν αἰώνιον. ΚΑΤΗΧ. περὶ πνεύμα-
τος ἁγίου πρῶτον ἁπάντων ἰστέον ὅτι ὑπο-
στατικὸν αὐτὸ κηρύττεται ἐν ἐκκλησίᾳ χριστοῦ,
αἰσθητῶς ἐπὶ τοὺς ἀποστόλους, τῇ τῆς πεν-
τηκοστῆς κατὰ τὴν προφητικὴν ἐπαγγελί-
αν ἐκκεχυμένον οὐρανόθεν, ὅτε ἐκάθισεν ἐφ'
ἕνα ἕκαστον αὐτῶν οἷον μεριζομένη γλῶσσα
πυρός,

πυρὸς, ἐνεργοῦν δ' ἀθεάτως καὶ νῦν καὶ
ἀεὶ ἐν ἐκκλησίᾳ, διδάσκον τε καὶ παρακα-
λοῦν καὶ συνηγοροῦν, ἔτι ἁγνίζον, καὶ ἁγι-
άζον, καὶ φωτίζον, ἔτι στηρίζον τοὺς πιστεύον-
τας καὶ τούτῳ ἄγεσθαι πάντας ἀνάγκη τοὺς
ὄντας τοῦ χριστοῦ. οὐδεὶς γὰρ λέγει κύριον
ἰησοῦν, εἰμὴ ἐν πνεύματι ἁγίῳ. ἐκπορευόμε-
νον δὲ ἐκ τοῦ πατρὸς τὸ ἅγιον πνεῦμα κα-
τὰ τὰ λόγια, καὶ δι' υἱοῦ ὑφεστὸς, παρέδωκαν
οἱ ἐν ὁσίοις πατέρες. φησὶ γοῦν ὁ Βασί-
λειος οὕτως. ἐπεὶ δὴ τοίνυν πνεῦμα, ἀφ'
οὗ πᾶσα ἐπὶ τὴν κτῆσιν ἡ τῶν ἀγαθῶν χο-
ρηγία πηγάζει, τοῦ μὲν υἱοῦ ἤρτηται, ᾧ ἀδια-
στάτως συγκαταλαμβάνεται, τῆς δὲ τοῦ πα-
τρὸς αἰτίας ἐξημμένον ἔχει τὸ εἶναι, ὅθεν καὶ
ἐκπορεύεται, τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν
ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει, τὸ με-
τὰ τοῦ υἱοῦ, καὶ σὺν αὐτῷ γνωρίζεσθαι, καὶ τὸ
ἐκ τοῦ πατρὸς ὑφεστάναι. μέχρι τοῦδε τὰ
Βασιλείου. ὅτι δὲ πέμπεται τὸ πνεῦμα ὑπὸ
τοῦ πατρὸς, δείκνυσι τὸ λόγιον, ἐγὼ ἐρωτή-
σω τὸν πατέρα καὶ ἄλλον παράκλητον δώσει
ὑμῖν ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ
πνεῦμα τῆς ἀληθείας. ὡσαύτως δὲ δῆλον
ὅτι καὶ ὑπὸ χριστοῦ πέμπεται φήσαντος αὐ-
τοῦ.

τοῦ. ὅταν δ' ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς τὸ πνεῦμα τῆς ἀληθείας, ὅτι παρὰ τοῦ πατρὸς ἐκπορεύεται. προσκυνοῦμεν ἄρα τὸ ἅγιον πνεῦμα, θεὸν ἀληθινὸν σὺν τῷ πατρὶ καὶ τῷ υἱῷ, αὐτοῦ τε τοῦ πατρὸς καὶ τοῦ υἱοῦ πνεῦμα ὑπάρχον, καὶ οὐδετέρου οὐδαμῶς ἀπαλλοτριούμενον, καθάπερ γέγραπται ἐν τῇ τῆς πρὸς γαλάτας τετάρτῳ, ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, κρᾶζον ἀββᾶ ὁ πατήρ. τούτων δ' οὖν ὀρθῶς καὶ ἁρμοζόντως τῇ τῶν ἁγίων γραφῶν τύπῳ ῥηθέντων, καὶ ἀνατραπεισῶν τῶν πνευματομάχων φλυαριῶν πρὸς τῶν πάλαι, ἐξανέτειλεν ὕστερον, οὐκ οἶδ' ὑπό τινος ἐγερθεῖσα πονηροῦ ἀνθρώπου ἢ δαίμονος, ἔρις καὶ λογομαχία, δεινῶς ταράξασα τὴν ἐκκλησίαν, καὶ σχίσμα ὀλέθριον ἐργασαμένη τῶν ἀνατολικῶν καὶ δυτικῶν. τὴν περὶ τῆς ἐκπορεύσεως λέγω. ὅταν ῥήματά τινα περιεστήσαντο ἑκάτεροι, ἐθήρασαν ἀλλήλους. οὐχ οὕτως ὑπὲρ τῆς ἀληθείας διαμάχεσθαι προθυμούμενοι, ὡς ἱμειρόμενοι λαβεῖν καὶ καταβαλεῖν τοὺς ἑτεροδόξους εἶναι δοκοῦντας. γίνεται δὲ τὸ αὐτὸ ἀεί που ἐν πά-

ταῖς ἐριθείαις, οὐ περισκοπουμένων τῶν διαστάντων ὠφέλειάν τινα, ἣν εἰσενέγκαιεν ἂν τῇ ἐκκλησίᾳ, οὐδ' ἀσχολουμένων περὶ τὴν ἀναγκαίαν γνῶσιν τῆς εὐσεβείας, ἀλλὰ τὸ πείθειν μᾶλλόν τινας ἀεὶ, καὶ ἕλκειν ἐφ' αὐτοὺς ἀλλοτριωθέντας τῶν ἀντιλεγόντων. οὕτω δὴ θόρυβος γίνεται καὶ διαίρεσις, καὶ λυπεῖται εἰς τὸ ἔσχατον πνεῦμα ἅγιον, ὅταν παρέντος τινὸς τὸν εἱρμὸν τῆς ὑγιοῦς διδαχῆς καὶ τὸ ἁπλοῦν τῶν ἱερῶν γραφῶν, καὶ τὸ εὐθύ τε καὶ ἀκραιφνὲς τῆς ὁμολογίας, τρέπωνται ἐπὶ λέξεις σοφιστικὰς καὶ περιέργους ζητήσεις βεβηλοῦντες τὴν ἱερὰν ἀλήθειαν, τῇ τε ψευδωνύμῳ γνώσει, καὶ κενοφώνοις ἀντιθέσεσι καὶ διαπληκτισμοῖς· ἀφ' ὧν ἡμεῖς μακροτάτω φυγόντες, τὸ ἀληθὲς μετ' εὐλαβείας πρεσβεύσωμεν, φάσκοντες καὶ ὁμολογοῦντες, ὅτι τὸ ἅγιον πνεῦμα θεὸς μὲν ὂν τῇ οὐσίᾳ, τῇ δ' ὑποστάσει πνεῦμα τοῦ θεοῦ, παράκλητος τῆς ἐκκλησίας, καὶ διδάσκαλος ἀληθείας, οὐ μόνον τοῦ πατρὸς ἀλλὰ καὶ τοῦ υἱοῦ πνεῦμα λέγεταί τε καὶ ἔστιν ὄντως, τὸ τρίτον τῆς συναϊδίου καὶ ὁμοουσίου καὶ ὁμοδόξου, μόνου τε προσκυνητοῦ καὶ πανσέπτου θείας τριάδος πρόσωπον.

πων. ᾧ γὰρ ἐν τριάδι θεωρουμένῳ, μόνῳ παντοδυνάμῳ, δικαίῳ, ἁγνῷ καὶ ἐλεήμονι θεῷ, δόξα, κράτος, νίκη, βασίλεια, εἰς αἰῶνα τῶν αἰώνων ἀμήν.

Μετὰ τὰ περὶ τριάδος κεφάλαια, δι' ὧν ἡ χριστιανικὴ πίστις πρωτοτύπως ἐκτίθεται, μνήμη ἐποιήθη ἐν τῷ συμβόλῳ καὶ περὶ τῆς ἁγίας ἐκκλησίας, προσκειμένης ἐν ἀρχῇ καὶ τῆς εἰς. οὐχ ὡς ὀφείλοντός τινος εἰς τὶ ἄλλο παρεκτὸς τῆς θείας τριάδος πιστεύειν, πεποιθότα τε καὶ προσκυνοῦντα καὶ λαμβάνοντα καὶ προσδεχόμενον σωτηρίαν, καὶ ὅσα τοιουτοτρόπως ἄλλ' ἄττα εἴποι τὶς ἄν, ἀλλὰ βουλομένων τῶν πρότερον τὸ ἀδιάστατον καὶ ἀσάλευτον τῆς ἐν πίστει γνώσεως κἀνταῦθα ἐμφαίνειν. περὶ γὰρ ταύτης νῦν ὁ λόγος μάλιστά τ' ἐστί, καὶ τοῦτο βούλεται παραστῆσαι τὸ σύμβολον, ὅτι μία τὶς ἐστὶν ἐκκλησία χριστοῦ καθολικὴ καὶ ὀρθόδοξος, καὶ ἁγία, οἶκος ὑπάρχουσα θεοῦ ζῶντος κατὰ τὸ γεγραμμένον πρὸς τιμόθεον, καὶ στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας. καὶ σῶμα χριστοῦ, οὗ ἐκεῖνος κεφαλὴ καὶ σωτὴρ, ὡς γέγραπται πρὸς ἐφεσίους: ἵνα γνόντες ὅτι ἐνταυθοῖ μόνον εἰσὶ μέλη τοῦ χριστοῦ, καὶ κοινωνία τῶν

ἁγίων, καὶ ἄφεσις ἁμαρτιῶν, φεύγωμεν ἄλλας πάσας ἐπισυστάσεις τῶν καλουμένων αἱρετικῶν. πᾶς γὰρ ὃς μὴ εὑρεθῇ ἐν τῇ ποίμνῃ ταύτῃ, ἧς ἐστὶ μόνος καὶ εἷς ποιμὴν ὁ χριστὸς, ἄλλοθι σωθῆναι οὐδέποτε δυνήσεται.

Περὶ ἀφορίσεως καὶ ἀναθεματισμοῦ. καὶ ἔτι περὶ ἀναστάσεως.

Οὔσης δὲ κοινωνίας τῶν ἁγίων, τουτέστι τῶν πιστῶν, δῆλον ὅτι ἀκοινωνησία ἐστὶ τούτων τε καὶ τῶν ἔξω, ἤγουν τῶν ἀπίστων. ἄπιστοι δέ εἰσιν οὐ μόνον οἱ μὴ δὲ τὴν ἀρχὴν πιστεύσαντες, ἢ τὴν πίστιν ἀρνησάμενοι, ἀλλὰ καὶ οἱ ἀθετήσαντες αὐτὴν, τῶν παλινδρομούντων εἰς τὸν πρότερον ἀνόσιον βίον καὶ ἐπανελθόντων ἐπὶ τὰς ἐπιθυμίας τῆς σαρκὸς, ποιούντων ἐξαῦθις τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν, καὶ ἐκπεσόντων τῆς υἱοθεσίας, ὥστε ἐκ δευτέρου γενέσθαι αὐτοὺς τέκνα ὀργῆς, ἐπιστρέψαντας ἐκ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς, ὧν τὰ ἔσχατα χείρονα τῶν πρώτων, κατὰ τὸν ἅγιον πέτρον. ἀναθεματισμὸς τοίνυν ἐστὶν ἐν ἐκκλησίᾳ κατὰ τῶν ἀσεβούντων, καὶ ἀφόρισις τῶν πλημμελούντων ἐξανάγκης, ἵνα διαμένῃ καθαρὰ καὶ

ἀθώα ἡ τῶν ἁγίων κοινωνία. οὐ μὴν ἀλλὰ καὶ ἐπιστροφὴ λείπεται καίτοι φρικτῆς καὶ ἐπικινδύνου ὑπαρχούσης τῆς ἀποχωρήσεως, λέπεται δὲ τοῖς μετανοοῦσιν, ὥστε ἀεὶ τὸ τῆς ἀφέσεως δόγμα καὶ κήρυγμα, σώζεσθαι ἐν τῇ ἐκκλησίᾳ, καὶ μήποτ' ἐκκλείεσθαι τοὺς ἐπὶ τὸ ἔλεος τοῦ θεοῦ καταφυγόντας. περὶ δὲ καιρὸς ἤδη μακρότερον διαλέγεσθαι ἡμᾶς, ἐπισημηναμένους πρότερον τὸ περὶ τῆς ἀναστάσεως κεφάλαιον, ὅτι οὐκ ἀργῶς πρόσκειται τὸ, σαρκὸς, ὄνομα. χρὴ γὰρ εἰδέναι διὰ πίστεως ὅτι ἀναστήσεται ἡ σὰρξ, ἤγουν ἄνθρωπος ὁλόκληρος, φυσικὸς, μετὰ ψυχῆς καὶ σώματος. φανερωθῆναι γὰρ δεῖ, κατὰ τὰ ἐν τῇ δευτέρᾳ πρὸς κορινθίους ἐπιστολῇ, πάντας ἔμπροσθεν τοῦ βήματος χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ὃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν. ἐν δὲ τῷ μεταξὺ χρόνῳ διαμένει ἡ ψυχὴ τοῦ θεοῦ βουλήσει, ἤτοι ἐν τῇ τῆς πίστεως μακαρίᾳ ἀναπαύλῃ, ἢ ἐν φυλακῇ φοβερᾷ τῆς γεέννης, κατὰ τὴν εὐαγγελικὴν παραβολὴν περὶ τοῦ λαζάρου, καὶ κατὰ τὸ ῥῆμα ὃ εἶπεν ὁ χριστὸς τῷ λῃστῇ, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. περὶ δ' οὖν τούτων, ὡς οὐδέπω φα-

 νερω-

νεκρωθέντων, πρότερον μὲν οὐδ' ἐν ἐκζητῆσαι χρὴ ἡμᾶς, τὴν ἐλπίδα δὲ διώκειν καὶ κατέχειν τῆς πρὸς ζωὴν τῶν δικαίων ἀναστάσεως, ἣ δῆλον ὅτι τῆς τοῦ χριστοῦ ἐξήρτηται. ὅπερ καὶ συνελογίσατο ὁ παῦλος ἐν τῇ προτέρᾳ πρὸς κορινθίους γραφείσῃ ἐπιστολῇ. καὶ φησιν ἐν τῇ δευτέρᾳ, ὅτι ὁ ἐγείρας τὸν κύριον ἰησοῦν καὶ ἡμᾶς διὰ ἰησοῦ ἐγερεῖ. καὶ μετὰ δὴ ταῦτα τέλος ἔσται καταργηθέντος τοῦ ἐσχάτου τῶν ἐχθρῶν χριστοῦ, θανάτου. λοιπὴ τοίνυν ἑξῆς ἡ ἀθανασία, ἤγουν ζωὴ αἰώνιος, τῶν μὲν πιστῶν μακαρία καὶ εὐδαίμων καὶ ἡδίστη, τῶν δ' ἀπίστων ἀθλία καὶ ὀδυνηρὰ, καὶ πικροτάτη. καὶ ἔσται ἡ κρίσις τό τε τελευταία, μεθ' ἣν πᾶσα πᾶσιν ἐλπὶς ἀποκοπήσεται. τῶν μὲν σωζομένων ἀπολαυόντων ἤδη τῶν ἐπ' ἐλπίδι προσδοκηθέντων, τῶν δ' ἀπολλυμένων οὐχ ἥκιστα τῇ ἀπογνοίᾳ κολαζομένων. τοιγάρτοι κομίσεται ἕκαστός τις ἐνθένδε τὰ ἐλπιζόμενα, ὡς ἐκεῖ τοῦ τέλους ἐσομένου, καὶ τῆς ἀνταποδόσεως περαιωθησομένης ἐπ' ἀμφότερα. νῦν τοίνυν ὧδε τὰ περὶ κοινωνίας εἰρημένα, μικρὸν ἀναδραμόντες, διεξερχώμεθα καὶ ἄλλ' ἄττα πρὸς ταύτην ἀνήκοντα, οὕτως

μέντοι

μέντοι ὡς ἅψασθαι τούτων ἀκροθιγῶς πως, οἷον πρέπει γίνεσθαι ἐν κατηχήσει. ἡ μὲν οὖν κοινωνία τῶν ἁγίων καὶ τὴν ἀπαλλοτρίωσιν τῶν μὴ τοιούτων συγκαθίστησι. δεῖ δὲ τὴν κοινωνίαν νοῆσαι πάντων τῶν πνευματικῶν μάλιστα, καὶ δὴ καὶ τὴν ἐν ἐκκλησίᾳ κοινὴν πολιτείαν, καὶ οἷον τῆς χριστιανικῆς φρατρίας μετουσίαν, ἧς ἐκδιώκονται εἰκότως οἱ τὸν τοῦ χριστιανισμοῦ κανόνα μὴ φυλάττοντες. καὶ αὐτή ἐστιν ἡ τῶν κλειδῶν ἐξουσία, δῶρον οἰκεῖον τῆς καθολικῆς ἐκκλησίας, δεδομένον ὑπὸ χριστοῦ τοῖς ἀποστόλοις, διὰ ἐνεργείας πνεύματος ἁγίου, πρὸς διάκρισιν τῶν εὐσεβούντων καὶ μή. ὥστε ἐστὶ ταύτην τὴν ἐκκλησιαστικὴν ἐκδίκησιν, ἤτοι ψῆφον οὐκ ἀνθρωπίνην ἀλλὰ θείαν, φερομένην κατὰ τῶν ἀτακτούντων, καὶ ταρασσόντων τὴν ἐκκλησίαν. (οὓς δεῖ βαστάζειν τὸ κρίμα, οἵτινες ἂν ὦσι) καὶ τῶν ὅπως οὖν παραβαινόντων τοὺς τῆς εὐσεβείας ὅρους.

Πῶς νοητέον, τὴν τῶν ἁγίων κοινωνίαν, καὶ περὶ χριστιανικῆς πολιτείας. ἤτοι προσλήψεως τῶν μετανοούντων.

Οὐδαμῶς δὲ ἐπεισφερητέον ἐνταῦθα δό-

γμα τι περὶ ἀσχημοσύνης, ἢ ἀμελείας τῶν αὐτοῦ, οἷον εἰ κατὰ ζῆλον τῆς ἀποστολικῆς πολιτείας, τῆς ἐν ταῖς πράξεσι δηλουμένης. καίπερ ἀληθοῦς ὄντος τοῦ δεῖν ὥσπερ βαστάζειν ἀλλήλων τὰ φορτία τοὺς χριστιανοὺς, οὕτω καὶ μεταδιδόναι τῶν ἀγαθῶν. ὥστε εἶναι τὸ ἐν πράξεσιν ἐκκειμένου πολιτεύματος ἰδιοτρόπου ὑπάρχοντος, καὶ οὐχ οἷου πρὸς πάντων καὶ ἑκάστοτε ἐξ ἀνάγκης ἐπιτηδευθῆναι, ὅμως ἐν ἐκκλησίᾳ καὶ νῦν καὶ ἀεὶ, τὸν τῆς εὐσεβείας κανόνα ἀπαιτεῖν, τὸ τῶν πιστευσάντων εἶναι καρδίαν καὶ ψυχὴν μίαν. καὶ τὸ μηδένα λέγειν ἢ νομίζειν τῶν ὑπαρχόντων τι, ἴδιον εἶναι αὐτοῦ, ἀλλ' οἷον κοινὴν παρέχεσθαι χρῆσιν τῇ τῶν ἀδελφῶν ἐνδείᾳ. ὃς γὰρ ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ' αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ θεοῦ μένει ἐπ' αὐτῷ; φησὶν ὁ ἰωάννης. καὶ ὁ αὐτὸς, ὅτι πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστί. περὶ τῆσδε τῆς κοινωνίας τῶν πιστευόντων γράψας ὁ παῦλος, τοὺς κορινθίους δοξάζειν φησὶ τὸν θεὸν, ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας αὐτῶν εἰς τὸ εὐαγγέλι-

ον

ον τοῦ χριστοῦ, καὶ ἁπλότητα κοινωνίας εἰς πάντας. οὕτω μέντοι λέγομεν ταῦτα, ὡς μὴ ἐπιλαθέσθαι τοῦ ὑπὸ τοῦ αὐτοῦ ἀποστόλου διορθωτικῶς γεγραμμένου τοῖς αὐτοῖς κορινθίοις, οὐ γὰρ ἵν' ἄλλοις ἄνεσις ὑμῖν δὲ θλίψις. ὅπου καὶ τὸ πρᾶγμα τρανώτατα διωρίσατο ὁ ἀπόστολος, διὰ ῥητῶν τούτων μάλιστα, εἰ γὰρ ἡ προθυμία πρόκειται, καθὸ ἐὰν ἔχῃ τις εὐπρόσδεκτος, οὐ καθὼς οὐκ ἔχει. ἔχειν ἄρα τινας, ἤγουν εὐπορεῖν τοῦ καθημέραν ἢ καὶ πλουτεῖν, καὶ οὐκ ἔχειν τινάς, τουτέστιν ἀπορεῖν καὶ πένητας εἶναι σαφῶς παρίστησι. καὶ ἐκ τῆς ἀνισότητος ταύτης ἰσότητα κατασκευάζειν πειρᾶται διὰ τὸν τῆς μεταδόσεως τῆς κοινωνίας ἐναρμόνιον λόγον. ἔστω γὰρ α. ὁ ἔχων οὐσίαν ἐξ μυριάδων β. δὲ ὁ τεττάρων, γ. δὲ ὁ τριῶν. καὶ τὰς διαφορὰς ὁμαλῶς ἀνέλωμεν ἔσται ἰσότης. ἀφαιρείσθω γὰρ τῶν ἐξ, τὰ δύο, ἴσον ἔσται ἤδη τὸ α. τῷ β. καὶ τῶν τεσσάρων τὸ ἕν, ἴσον ἔσται τὸ β. τῷ γ. τὰ δ' ἀφαιρεθέντα ἦσαν ὁμοῦ τρία, αὐτὰ τοίνυν προστεθέσθω τῷ ἐφ' ᾧ δ. τουτέστι τῷ μὴ ἔχοντι καὶ ἐξισωθήσεται ἤδη καὶ τῷ γ. τὸ δ. ἀλλὰ ταῦτα πεπαίχθω δὴ ἕως ὧδε ἡμῖν, παιδιὰ

γ' ὄντα οὔτε βέβηλος οὔτε ἀπάδουσα τῆς τῶν θεοσεβῶν σχολαστικῆς διατριβῆς. ὥσπερ δὲ ἕκαστος ἔχει χάρισμα πνευματικὸν οἰκεῖον, ἑκάστῳ γὰρ δίδοται ἡ φανέρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον, καὶ ἔστι δ' ὅμως ἡ χρῆσις κοινὴ πάντων, οὕτω καὶ εὐλογία τῶν ἐκτὸς, παραγίνεται μὲν κατὰ τὸ θέλημα θεοῦ, ἑκάστῳ ἰδίως, ὑπηρετεῖν δὲ καὶ χρήσιμος εἶναι ὀφείλει κοινῇ ἅπασιν. καὶ τὸν δὴ τῶν χριστιανῶν βίον οὐχ ἥκιστα διὰ τοῦτον τῆς καταστάσεως τρόπον, ἴσμεν δοκεῖν τι καὶ εἶναι οὐδαμῶς δημώδη ἢ συμμιγῆ τοῖς ἄλλοις, ἀλλὰ καθ' αὑτὸν ἰδίως διάγεσθαι ἐν ἁπλότητι τῆς ἀγάπης καὶ φιλόφρονος δικαιοσύνης. ὥστε ἐν τῷδε κόσμῳ εἶναι ἤδη φῦλον ἴδιον καὶ ἔθνος ἐξαίρετον, ἢ μὴ οἷον ἐν τῇ παρούσῃ ζωῇ ἐντρυφᾷν, ἀλλὰ μόνον ἐνθάδε παρεπιδημεῖν, ξενιτεῦον καὶ ἀσταθοῦν, καὶ οἷον ἐν χώρᾳ ἀλλοτρίᾳ τοσοῦτον κατοικοῦν χρόνον, ὅσον συγχωρήσειεν ἂν ὁ ἐκμισθώσας. ὁμόφυλον δὲ τοῦτ' ἔστιν ἑαυτῷ, καὶ τοῖς ἑτέροις ἀλλόφυλον. οὐδένα μὲν ἀνθρώπων διὰ τὸ συγγενὲς, ἀποστρεφόμενον, μᾶλλον δ' ἁπάντων κηδόμενον, καὶ φροντίζον τοῦ εὖ ποιεῖν ὅτι πλείστους, καὶ ἑκόντως βλάπτειν

οὐδένα,

οὐδένα, τὴν δὲ τῶν ἁμαρτιῶν καὶ τῆς ἀπίστου δυσσεβείας καὶ ἀνομίας κοινωνίαν φεύγοντας, καὶ μηδαμῶς ἐγχρονίζοντα τῇ ἀδίκῳ διατριβῇ τοῦ αἰῶνος τούτου. οὐδ᾽ ἐμπλεκόμενον τῇ ματαίᾳ ἀναστροφῇ τῶν ζηλωτῶν τὰ αὐτῶν οὐ τὰ τοῦ χριστοῦ. καὶ διὰ τοῦτο δὴ, καὶ τὸν σύλλογον τοῦτον τὸν αὐτοῦ, κυρίως ὁ χριστὸς ὠνόμασεν ἐκκλησίαν. διὰ τὸ εἶναι λαὸν ἐκκλητον τοῦτον καὶ ἀφωρισμένον ἀπὸ τῶν ἄλλων ἁπάντων, πάροικον μὲν ἐνταυθοῖ, οὐκ ὄντα δὲ κοσμικὸν, ἀλλὰ συναγειρόμενον ἐν βασιλείᾳ τοῦ θεοῦ πρὸς κληρονομίαν καὶ αἰώνιον ἐνοίκησιν μονῶν οὐρανίων. καὶ ταῦτα μὲν ὧδε ὀρθῶς λέγεταί τε καὶ νοεῖται. δεῖ γὰρ τὸν τοῦ χριστοῦ πολίτην μηδαμῶς περιπατεῖν ὥσπερ οἱ ἄθεοι ἐν τῷ κόσμῳ, ἀλλ᾽ ὅτι τάχιστα σωτήριον δρασμὸν ἀπὸ τῆς ἀνοσίου συμβιώσεως δραπετεύσαντα, ἐπὶ τὴν ἱερὰν τοῦ χριστοῦ ἐκκλησίαν καταφεύγειν, καὶ ἐν ἐκείνῃ πᾶσαν ἀσκεῖν ἐνάρετον εὐσέβειαν, λατρεύοντα τῷ θεῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ πάσαις ἡμέραις τῆς ζωῆς αὐτοῦ. οὐκ ἀγχόμενον μερίμναις βιωτικαῖς, καὶ ὡς παράγοντος τοῦ κόσμου, χρώμενον τούτῳ, μὴ καταχρώμενον, κατὰ τὸν ἅγιον παῦλον.

λων. ἐν γὰρ τῷ κόσμῳ μὲν εἰσὶν οἱ χριστια-
νοὶ, οὐκ εἰσὶ δὲ ἐκ τοῦ κόσμου. ἅπερ τινὲς οὐ
μόνον τῶν πολλῶν ἀλλὰ καὶ τῶν πρωτευόν-
των ἀξυνετώτερόν πως ἐκλεξάμενοι, ἠσό-
χησαν τε τῆς ἀληθείας, καὶ οὐκ ὀρθοποδοῦν-
τες ἐπλανήθησαν, αὐθαιρέτους φυγὰς διώ-
κοντες τῆς οὐκ ἤδη κοσμικῆς, ἀλλ' ἀνθρωπί-
νης καὶ ὁμογενοῦς συγχρήσεως, καὶ τῆς φύ-
σεως οὐ διόρθωσιν ἀλλ' ἀχρείωσιν πραγμα-
τευόμενοι. καὶ συνιστάντες καινάς τινας
νομοθετήσεις, καὶ κοινόβιον ἐρημίαν, καὶ ἐθε-
λοθρησκείας αὐτοπλάστους, καὶ διατριβὰς
συχνάς τε καὶ ἀπανθρώπους, ἐν ὑποκρίσει
ὁσιότητος καὶ θεοσεβείας, καὶ θέμενοι τὴν
τῆς θείας χάριτος καὶ εὐδοκίας ἐλπίδα, οὐκ
ἐπὶ τὴν ὑπακοὴν τοῦ χριστοῦ τὴν ἐν πίστει,
ἀλλ' ἐπὶ τὰς ἑαυτῶν ἐνθυμήσεις καὶ μετα-
χειρίσεις, κατὰ τὰς ἐντολὰς τῶν ἀνθρώπων
ἀποστρεφομένων τὴν ἀλήθειαν. ἀλλὰ περὶ
τούτων εἴρηται καὶ πρότερόν τι. οὐδαμῶς δὴ
ἡμῶν τῇ τῶν κοσμικῶν διαγωγῇ τὴν χρι-
στιανικὴν δίαιταν ὁμοίαν εἶναι οἰομένων.
πῶς γάρ; ἣν ἐμάθομεν ἀποφυγὴν εἶναι μά-
λιστα τῶν τοῦ κόσμου μιασμάτων, ὡς φησὶν
ὁ πέτρος, ἐν ἐπιγνώσει τοῦ κυρίου καὶ σω-

τῆρος ἰησοῦ χριστοῦ, καὶ ἰδιότροπον ἐν τῷ κόσμῳ πολιτείαν, οὐ κατὰ τὴν τῆς φυσικῆς καὶ νομίμου συνηθείας, ἀλλὰ τῆς ἀσεβοῦς πλάνης καὶ φρενοβλαβείας ἀναχώρησιν, καθ' ἣν ἐν ἡδυπαθείαις καὶ ῥαθυμίᾳ ὁ κόσμος ἀνετῶς καὶ εὐκόλως διατελεῖ βιοτεύων, ῥασωνευόμενός τε καὶ περπερευόμενος ἐν ἐπάρσει ματαιόφρονι ἐπὶ τοῖς παροῦσι, καὶ ἀμελείᾳ τυφλῇ τῶν ἐπερχομένων. δεῖ τοίνυν τοὺς τῆς ἀληθείας ἐπιθυμητὰς στοχάζεσθαι τοῦ μέσου ὥστε ὀρθοτομεῖν τὸν θεῖον λόγον, καὶ μήτ' ἐπὶ τὰ δεξιὰ καινῆς τινος καὶ ἀσυγκλώστου πολιτείας, προφάσει τελειώσεως εὐαγγελικῆς ἀποχωρεῖν, μήτ' ἐπὶ τὰ ἀριστερὰ τῆς σαρκίνης ἐλευθερίας καὶ ἀχαλινώτου διαγωγῆς ἐκφέρεσθαι, ἤτοι ἤ πολλῶν πρὸς τὴν θανατηφόρον ἀποπλανηθῆναι εὐρυχωρείαν, καὶ διὰ δογμάτων ψευδῶν περιέναι ἐπ' αἰσχρὰς καὶ θορυβώδεις τόλμας τῆς ἀφηνιάσεως καὶ ἀθετήσεως τῶν προεστώτων ἐν τῷ κόσμῳ, καὶ οἷον ὄναρ πλάττειν νεωτεροποιοῦντας διοικήσεις καὶ κυβερνήσεις ἐκείτους, ἐν αἷς εὐσεβῶς πάντα καὶ καλῶς γενήσεται ἐπὶ τῆς γῆς, ἐκποδὼν δὴ γενομένων πρότερον τῶν ἀσεβούντων

των καὶ τυραννικῶς χρωμένων ταῖς ἐξου-
σίαις κατὰ τῶν ὑπολαβῶν. ὅπερ ἐστὶ φανε-
ρῶς ζῆλός τις ἰουδαϊκῆς ἀνοίας, ὃν φυλακ-
τέον πάσῃ προνοίᾳ. μὴ παραδεχώμεθα καὶ
ὑποδοκιμεῖν ἐάσωμεν ἐν ἐκκλησίᾳ χριστοῦ. οὐ
γάρ ἐστι κοσμικὸν κράτος ὁ χριστιανισμός,
διὰ τὸ οὐκ ἔχειν ὧδε μένουσαν πόλιν τοὺς χρι-
στιανοὺς ἀλλὰ τὴν μέλλουσαν ἐπιζητεῖν, οὐδ᾽
ἔχει βασιλείαν που ἐν τῇ γῇ, ἀλλ᾽ οἶκός τε
πνευματικός ἐστι τούτου καὶ ἱεράτευμα ἅ-
γιον, ὥς ὁ πέτρος φησὶ, καὶ γένος αὐτὸ
ἐκλεκτὸν, βασίλειον ἱεράτευμα ἔθνος ἅ-
γιον, λαὸς εἰς περιποίησιν, ὅπως τὰς ἀρε-
τὰς ἐξαγγείλῃ τοῦ ἐκ σκότους ἡμᾶς καλέ-
σαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς. οὐκοῦν
ἀνάγκη τοὺς χριστιανοὺς ἀποθεμένους ὄγκον
πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν,
ἀμώμως καὶ ἀνεγκλήτως καὶ ὁσίως διάζῆν
μεταξύ τε ἀλλήλων ἐν ἀγάπῃ, καὶ πρὸς τοὺς
ἔξω ἀπροσκόπους, οὐδὲν πράττοντας οὐδὲ
διανοουμένους γε τῶν εἰωθότων ἐπιτηδεύεσθαι
ἐν τῷ κόσμῳ ὑπὸ πάντων ὅσοι ἀλλότριοι
εἰσὶ τῆς θεογνωσίας, ἐνδιδόντων καὶ πειθο-
μένων ἤτοι τοῖς κρυφίοις τῆς ἀσεβείας λο-
γισμοῖς ἐν ὑποκείσθαι ψευδολόγων, ἢ καὶ

ἄλλο-

ἐξοκειλάντων ἐπὶ προδήλους ἐν τῷ ἅπασιν ὡμολογημένας αἰσχρότητας τῆς κακίας, ἃς πάντων που τοιαύτας εἶναι κρινάντων κατὰ τὸν ὀρθὸν λόγον, καὶ μυσαττομένων, ὅμως ἐξενίκησεν ἐνίοτε τὸ ἔθος ὥστε διὰ τὸ κοινῇ ἐπιτηδεύεσθαι, μηκέτι ὑποπίπτειν ταῖς νομίμαις τῶν ἐκδικήσεων, καὶ τῆς ἀτιμίας δόξαν ἐκφεύγειν. οἷον παρὰ τισὶν αἱ πορνεῖαι, παρ᾽ ἄλλοις δὲ ἡ γαστριμαργία καὶ μέθη. παρ᾽ ἐνίοις δὲ αἱ λῃστεῖαι καὶ ἁρπαγαὶ τῶν ἀλλοτρίων. τοιαύτη ἡ τῶν λακεδαιμονίων κρυπτεία καὶ αἱ κλοπαὶ ἦσαν, καὶ τὸ τὰς τῶν λυδῶν θυγατέρας διὰ τοῦ πορνεύεσθαι συνάγειν σφίσι τὰς φερνάς. καὶ αἱ μαστρωπεῖαι παρὰ πᾶσι σχεδόν. ὁ δὲ ἅγιος παῦλος διαῤῥήδην ἀπόφησιν, οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες, βασιλείαν θεοῦ κληρονομήσουσι. ἐν τοῖς γαλάταις οὕτω γράφει, φανερὰ δ᾽ ἐστὶ τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι, μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρις ζῆλοι, θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι,

μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν, καθ' ὡς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράττοντες, βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν. ἔτι κορινθίοις γράφων ἀπαγορεύει μὴ δὲ συνεσθίειν τῷ ὀνομαζομένῳ ἀδελφῷ ὅς ἢ πόρνος ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ. μηδεὶς ἄρα πλανάτω ἑαυτόν. πᾶσα ἀδικία ἁμαρτία, καὶ ἁμαρτία ἀνομία ἐστὶ, κατὰ τὸν ἅγιον ἰωάννην. ἔτι ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ μὴ ἁμαρτάνει. φοβερὸν μὲν οὖν καὶ πάνδεινον τὸ ἀποκηρυχθῆναι ὑπὸ θεοῦ, ὃ γίνεται διὰ τὴν ἁμαρτίαν, οὐ γὰρ ἂν θεοῦ υἱὸς γένοιτο, ὁ ἐκ διαβόλου ὤν, ὁ δὲ ποιῶν τὴν ἁμαρτίαν ἐκ διαβόλου ἐστὶ, λείπεται δ' ὅμως οἷον ἀπὸ ναυαγίου ἴκριον ἡ τῆς μετανοίας σανὶς, ἧσπερ τις ἐπιλαβόμενος σώζεσθαι ἐκ δευτέρου δυνήσεται ἐκ τοῦ τῆς ἀπωλείας πελάγους. διαστολὴν δὲ ποιήσασθαι χρὴ, μεταξὺ τῆς ἀφέσεως, τῶν ἁμαρτιῶν γενικῆς ἐν τῇ ἐκκλησίᾳ, καὶ τῆς προσλήψεως τῶν πεπλημμεληκότων, καίπερ ἀμφοτέρωθι τῆς ἀπολύσεως ἀναγκαίας οὔσης. ἡ μὲν οὖν γενικὴ ἐκείνη πάντως πρέπεται τῷ τοῦ εὐαγγελίου κηρύγματι, καὶ ἐξ αὐτοῦ ἔχει τὸ κῦρος,

ρος, ὥστε τοὺς αἰσθανομένους τοῦ τῶν ἁμαρτιῶν βάρους, καὶ ἤτοι ἄρτι ἢ καὶ πάλαι ἐπταικότας, διὰ καταφυγεῖν πρὸς τὸν τοῦ χαριτος λόγον, τυγχάνειν τοῦ ἀφέσεως, διὰ τοῦ ῥήματος θεοῦ προσφερομένης ἀεὶ, καὶ συνοικειουμένης τῇ πίστει γνὸς ἑκάστου. ἡ δὲ τοῦ προσλήψεως, δῆλον ὅτι τῇ ἀφορίσει ἀκολουθοῦσα, καὶ κρίσεως δὴ μετέχει, καὶ πρὸς ταύτην ἐτάχθησαν κανόνες τινὲς τῶν πρεσβυτέρων διάφοροι διαφόροις χρόνοις τε καὶ τόποις. ὧν περὶ ἡ κατάστασις ἐπειδὴ πρὸς τὴν εὐσχημοσύνην ἀνήκει, μέρος ἂν εἴη τοῦ διοικήσεως τῶν ἐν τῇ ἐκκλησίᾳ, περὶ οὗ εἴρηται καὶ ἀνωτέρω. εἴπου δὲ ἄλλοθι κἀνταῦθα δὴ μάλιστα μεμνῆσθαι ὀφείλουσιν οἱ ἡγούμενοι τῆς ἐκκλησίας καὶ κανονίζαντές τι ἐν αὐτῇ, ὅτι ἥδε ἡ ἐξουσία ἐδόθη ὑπὸ κυρίου εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν, καὶ οὐχ ὥστε κατατυραννῆσαι τινας τῆς ἐκκλησίας, ἢ καπηλεῦσαι τὸν λόγον θεοῦ, ἀλλ' ἵνα ἡ σὰρξ κατὰ τὸν ἅγιον παῦλον ὀλοθρευθῇ καὶ τὸ πνεῦμα σωθῇ ἐν ἡμέρᾳ τοῦ κυρίου, καὶ αἰχμαλωτισθῇ πᾶν νόημα εἰς ὑπακοὴν χριστοῦ. ὅτι δὲ προσλαβεῖν δεῖ πάλιν τοὺς παραπεπτωκότας τῶν ἀδελφῶν καὶ ὑποδυθηκύους δίοις δὴ

ποτ' οὖν ἐγκλήμασι τῶν πλημμελειῶν γε-
νομένης, ἣν ἐπιστρέψαντος τὴν ἐξομολόγη-
σιν ἐπιτελέσειαν μετανοοῦντος, ἔχομεν τὴν
ἀποστολικὴν διάταξιν, ἐν τύπῳ τοῦ ἐκπε-
πτωκότος διὰ πορνείαν τῆς ἐν κορίνθῳ ἐκ-
κλησίας, εἰς ὃν βούλεται τοὺς κορινθίους κυρῶ-
σαι τὴν ἀγάπην, μήποτε τῇ περισσοτέρᾳ
λύπῃ καταποθῇ, φησὶν, ἐκεῖνος. καὶ ἦν ἄρα
ἡ τῶν κλειδῶν δύναμις ἀνάπηρος καὶ ἐξ
ἡμισείας ἀχρεῖος, τῆς ἀκοινωνησίας ἀμετα-
στάτου ὑπαρχούσης, ὡσεὶ τῶν ἐξησθενηκότων
ἢ καὶ ὅπως οὖν ἀποβεβληκότων τὴν τῆς ἁ-
γίας πίστεως χάριν καὶ ἐλπίδα. διόπερ
οὐδαμῶς προσεκτέον τοῖς περὶ ναύατον δο-
ξομανοῦσί τε καὶ φυσιουμένοις ἐν τοῖς ἰδίοις
λογισμοῖς, καὶ αἱρέσεως ἀρχηγοῖς γεγονό-
σιν ἀτεράμονος καὶ μισαδέλφου, καὶ διὰ
τὸ μῖσος τοῦ χρηστεύεσθαι, ἀντιχρίστου οὐκ ἀπει-
κότως προσρηθησομένης. φησὶ γὰρ ὁ χρι-
στὸς, μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι. καὶ ὁ
παῦλος κηρύσσει τὴν χρηστότητα τοῦ θεοῦ
ἐφ' ἡμᾶς ἐν χριστῷ ἰησοῦ. πᾶσαν μὲν οὖν αἵ-
ρεσιν, ὥς φησιν ἐπιφάνιος, κακοβουλία τῶν
γινομένων ἀπ' ἀρχῆς ἄχρι τέλους, ἢ κενο-
δοξίας ἢ ἐπάρσεως ταῦτα εἰργάσατο, ἢ ἐπι-
θυμίας

θυμίας ὄρεξις ἢ ζῆλος πρὸς τοὺς πέλας, ἢ παροξυσμὸς ἢ προπέτεια. τὸ δὲ πᾶν ἐκ διαβόλου ἡ τύφλωσις. ἐμοὶ δὲ ἡ μὲν τοῦ διαβόλου μηχανὴ ἐνταῦθα φανερὰ, τὸ δὲ τῆς ἀνθρωπίνης πονηρίας πολυπλοκώτερον εἶναι δοκεῖ. οὐ γὰρ ὅτι καὶ ἡ φαινομένη μὲν εὐσέβεια τῷ δ' ὄντι δεισιδαιμονία τὶς οὖσα, κατεχομένης τῆς γνώμης ἐν ψεύδει, αἱρετικῶν δόγμασι προσνείμασα ἑαυτὴν, καὶ τὴν ἐναντίαν ἔθηκε τῇ ἀληθείᾳ. πολλάκι δὲ καὶ ἄγνοια τῆς ἀληθείας ἐν συγχύσει τῶν διδασκομένων πλανᾷ τὰς φρένας, ὥστε ἐξοκεῖλαι μὲν ἐνίοτε εἰς ἐσχάτας φλυαρίας, οὐκ ὀλιγάκις δὲ καὶ ὑπὲρ βεβηλότητα δεινοτάτην ἐξενεχθῆναι. ἐφέξει τοίνυν πᾶς τις ὁ εὐσεβῶς ζῆν προῃρημένος, ἐν τῷ δογματίζειν περὶ τὰ κείμενα. καὶ εὐλαβηθήσεται μή πως διδάσκαλος ἄλλων παρ' ἀνθρώποις εἶναι βουληθεὶς, αὐτὸς ἐν ἑαυτῷ ἀμαθὴς εὑρεθῇ παρὰ θεῷ. αὕτη μὲν δὴ τῶν στρυφνοτέρων καὶ ἀπηνεστέρων οὐσῶν αἱρέσεων. τὰ δὲ ἐν τῇ πρὸς ἑβραίους ἐπιστολῇ μετὰ προσηκούσης ἐπισκέψεως προσδεκτέον, οὐχ ὡς τὴν μετάνοιαν ἄχρηστον ποιοῦντα, ἀλλ' ὡς τὴν ἐπ' ἀναβαπτισμοῖς καὶ φωτισμοῖς καινοῖς, ἐλπί-

δια ἀναιροῦντα, ἐπειδὴ γὰρ ὁ χριστὸς ἀποφαίνεται μεγίστην ὅσην εἶναι χαρὰν ἐν οὐρανῷ ἐπὶ ἁμαρτωλοῖς μετανοοῦσιν, οὐκ ἄρ᾽ οἱ μετανοοῦντες ἀλλότριοι νομισθεῖεν ἂν τῆς οὐρανίου βασιλείας. οὔκουν ὀρθῶς ἐποίησαν, οὔθ᾽ οἱ πάμπαν τοὺς ἐπταικότας ἀπελάσαντες τῆς ἐκκλησιαστικῆς κοινωνίας, οὔθ᾽ οἱ μιᾷ μόνῃ παραπλώσει συγγνώμην νέμειν δεῖν ψηφισάμενοι, οὔθ᾽ οἱ ἐπὶ χρόνου διάστημα ἀναβαλλόμενοι τὸ προσίεσθαι τοὺς μετανοήσαντας, ὥσπερ οἱ περὶ μελήτιόν ποτε. ἀνεῴχθω γὰρ εὐθὺς ἡ θύρα παντὶ τῷ ἱκετεύσαντι, καὶ μὴ ἀποδιωχθήτω τοῦ ἐλέους παρ᾽ ἀνθρώποις καὶ ἐν τῇ γῇ, ὁ εὑρὼν παρὰ τῷ θεῷ καὶ ἐν οὐρανῷ. μηδὲ τῷ τῆς χρηστότητος φαρμάκῳ στερισκέτω τὸν ὁμόφυλον ἄνθρωπος, ὅπου τὴν θεραπείαν ἐπαγγέλλεται αὐτὸς ὁ θεὸς, οὕτω προσκαλεσάμενος διὰ ἱερεμίου τοὺς ὑπὸ τῶν ἁμαρτιῶν τραυματίας γενομένους, υἱοὶ ἐπιστράφητε ἐπιστρέφοντες, καὶ ἰάσομαι τὰ συντρίμματα ὑμῶν. κηρυχθήτω τε μᾶλλον σωτήριος φωνὴ καὶ ὀρθόδοξος ἰωάννου τοῦ χρυσοστόμου, χιλιάκις μετανοήσας εἴσελθε, ἐν οὐδενὶ λόγῳ θεμένων ἡμῶν οὔτε τὴν σωκράτους μέμψιν οὔτε τὴν

τοῦ

τοῦ σισινίου καταδρομὴν τοῦ λόγου. καὶ ἐῤ-
ῥήθη δὴ ποτὲ πρός τινος τῶν παλαιοτέρων
ὑπὲρ ἑνὸς, τὸ μὴ πίπτειν εἶναι τῶν ἀγγέλων, ἀν-
θρώπων δὲ τὸ πίπτειν καὶ πάλιν ἀνίστασθαι,
ὁσάκις ποτὲ συμβαίνῃ, δαιμόνων δὲ μόνων
πεσόντας μὴ ἐγείρεσθαι. ὃ καλῶς παρὰ τοῖς
τοιούτοις ἡμῖν παροιμιάζεται, ὅτι ὁ μὴ πεπτω-
κὼς μηδ' ἐξανέστη. ἔπεισι δέ μοι ἐνταῦθα
μνήμη πάθους ὃ πάσχουσιν οἱ φιλόστοργοι τῶν
πατέρων ἑκάστοτε πρὸς τὰ τέκνα. τούτοις
γὰρ ὀργισθέντες πταίσασι, πάνυ τοι χαί-
ρουσι καθικετευόμενοι τ' αὖθις ὑπὸ τῶν με-
τανοούντων, καὶ ἐξιλασκόμενοι διὰ δεή-
σεων καὶ θεραπειῶν. καὶ δὴ καὶ ὑφῆκαν
ἐνίοτε τοὺς νουθετοῦντας ἐκεῖνα, οὐ συνιόντα
ἐν νηπιότητι ἢ ἀφροσύνῃ ὅτι χρὴ ποιεῖν ἢ
λέγειν πρὸς τοὺς γονεῖς θυμωθέντας, ἵνα
πράως καὶ εὐνοικῶς πάλιν ἔχωσιν αὐτοῖς.
καὶ ὁ φιλοικτίρμων δὴ θεὸς καὶ εὔσπλαγ-
χνος σωτὴρ ἡμῶν, ὃς πάντας ἀνθρώπους
θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας
ἐλθεῖν, ἐν ᾧ τε διὰ τοῦ υἱοῦ, ἄφατοί τε καὶ ἀ-
διήγητοι στοργαὶ πρὸς τοὺς πιστεύοντας μά-
λιστα τῶν ἀνθρώπων ἐνδείκνυσι, πέμπει τε τοὺς
προφητεύοντας τὰ περὶ θείας βουλήσεως

ἐνδείγματα, καὶ διδαχῆς παραγγέλματα, ὅπως ἀποστραφέντες οἱ ἄνθρωποι ἀπὸ τῆς ματαιοφροσύνης καὶ τῶν ψευδῶν τραπέμενοί τε ἐπὶ τὴν τῆς θείας σοφίας καὶ ἀληθείας ὁδὸν, οὐκέτι πρὸς ὄλεθρον ἐνεχθῶσι κατ' ἀκρωρείαν τῆς ἀσεβείας καὶ ἀπειθείας, ἀλλὰ σωθῶσιν ἐν δικαιοσύνῃ καὶ ὑπακοῇ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἐν τούτῳ γὰρ ἐνὶ πάντα ἵνα τὸ αὔθαδες καὶ καταφρονητικὸν καὶ ἡ ὑπερηφανία τῆς ἀπιστίας θεραπευθεῖσα ἀποσκευασθῇ, καὶ τὸ ὑπήκοον τε καὶ ταπεινὸν καὶ ἁπλοῦν τῆς πίστεως ἢ τηρηθῇ ἀκέραιον, ἢ καὶ λωβηθὲν πως ὅτι τάχιστα ἀνορθωθῇ. προκειμένης δὲ, ὡς εἴπομεν ἐν ἐκκλησίᾳ τῆς συγγνώμης πᾶσι καὶ πάντοτε, καὶ μὴ ἐώντων ἡμῶν βλάπτεσθαι τὸ τῆς διδαχῆς ὑγιὲς τοῖς παρ' ὃ δεῖ φρονούντων λογισμοῖς, ὅτι δοκοίη ἂν ἄδειά τις αὐτῇ δίδοσθαι, καὶ ἀφορμὴ γίνεσθαι ταχείας εἰσαῦθις ἀνατροπῆς, διὰ τὴν ἐν ἑτοίμῳ ἀεὶ ἐσομένην συγχώρησιν τῶν πταισμάτων, καὶ ἄνοδον εἰς κοινωνίαν τῶν ἁγίων· οὕτω τοίνυν ἔχοντος τοῦ πράγματος, ἡμεῖς δὴ περὶ τῶν προφαινομένων ἀτόπων ἐπιβλέψαντες ἅπαντα τῇ ἀληθείᾳ τοῦ θεοῦ, φυλαξώμεθα ὅμως

μὴ

μή τις ἀναπληρωθεὶς τῇ τῆς χρηστότητος ἐλπίδι, εἰς βυθὸν κατενεχθῇ τῆς δικαίας ὀργῆς τοῦ θεοῦ. οὐ γὰρ δῆλον οὐδ᾽ ἀναμφήριστόν ἐστιν ἢ καὶ μετανοῆσαι ὁ πταίσας, οὐδ᾽ ἐγγυητὴς γένοιτ᾽ ἄν τις εἰ μενεῖ τὴν θεραπείαν τὸ τέλος, καθάπερ φησί που ὁ θεολόγος. καὶ ὁ οἷον διὰ ἔθους τινος μετανοῆσαι φάσκων, καὶ διαμαρτάνων παραχρῆμ᾽ αὖθις, ὑποκριτὴς μὲν ἂν εἴη τῆς μετανοίας, τῷ δὲ ὄντι ἀμετανόητος. καὶ συμβέβηκε τούτῳ, κατὰ τὸν ἅγιον πέτρον τὸ τῆς ἀληθοῦς παροιμίας, κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα καὶ ὗς λουσαμένη εἰς κύλισμα βορβόρου. μηδεὶς οὖν πλανηθῇ. ὁ γὰρ θεὸς οὐ μυκτηρίζεται. καὶ ἡ ἀληθὴς μετάνοια οὐκ ἔστιν οἷον παιδιά τις, οὐδ᾽ ἄκρας καρδίας ψαύει τὸ λυπουμένων τὴν κατὰ θεὸν λύπην. ἀλλ᾽ ἐπί τε τὰ ἐσώτερα τῆς ψυχῆς παρατείνεται, καὶ ἐκπιοῦσα τὸ αἷμα ξηραίνει τὰ ὀστᾶ κολλώμενα τῇ σαρκί. ὥστε τούτους ἤδη οὐχ οἷους τε εἶναι ῥαδίως ἐπιλαβέσθαι τῆς ὀργῆς καὶ θυμοῦ τοῦ θεοῦ, καὶ αἰσθομένους τῆς γεγονυίας καταρράξεως καὶ κάμνοντας ἔτι διὰ αὐτῆς, μηδ᾽ ἰσχύειν ἀναδραμεῖν ἐπὶ τὸ ἀνάγωγον καὶ ὑβριστικὸν τοῦ βίου, μᾶλλον δὲ εὐλαβῶς

ἔχειν πάντοτε μὴ ἀναβαπτιζόντων ἐκ δευτέρου, οὐκ ἀνίστασθαι πάλιν ἴσως δυναμένων, γινομένων τῶν ἐσχάτων χειρόνων, ἤπερ ἦσαν τὰ πρῶτα. καὶ περὶ μὲν τούτων ἅλις. διὰ δ᾽ ὅμως τοὺς οὐκ ἐν δέοντι χρωμένους τῇ θεραπείᾳ, οὐκ ἄρα καὶ τὴν θεραπείαν αὐτὴν περιαιρετέον ὡς οὖσαν βλαβεράν, ἄλλως τε καὶ τοῦ θείου ῥήματος ἐνταῦθα φανερῶς διατάττοντος τὸ πρᾶγμα καὶ τῆς καθολικῆς ἀκολουθίας οὔσης προδήλου.

Περὶ ἐξομολογήσεως ἢ ἐξαγορεύσεως, καὶ τῆς καλουμένης ἱκανοποιΐας.

Πρὸς δὲ τῇ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, τῆς διὰ μόνης εὐσπλαγχνίας τοῦ οἰκτίρμονος θεοῦ προσφερομένης ἡμῖν διὰ χριστοῦ, καὶ λαμβανομένης τῇ πίστει, καὶ ἡ ἐξομολόγησις. οὐ γὰρ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ ἀλλ᾽ οἱ κακῶς ἔχοντες. ὁ δὲ μὴ ἀσθενῶν ἢ τὴν νόσον ἀρνήσει κρύπτων, πῶς ἂν θεραπείας τύχοι; διὸ ἔρχονται πρὸς ἰωάννην οἱ βαπτίζεσθαι χρῄζοντες ἐξομολογούμενοι τὰς ἁμαρτίας. καθαρθῆναι γάρ τοι ἐδέοντο, οὐκ ἄρα καθαροὺς εὑρεθῆναι αὐτοὺς ἐχρῆν, ὥστε τὸν ῥύπον ἐκκλυσθῆναι οὐ τοῦ σώματος ἀλλὰ τῆς ψυχῆς.

ψυχῆς. ὃν ἀνάγκη διὰ ἐξομολογήσεως ἐμφανισθῆναι. διό φησιν ὁ εὐαγγελιστὴς ἰωάννης, ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. τίς γὰρ ἄφεσιν αἰτεῖ τῶν ἁμαρτιῶν, εἰ μὴ ὁ ἁμαρτωλός; εἰ τίς πτωχεύει εἰ μὴ ὁ ἀχρήματος; διὸ ὀρθῶς ἐλέχθη πρῶτον μὲν κατανύττεσθαι τὸν μετανοοῦντα δεῖν, ἤγουν αἰσθανόμενον τῶν τραυμάτων ὧν ἐποίησεν ἡ ἁμαρτία διὰ ἀπειθείας, ὀδυνᾶσθαι, καὶ ὥς εἶπέ τις τῶν προτέρων βασανίζεσθαι ἀγνάως ὑπὸ συνειδότι. ἔχει δὲ πρὸ ὀφθαλμῶν ὁ τοιοῦτος τὴν δικαίαν ὀργὴν τοῦ θεοῦ καὶ τὰς τιμωρίας καὶ τὸ ἀλλότριον τῆς χάριτος. ὧν ἐκταρασσόντων τὴν ψυχὴν ἀνάγκη λύπην ἀνέκφραστον ἐγερθῆναι, καὶ αὐτὴν καθ' αὐτὴν ὀλεθρίαν καὶ θανάσιμον, οἵαπερ ἡ τοῦ ἰσκαριώτου ἐγένετο. οὔκουν στῆναι χρὴ ἐνταῦθα, ἀλλὰ προσδραμεῖν τῇ πίστει πρὸς τὸν σωτῆρα τῶν ψυχῶν, τὸν κελεύοντα ἐλθεῖν πρὸς αὐτὸν πάντας τοὺς κοπιῶντας καὶ πεφορτισμένους ὥστε ἀναπαυθῆναι. οὐκ ἄρα ἀφελκυστέον ἄλλοσέ ποι τοὺς οὕτω διακειμένους, ἀλλ' εὐθὺς προσακτέον

ὑπὸ χριστῷ, ἵνα ἄρωνται τὸν ἐκείνου ζυγὸν ἐλαφρὸν, οὕτω δὴ εὑρίσκωσιν ἀνάπαυσιν ταῖς ψυχαῖς αὐτῶν. πᾶσα γὰρ ὁδὸς ἄλλη εἰς προῦπτον ἄγει ὄλεθρον. εἰ γάρ τις καταπληττόμενος ὑπὸ τοῦ θεοῦ ὀργῆς φόβῳ, καὶ ἀλύων ἐν τοῖς τῆς ἀπογνώσεως λογισμοῖς, μὴ τάχιστ' ἐπιλάβηται οἷον ἀντερείδος τινὸς τῆς ἁγίας καὶ ζωοποιοῦ πίστεως, πεποιθὼς ὅτι τεύξεται ἀφέσεως ἁμαρτιῶν διὰ χριστοῦ, ἵλεων κτησάμενος τὸν θεὸν ὀξυπερχῆς, οὐκ ἔστι μηχανὴ μηδεμία, μὴ πίπτειν τοῦτον εἰς βάραθρον τῆς ἀπωλείας. τοῦτο μὲν οὖν ὀρθῶς περὶ κατανύξεως εἴρηται. οὐκ ὀρθῶς δὲ, ὅσα περὶ πένθους καὶ θλίψεως ἀδιαλείπτου, καὶ αὐθαιρέτου κολάσεως, καὶ εἱρκτῶν μετανοητικῶν, καὶ τῆς ἀποτίσαι οἷον χρέος τι διὰ κατηφείας καὶ σκυθρωπότητος καὶ ἀπαραψύκτου διαίτης, καὶ λωβήσεων σωματικῶν, καὶ ὁμοιότροπα τούτοις, ἐτραγῴδησάν τινες, οἳ καινήν τινα τῶν σωθησομένων πολιτείαν ἀπανθρώπῳ φιλοσοφίᾳ μᾶλλον ἢ θεολογίᾳ εὐσεβεῖ παρεισήγαγον, ἀναβαθμοὺς ἐπαλλήλους καὶ κλίμακας τεκταινόμενοι, ἵνα τοῖς δι' ἀρετῶν ἐπὶ ἀπαθείας ἐργασίαν οἷον ἐπαιρομένοις καὶ ὑψωθεῖσιν ὁ

οὐρανὸς

οὐρανὸς ἀμβατὸς εἴη, ἀλλὰ πάνυ λεπτῆς κρο=
κίδος κρεμάσαντος τὴν τῆς ἐπιχειρήσεως
ἐλπίδα. δέδοικα δὲ μὴ καὶ οἱ ἐν ὁσίοις Γρη=
γόριός τε καὶ Βασίλειος τῇ ἐκκλησίᾳ κάλ
λιστόν τε καὶ ὠφελιμώτατον ἔρανον τῆς ἑαυ=
τῶν λογιότητος εἰσενεγκάντων, οὐχ ὅτι ἄλ
λοι γε, τῆς εὐθείας ἐνθάδε ὁδοῦ ἐξετράπη=
σαν, τοῖς τοιούτοις μορφώμασι, καὶ ἀνθρω=
πίνης διανοίας εὑρήμασι, πλέον ἤπερ ἐ=
χρῆν μέρος νέμαντος. ὥσπερ καὶ πρότε=
ρόν ποι ἐπεσημηνάμεθα. οὐ μὴν ἀλλὰ μετὰ
τὸν περὶ κατανύξεως λόγον, ὀρθῶς τὴν ἐξο=
μολόγησιν προστεθείκασιν, ἀνάγκης ὑπαρ=
χούσης τὸ φανερὸν γενέσθαι τὸ νόσημα εἴ τις
ἰάσεως τυχεῖν βούλοιτο, ὥσπερ εἴπομεν. οὐκ
ὀρθῶς δὲ πάλιν τὴν τῆς τῶν ἀποκρύφων τε
λείας καὶ ἀκριβοῦς ἐξαγορεύσεως δραμα=
τουργίαν εἰσέφρησαν εἰς τὴν ἁπλότητα τῆς
ὑγιοῦς διδαχῆς. οἷον ἐστὶ τὸ τοῦ ληστοῦ μιμο=
λόγημα τὸ ἐν τῇ κλίμακι λεγομένῃ. ὅπου
καὶ τοῦτο ἐπισημαντέον ὡς οὔτε καλῶς οὔτ'
ἀληθῶς σεσοφισμένον, τὸ τὴν ἐξομολόγη=
σιν μετ' ἐξαγορεύσεως συγκεχυμένως, νο
μοθετεῖσθαι (ὅπερ καὶ ὁ θεολόγος ποιεῖν δο=
κεῖ που) καὶ ἀποφαίνεσθαι ὅτι χωρὶς τοιαύ=

της

της ἐξομολογήσεως, οὐδεὶς ἂν ἀφέσεως τεύξεται. παραχρησαμένου τοῦ συγγράψαντος τῷ θαυμαστὸν ὡς εὖ ἔχοντι ἀποφθέγματι, τῷ, μὴ δεῖν κρύπτειν ὅσιν ἐν φωλεῷ τῆς καρδίας, καὶ δὴ καὶ τὸ ῥητὸν οὐκ εὐκαίρως παραθεμένου, τὸ, εἶπα ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. οὐ γὰρ δὴ ἐκείνου ψαλμοῦ ἄλλος γένοιτ' ἂν μᾶλλον μὲν παραστατικὸς τῆς ἐκ πίστεως δικαιοσύνης, διὸ καὶ ἐκεῖθεν μαρτύρια τῆς εὐαγγελικῆς διδαχῆς, ὁ παῦλος ἐξεγράψατο, μᾶλλον δὲ ἀνατρεπτικὸς τῶν τοιούτων ἐθελοθρησκειῶν κατὰ τὰ τῶν ἀνθρώπων ἐντάλματα. οἷς οὐδαμῶς ὑπακοὴ ἀνενδοιάστως καὶ ἁπλῶς ὀφείλεται, ὅπερ ὁ κλιμακοποιός φησι, λέγων ἐν τῷ δὲ σώζεσθαι τοὺς εἰς ἄκρον ὑπακούσαντας τῷ προεστῶτι, ὅτι γινώσκουσι μὴ αὐτοὺς ἀλλὰ τὸν προεστῶτα λογοθετηθήσεσθαι. ὁ δὲ χριστός τί; τυφλὸς τυφλὸν ἐὰν ὁδηγῇ ἀμφότεροι εἰς βόθυνον πεσοῦνται. περὶ πάντων ἄρα οὐκ εἰκαίως ἀνθρώποις ὑπακουστέον, ἀλλὰ ζητητέον τὴν ἀλήθειαν. ὁ δὲ λόγος θεοῦ ἀλήθειά ἐστιν, ὥς φησιν ὁ λόγος θεοῦ αὐτὸς ἐν τῷ ιζ. ἰωάννου. περὶ δὲ

ἐξαγο-

ἐξαγορεύσεως τοίνυν, εὖ μὲν ἔχει ὅσα γοῦν τε
τῇ κλίμακι καὶ ἄλλοθί που εἴρηται, ὡς συνι=
στάνοντα τὴν εὔλογον χρῆσιν ἐκείνης, οἷον
ὅτι μώλωπα θεραπευόμενοι οὐ προκόπτου-
σιν ἐπὶ τὸ χεῖρον. καὶ τὰ ὅμοια τούτῳ. τὸ δὲ,
ψυχὴ ἐξαγόρευσιν γινουμένη ὡς ὑπὸ χα=
λινοῦ ὑπὸ ταύτης κατέχεται μὴ ἐξαμαρτά=
νειν, τὰ γὰρ ἀνεξαγόρευτα, ὡς γοῦν σκότει
ἀδεῶς λοιπὸν πράττομεν, πῶς ἐλέγχθη ἐξε
τασέον. ὡσαύτως ἐστὶ τὸ πρὸς σωζομένου, οὐκ
ἐπαινοῦντος ὅτι ὁ ἐπὶ τῶν ἐξομολογουμέ=
νων πρεσβύτερος ἐπαύθη ὑπὸ νεκταρίου,
ἀπολογηθὲν γοῦν, διὰ ἡγεῖσθαι ὅτι μείω πρότερον
τὰ ἁμαρτήματα ἦν, ὑπό τε αἰδοῦς τῶν ἐξ=
αγγελλόντων τὰς σφῶν αὐτῶν πλημμελεί
ας καὶ ὑπὸ ἀκριβείας τῶν ἐπὶ τούτων τε=
ταγμένων κριτῶν. διὰ γάρ τινας προσδο=
κωμένας ὠφελείας οὐκ ἂν εὖ ἔχοι καὶ πα=
γίδας ἱστᾶσθαι ταῖς τῶν ἁπλουστέρων ψυχαῖς,
μὴ δὲ ψευδευλαβεῖ πανουργίᾳ τὴν θεοσέ=
βειαν δηλήσασθαι. προσέθεσαν δέ, φησιν ὁ
σωκράτης οἱ ἐπίσκοποι διὰ τῶν ἐκκλησι=
ῶν κανόνι τὸν πρεσβύτερον τὸν ἐπὶ μετα=
νοίας, διὰ τῶν ναυατιανῶν νεωτερισμόν, ὅ=
πως οἱ μετὰ τὸ βάπτισμα πταίσαντες ἐπὶ

τοῦ

τοῦ προβληθέντος πρεσβυτέρου ἐξομολογοῦνται τὰ ἁμαρτήματα. μὴ μέντοι τοῦ τῆς ἐξαγορεύσεως μέρος παντάπασι τοῦ κανόνος ἐκβεβλήσθω, περικεκόφθω δὲ τὸ προσαφθὲν ὕπουλον τοῦτο τῆς τελείας ἀπαριθμήσεως ἀναγκαίου, καὶ τῶν τῆς αὐθαιρέτου αἰσχύνης ἐπιζημίων, οὐκ ὂν οὔτ' ἀποστολικὸν δίδαγμα, οὔτ' εὐαγγελικὸν παράγγελμα, ἀλλὰ κακοζηλία ἐθνικὴ, καὶ τόλμα θεσμοθετικὴ τῶν κατακυριεύειν ἐθελόντων ποτὲ τοῦ πιστοῦ λαοῦ, ἤτοι εἰδότων ἢ καὶ σφαλλομένων, πρέπει γὰρ ἡμῖν ἐπ' ἀμφιβόλῳ πράγματι καταγνῶναι οὐδενός. τί γὰρ ἕτερον ἔπραξεν ἄλλο κοινοβιάρχης ἐκεῖνος, ἐρωτήσας τι τοῦ λῃστοῦ ἄτοπον ἐν τῷ κόσμῳ ἐπιπράκται; ἤπερ οἱ κατὰ Σαμοθράκην ποτὲ ἱερεῖς κελεύοντες εἰπεῖν τοὺς μυηθησομένους καὶ χρηστηριαζομένους, ὅ, τι ἀνομώτατόν τινι ἔργον ἐν τῷ βίῳ πέπρακται. ὅπου δή φασιν, εὐστόχως ὑπαντῆσαι τὸν Λύσανδρον πυνθανομένῳ τὸ αὐτὸ ἱερεῖ. πότερον γὰρ, εἰπεῖν, σοῦ κελεύοντος ἢ τῶν θεῶν δεῖ ταῦτα ποιεῖν ἡμᾶς; ἀποκριναμένου δὲ τοῦ ἱερέως, τῶν θεῶν. σὺ τοίνυν, ἔφη, ἐκποδὼν μοι κατάστηθι, κἀκείνοις ἐρῶ.

ταῦτα μὲν οὖν περὶ ἐξαγορεύσεως γνωστέον, καὶ ταύτῃ πως διαληπτέον τὸ πρᾶγμα, ἵνα τὸ θολερὸν τῆς ἀδοκίμου παραδόσεως, ἀπὸ τοῦ καθαροῦ τῆς καθολικῆς διδαχῆς χωρισθῇ. τὸ δὲ περὶ τῆς ἱκανοποιΐας ἐνταυθοῖ ἐπιῤῥαπτόμενον, παντὶ τρόπῳ ὡς πορρωτάτω ἀποῤῥιφθήτω, ὡς νόθον καὶ ἀλλότριον τοῦ εὐαγγελικοῦ κηρύγματος. ὥσπερ δὲ οἱ πάλαι ἀρειομανῖται τὴν τοῦ υἱοῦ τοῦ θεοῦ φύσιν ἐβλασφήμησαν, οὕτως οἱ τῆς ἱκανοποιΐας διδάσκαλοι, τὸ ἔργον ἐνανθρωπήσαντος αὐτοῦ, τουτέστι, τὴν τῆς πανσέπτου τριάδος ἀΐδιαν βουλὴν, καὶ τοῦ υἱοῦ κατήκοον ὑπουργίαν διαβάλλοντες δῆλοί εἰσιν. ὥστε γράψαντος τοῦ ἐν ὁσίοις ἀθανασίου, τὴν τῶν ἀρειανῶν καλουμένην αἵρεσιν, δόλιον οὖσαν καὶ πανοῦργον, πρόδρομον εἶναι τοῦ ἀντιχρίστου, ὑπολάβοι τις ἂν ταύτην τῆς ἱκανοποιΐας περιπλοκὴν, ἐπ' αὐτὸν ἤδη τὸν ἀντίχριστον παραταθῆναι. ἐπεὶ δὴ μόνον ἔχομεν λυτρωτὴν καὶ καταλλάκτην, δωρεὰν τὴν χάριν εἰληφότες, υἱὸν θεοῦ ἰησοῦν χριστὸν, καὶ τὸ αἷμα αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας, καὶ συμφωνοῦμεν, ὅταν λέγωμεν ἰησοῦν εἶναι χριστόν. ὁ

δ' ἀρ-

δ' ἀρνούμενος ὅτι ἰησοῦς ἐστὶ χριστὸς, οὗτός ἐστιν ὁ ἀντίχριστος, κατὰ τὸν ἅγιον ἰωάννην.

Επὶ περὶ κοινωνίας τῶν ἁγίων. καὶ τῶν ἀποιχομένων, εἰκόνων τε καὶ λειψάνων.

Τὴν οὖν ἄφεσιν τῶν ἁμαρτιῶν διὰ αἵματος χριστοῦ, ἐν ἐκκλησίᾳ μόνῃ, καὶ τῶν ἁγίων κοινωνίαν, καὶ αὐτὴν τὴν ἐκκλησίαν ἁγίαν εἶναι πιστεύομέν τε καὶ ὁμολογοῦμεν, καὶ διδαχθέντος ὑπὸ λόγῳ θεοῦ ἴσμεν. ἐπεὶ τοίνυν καὶ ταῦτα, ὅτι ἐνθάδε ἐκκλησιαζομένων καὶ συναγομένων τῶν χριστιανῶν τῆς ἀφέσεως τόπος, καὶ ὅτι τῶν ἁγίων κοινωνία αἰώνιός ἐστι, καὶ τὸ τρίτον, ὅτι ἡ ἁγία ἐκκλησία καθολικὴ ἔνδοξός τε εἶναι καὶ ἄμωμος καὶ ἀκηλίδωτος πιστεύεται, μὴ ἔχουσα σπῖλον ἢ ῥυτίδα ἤ τι τοιοῦτο. περὶ ὧν καὶ αὐτῶν πλατύτερόν τινα λεκτέον. πάντοτε δὲ χρὴ περιέπειν ἡμᾶς καὶ τηρεῖν τὴν ἀλήθειαν, ἤγουν τὸν λόγον τοῦ θεοῦ, καὶ τὸ θεάρεστον ἅμα καὶ τὴν ἡμετέραν σωτηρίαν ζητεῖν ἐν τοῖς ἱεροῖς γράμμασιν, ἄλλωστε καὶ ὑπὸ νυνὶ χρόνῳ τῶν ψευδῶν καταισχυσάντων τῆς ἀληθείας, καὶ τοῦ ῥήματος θεοῦ ὑπ' ἀνθρω-

ἀνθρωπίνων διατάξεων καὶ νομοθετήσεων ἀγνώστου καὶ δυσνοήτου γεγονότος, καὶ πάντων σχεδὸν ἐν τῇ ἐκκλησιαστικῇ πολιτείᾳ, ἢ βεβηλότητος ἢ δεισιδαιμονίας γεμόντων. ἔστι γὰρ ἤδη καιρὸς ἐπισφαλὴς οὐ μόνον πιεζομένης τῆς ἐκκλησίας ὑπὸ τῶν φανερῶς ἐχθρῶν ὄντων τοῦ σταυροῦ, ἀλλὰ καὶ τῶν χριστιανίζειν δοκεῖν βουλομένων καὶ προσαπτύειν ἀξιούντων, πλανᾶν τε αὐτῶν καὶ πλανᾶσθαι προῃρημένων μᾶλλον, ἢ δοξάζειν τὸν θεὸν καὶ εἴκειν τῇ ἀληθείᾳ, καὶ ἐναντιοῦσθαι ταῖς ψευδολόγοις ἀπάταις τῶν ἡγῶν τοῦ αἰῶνος τούτου. ἐν τηλικούτοις οὖν κινδύνοις ὑπάρχοντες πρὸς τὸν τοῦ θεοῦ λόγον καταφεύγωμεν, καὶ ἀντεχώμεθα τῆς προδήλου ἐν ἱεραῖς γραφαῖς ἀληθείας, ἧς περ ἡ τῆς ἁγίας ἐκκλησίας ὀρθοδοξία οὐδέποτε ποτε φωνὴν ἐναντίαν ἐφθέγξατο. πῶς γάρ; ἡ μὴ δεῖν οὔτ' ἀκούειν οὔτε λαλεῖν ἀλλοδαπῶς ἀξιοῦται ἢ ὅπερ ἂν λέγῃ ὁ κύριος ἐν αὐτῇ. περὶ τῆς ἀφέσεως οὖν ἔχομεν καὶ θεοῦ ἀναμφίλογον ῥῆμα καὶ συμφωνίαν ὀρθόδοξον ἐν ἐκκλησίᾳ, ὅτι τοῖς μετανοοῦσιν ἐνταυθοῖ ἀφίενται διὰ χριστοῦ αἱ ἁμαρτίαι. καὶ ὅτι οἱ ἐν πίστει ἁγίᾳ ἀποθανόντες, μετοικίζονται ἀποιχόμενοι

Z πρὸς

πρὸς χριστὸν κύριον καὶ ἐν ἀσφαλεῖ εἰσὶ μέ-
χρι ἀναστάσεως, ἀναπαυόμενοι ἐν κόλπῳ
τοῦ ἀβραάμ. τουτέστιν ὑπὸ σκέπης ὄντες
τῆς πίστεως καὶ ἐν μοναῖς οἰκίας θεοῦ. περὶ δὲ
τῶν ἄλλων ἀνεπιστημοσύνην ἀσκεῖν βέλ-
τιον ἂν εἴη, ἢ γνῶσιν ἀνευλαβῆ διώκειν,
μήπως λάθωμεν ἡμᾶς ἀπὸ τῆς ἀληθείας ἐπὶ
τὸ ψεῦδος μεταβιβάσαντες. βέλτιον γὰρ
καθάπερ ὁ χρυσόστομός φησιν, ἀγνοεῖν κα-
λῶς, ἢ εἰδέναι κακῶς. οἱ γὰρ εὐχάς τε καὶ
προσφορὰς ὑπὲρ νεκρῶν καὶ καθάρσιόν τι
πῦρ δογματίσαντες, τὸ μὲν τῆς ἀληθείας
πάντως ἐσφάλησαν, τὸ δ' αὐτοὶ μὲν ἴσως
οὐκ ἐπλανήθησαν, οἱ δ' ὕστερον ἀνεξετάστως
μεταχειρισάμενοι τὸ πρᾶγμα, ἀφορμὴν ἔ-
λαβον ἀσεβείας δεινῆς καὶ μεγίστων ἀμπλα-
κημάτων, οἷς οὐδαμῶς συγκαταθέσθαι δεῖ
τοὺς πιστούς, ἀλλ' ἐναντιοῦσθαι πάντοτε, ἐάν τε
πολλοὶ καὶ μεγάλοι, ἐάν τε δυνατοὶ καὶ ἔν-
τιμοι ὦσιν, οἱ τοῦ ψεύδους ὑπερασπίζοντες,
καὶ τοῖς κτενισμοῖς τισι καὶ ἀναπλοκαῖς
καλλύνοντες, αὐτοὺς καὶ ὀλίγους καὶ σμι-
κροὺς καὶ ἀσθενεῖς καὶ ταπεινοὺς ὑπάρχοντας.
ὁ γὰρ λόγος θεοῦ ἰσχυρός ἐστι καὶ νικᾷ τὸν
πονηρόν. οὐδὲν ἄρα ἴσμεν περὶ τῶν λυτρω-
τικῶν

τικῶν ἤτοι εὐχῶν ἢ προσφορῶν τῶν ὑπὲρ νεκρῶν γενομένων. οὐδὲ πειθόμεθα τοῖς πλατωνικῶν φλυαριῶν δίκην μυθολογηθεῖσι, περὶ τῆς τριημέρου τῶν ψυχῶν ἐλευθέρας μετὰ τὴν ἔξοδον περιπατήσεως, συγχωρουμένου αὐτῇ τοῦ βαδίζεσθαι ὅποι βούλεται, καὶ ἑξῆς περὶ τῆς μετ᾽ ἐννάτην τῶν οὐρανίων θέας, καὶ αὖθις τῶν ἐν ᾅδου μεθ᾽ ἡμέρας. μ΄. περὶ ὧν μακαρίου τινὸς ἀλεξανδρέως, ὡς ἡ ἐπιγραφὴ φησι, πέπλασαι διάλογος. ἴσμεν δ᾽ ὅμως ὅτι τῇ ἐκκλησίᾳ εὐσεβῶς ἐδέδοκτο μνείαν ποιῆσαι τῶν κεκοιμημένων πιστῶν, καὶ πρὸς τὴν μνείαν, σύναξιν καὶ εὐχὰς ἐπιτελέσαι. ὕστερον δὲ νενόμισται καὶ τὸ ἐν συνάξεσιν ἀεὶ τῶν ἀποιχηκότων ἀδελφῶν μνημονεύειν, καὶ δὴ καὶ τῶν πατριαρχῶν καὶ προφητῶν καὶ μαρτύρων καὶ ἀποστόλων καὶ τῶν ἐν ὁσίοις πατέρων, καὶ ἄλλων ἐπ᾽ ἄλλων χρόνῳ ποτὲ μνῆμαι προσετέθησαν τῷ καταλόγῳ, ἵνα πιστεύωσιν οἱ περιόντες, ὥς φησιν ἐπιφάνιος, ὅτι οἱ ἀπελθόντες ζῶσι καὶ ἐν ἀνυπαρξίᾳ οὐκ εἰσίν, ἀλλ᾽ εἰσὶ καὶ ζῶσι παρὰ τῷ δεσπότῃ, καὶ ὅτι ἐλπίς ἐστιν ὑπὲρ ἀδελφῶν εὐχομένοις ὡς ἐν ἀποδημίᾳ τυγχανόντων. πῶς μὲν οὖν

ὠφελοῦνται ὑπὸ τῶν ἐνθάδε εὐχῶν ὁσί-
ων, διηγεῖσθαι μὲν ἀτρεκῶς ἔχοι οὐδείς, οὐ πα-
ρῶπτο δὲ ὁ Φιλαλήθης οὐδὲ τὴν ἀρχήν. γρά-
φει δὲ ὁ ἐπιφάνιος ἔτι τάδε. καὶ γὰρ δι-
καίων ποιούμεθα τὴν μνήμην, καὶ ὑπὲρ ἁ-
μαρτωλῶν. ὑπὲρ μὲν ἁμαρτωλῶν ἐλέους θεοῦ
δεόμενοι, ὑπὲρ δὲ δικαίων καὶ πατέρων,
καὶ πατριαρχῶν, προφητῶν καὶ ἀποστόλων,
καὶ εὐαγγελιστῶν καὶ μαρτύρων, καὶ ὁμολο-
γητῶν ἐπισκόπων τε καὶ ἀναχωρητῶν καὶ
παντὸς τοῦ τάγματος, ἵνα τὸν κύριον ἰη-
σοῦν χριστὸν ἀφορίσωμεν ἀπὸ τῆς τῶν ἀνθρώ-
πων τάξεως, διὰ τῆς πρὸς αὐτὸν τιμῆς, καὶ σέ-
βας αὐτῷ ἀποδῶμεν. ταῦτα γράφει ὁ ἐπι-
φάνιος περὶ μνήμης εἰωθυίας τότε γίνεσθαι
τῶν ἐξ ἀνθρώπων γεγονότων. ἅπερ ἀμφό-
τερα μὲν εἰ ὀρθῶς καὶ ἀμέμπτως πανταπα-
σιν εἴρηται εἰ μή, ἐξετασάτω ἀκριβέστερον
ὁ βουλόμενος, καὶ ἡμεῖς ἐν μέσῳ καταλεί-
ψομεν ἐνταυθοῖ, τὸ δὲ πρᾶγμα ὅμως φαί-
νεται ἀρχὴν εἰληφέναι τότ' ἀπαγωγῆς πρὸς
ἀτοπίας τινὰς καὶ τόλμας ἐπικινδύνους
καὶ δὴ καὶ λωβήσεις τῆς εὐσεβοῦς θρησκείας,
ὅποι τέλος καὶ κατηνέχθη, οὐκέτι εἰδότων
τῶν πολλῶν ἡμῶν οὐδέν, εἰ μὴ τὰ ἐπιπολά-

ζοντα τῶν προδήλων ψευδολογιῶν, ἐν δια=
φθορᾷ ἐσχάτῃ προαιρέσεων τε καὶ ἠθῶν καὶ
δογμάτων καὶ βίου ἐκκλησιαστικοῦ, ἀλλὰ τυ
φλῶν ἑπομένων τοῖς τυφλοῖς ὥσ᾽ ἂν ἡγό=
μεθα. φαμὲν δὴ, κατακλείοντες τούτου μέ
ρους τοῦ λόγου, ὅτι εὐλαβοῦς μνήμης, ἴσως τε
καὶ εὐχῆς, ὑπὲρ τῶν κεκοιμηκότων ἀδελ=
φῶν ἀνθεκτέον. ἐπειδήπερ κοινωνία πάν
των ἐστὶ τῶν πιστευόντων καὶ τοῦ κυρίου ἐσ=
μὲν εἴτε ζῶμεν εἴτε θνήσκομεν. ὃ τοίνυν ἡ=
μεῖς ἐλπίζομεν, τοῦτ᾽ ἐκείνοις εὐχόμεθα, καὶ
μαρτυρόμεθα περὶ κοινωνίας οὐκ ἀλλοτρίους ἡ=
γεῖσθαι ἐκείνους καίπερ ἤδη μὴ παρόντας με=
τὰ τῶν σωμάτων μηδ᾽ ὁμιλοῦντας ἡμῖν ἐπὶ
τῆς γῆς ἔτι. προσφοραὶ δὲ γίνονται τότε οὐκ
ἀπεοικότως ἐν κοινωνίᾳ καὶ φιλοφρονήσει
ἀγάπης, μεθ᾽ ὁσίας τῶν προαπεληλυθό=
των ἀδελφῶν μνήμης. καὶ ἔσται ταῦτα ὧδέ
πως ἐπιτηδευόμενα συνῳδὰ ταῖς τῶν
ἁγίων πατέρων παραδόσεσιν, οὐδαμῶς
συμφωνούντων τῶν νῦν περὶ τὸ πρᾶγμα
πλημμελουμένων καὶ ἀσεβῶς τε καὶ αἰσχρῶς
πραττομένων ὑπὲρ πορισμοῦ καὶ κέρδει, διὰ
ἀπάτης τῶν ἁπλουστέρων. περὶ δὲ τῶν ἁγίων
αἰωνίῳ κοινωνίᾳ μετ᾽ ἀλλήλων τε καὶ τοῦ

 χριστῷ

χριστῷ κυρίῳ σαφῶς ἐδιδάχθημεν, διὰ ἄλλων τε καὶ δὴ καὶ τοῦ ῥητοῦ, οὗ φησιν ὁ κύριος, ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ἐμὸς ἔσται, ἰωαν. ιβ. τιμητέον δὴ τοὺς οἰχομένους μὲν ἐντεῦθεν, ζῶντας δὲ σὺν χριστῷ ἁγίους, οὐ μέντοι ὥστε καὶ ὑπερβολῇ τινι τῆς τιμῆς προσάπτειν καὶ ἀτιμίαν αὐτοῖς. ὅπερ ποιοῦσιν, οἱ σεβασμούς τινας αὐτοῖς ἰσοθέους νέμουσι. καὶ ὁ μὲν ἐπιφάνιος μετρίως διεστείλατο τὸ πρᾶγμα, ἄλλοι δέ τινες τῶν πάλαι ἀφυλακτότερόν πως καὶ ὡσεὶ πανηγυρικώτερον ἐπρέσβευσαν τὴν τῶν ἁγίων μνήμην. ἀλλ᾽ ὅμως ἡ περὶ ἀληθείας ἄγνοια πάντως αἰτία τότε, ἢ τὸν νυνὶ βίον ὅλον κατείληφε, καὶ ὡς ἀληθέστερον εἰπεῖν κατέκλυσε. καὶ διὰ τοῦτο μάλιστα, καὶ ἐπεὶ πεπαιδευμένοι τότε καὶ λογιότητι διαπρέποντες ἦσαν σχεδὸν οἱ τοῦ ἐκκλησιαστικοῦ τάγματος ἅπαντες, ἧττον ἔβλαψαν τὴν πίστιν, αἱ τροπικαὶ ἐκεῖναι τῶν λέξεων καὶ τὰ τοῦ λόγου σχήματα, οἷον ἀποστροφαὶ, προσφωνήσεις, προσωποποιΐαι καὶ ὑποτυπώσεις. ἐπεὶ τὸ δόγμα γε οὐχ εὑρίσκεται παρ᾽ ἐκείνοις κατασκευαζόμενον ἐκ προθέσεως. ὑπολάβοι δ᾽ ὅμως τις, ὅτι αἱ τοιαῦται τῶν ῥητορειῶν

τοῦ δὴ θεμελίου, ὅς ἐστιν ἰησοῦς χριστὸς, μόνον τοῦτο, ἐποικοδομαὶ ἐγγίνονται, ξύλων, χόρτου, καλάμης, ἅπερ δοκιμαζόμενα τῷ πυρὶ, καταχαυθῆναι ἀνάγκη. οἱ δὲ νεώτεροι, ἀπαίδευτοί τε καὶ ἀγύμναστοι ἐν τοῖς ἱεροῖς γράμμασιν ὑπάρχοντες, παρεχρήσαντο ὡς ἁπλῶς εὑρεθεῖσιν ἐκείνοις, οὐ νοήσαντες, καὶ οὐκέτι ἐπὶ τὸν μόνον κείμενον θεμέλιον, ἀλλ' ἐπὶ καινόν τινα καὶ ξένον τῆς ἀνθρωπείας ἀξίας τε καὶ δικαιοσύνης, ἐπῳκοδόμησαν τῶν ἁγίων τῶν ἐπὶ βελτίω λῆξιν ἤδη μεταβεβηκότων θρησκείαν, ἣ οὐδὲν ἢ ὀλίγον τῆς προτέρας εἰδωλολατρείας διαφέρουσαν, οὐκ ὀνόμασι μὲν, ἔργῳ δὲ σαφῶς πολυθεΐαν τινα εἰσαγαγόντες. καὶ ἵνα μὴ περὶ τούτων φανερῶν ὄντων τοῖς μὴ φιλονείκοις ἐν τῇ μισαληθείᾳ ἔτι προηγουμένοις, μακρολογοῦντες, ἐπαχθῆ τὴν διάλεξιν ποιήσωμεν, ἀρκέσει ἡμῖν δυοῖν μόνοιν μεμνῆσθαι, ὡς τὸ πρᾶγμα τρανώτατα ἐνδεῖξαι δυναμένων. ὁ μὲν γὰρ εὐάγριος ἔγραψε τὸν τῶν περσῶν βασιλέα χοσρόην δωρήσασθαι πολύ τι χρυσίου χρῆμα τῷ ἁγίῳ μάρτυρι σεργίῳ. καὶ τὸ αἴτιον ἐμφανίσαι γραφῇ τοιᾷδε, ἵνα, φησὶ, κἀγὼ καὶ ἡ σειρὴν (γύναιον ἦν αὕτη ἐρω-

 μένου

μένον ὑπὸ τοῦ βασιλέως) καὶ πάντων οἱ ἐν τῷ κόσμῳ, εἰς τὴν σὴν δύναμιν ἐλπίζωμεν, καὶ εἰς σὲ ἐπιστεύωμεν. ἀπορριψάτω δή τις ὢν τούτοις τῶν αὐθαδῶν καὶ τῇ τῆς ψευδευλαβείας συνηγορίᾳ ἐμμίσθων, τὸ πρόσωπον, καὶ τολμάτω λέγειν τῆς εἰδωλολατρείας διαφέρειν τὸν σεβασμὸν, καὶ καταστρηνιάσας τοῦ χριστοῦ, ἑαυτόν τε τῇ ἀπιστίᾳ ἐκδεδωκὼς, πειράσθω καλλωπισμοῖς καὶ βοστρυχισμοῖς καλλύνειν τὴν προφανῆ τῆς ἀσεβείας αἰσχρότητα, κατεφθαρμένος τὸν νοῦν ἄνθρωπος καὶ ἀδόκιμος περὶ τὴν πίστιν. ἀλλ' οὐ προκόψουσιν ἐπὶ πλεῖον γε, φησὶν ὁ μακάριος καὶ φιλαλήθης παῦλος, οἱ τοιοῦτοι, ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο, οἳ τῷ μωϋσῇ ἀντέστησαν. ἀλλὰ μέντοι τότε τὸ οὕτως ἐπιγεγραμμένον δῶρον, καὶ προσεδέξαντο καὶ ἐπῄνεσαν, καὶ ὁ ξυγγραφεὺς ἐγκωμιάσας τὸ γεγονὸς δῆλός ἐστιν, ἀσεβείας ἀφορήτου ἔμπλεων ὢν, καὶ φοβερὸν ἀμπλάκημα καὶ τῆς εἰδωλολατρικῆς τῶν ἁγίων τιμῆς εἰσαγωγὸν καὶ συστατικόν. τὸ δεύτερον τῶν παραθέσθαι ἐνταῦθα δοξάντων, ἐστὶ, τὸ ὑφ' ἡμῶν φωραθὲν, καὶ ὑπόληψιν ποι-

σιῶν, ὅτι καὶ ἄλλοθι γεγόνασιν αἱ ὅμοιαι ψευ-
δεπιδιορθώσεις, τέλος εἰς τὰς τῶν πα-
λαιῶν βίβλους παρυφεῖρπον, καὶ ὡς ἐκείνων
γνῶμαι καὶ ἀποφάσεις, τιμῆς καὶ ἀποδο-
χῆς ἠξιώθησαν. ἔστι δ' οὖν τόδε. ὁ ἐπιφά-
νιος κατὰ τῶν κολυριδιανῶν ἐγγράφει ταῦ-
τα, ἐν τιμῇ ἔστω μαρία, ὁ δὲ πατὴρ καὶ υἱὸς
καὶ ἅγιον πνεῦμα προσκυνείσθω. τὴν μα-
ρίαν μηδεὶς προσκυνείτω. ἐνταῦθα ἡμεῖς
ἐν τῷ ἀρχετύπῳ πρὸ ἐτῶν πάνυ πολλῶν
ἐκπονηθέντι, καθεωράκαμεν προσκείμενα
διορθωτοῦ τινος ῥήματα τάδε. προσκυνεί-
σθω, πάτερ, καὶ ἡ πανύμνητος παρθένος,
ὡς μήτηρ θεοῦ, καὶ οὐχ ὡς θεός. εἰ γὰρ εἰς τὸν
τόπον προσκυνοῦμεν οὗ ἔστησαν οἱ πόδες κυ-
ρίου, πολλῷ μᾶλλον τὴν τὸν κύριον πάντων
γεννήσασαν. καὶ αὕτη μὲν ἐνθάδε ἡ ἐπι-
διόρθωσις. τίς δ' ἐγγυητὴς γένοιτο, μὴ καὶ
ἐν ἄλλοις πλείστοις ὅσοις γεγενῆσθαι τὸ αὐτό,
καὶ τὰς τῶν ὑστέρων σωρίσεις τοῖς τῶν πα-
λαιῶν που συγγράμμασι συνῆφθαι. ἴδω-
μεν δὲ ὡς ἀσυμφώνως τε καὶ ἀσυλλογίστως
ἐκ τῶν τῆς ἀληθείας ἤγουν ῥήματος θείου ὑπο-
θέσεων, τὰ τοῦ διορθωτοῦ εἴρηται. καὶ εἴποι ἄν-
τις πρὸς τάδε, οὐκ ἔστ' ἔτυμος ὁ λόγος, ὢ

 οὗτος,

οὗτος, οὐδὲ φύγοις ἂν τὸ μὴ ὡς θεὸν σέβειν τὴν ἁγίαν ἀειπαρθένον, ἣν ἀποιχομένην προσκυνήσεις. ἐπικαλέσῃ γάρ που αὐτὴν προσκυνῶν, ἐπικαλεσάμενος δὲ γνώμην ἕξεις ἀκοῦσαι, καὶ ἐλπίδα διακοῦσαι ὑπὸ μὴ φαινομένης. τὸ δὲ μὴ φαινομένην διισχυρίζεσθαι παρεῖναι, ἢ μὴ παροῦσαν ὅμως ἐπαΐειν ὧν πρὸς αὐτὴν εἴρηκας ἢ καὶ ἀπεστήθισας, θεοποιὸν σαφῶς ἂν εἴη δόγμα. ἐπεὶ τό γε μὴ δὲ παρεῖναι αὐτὴν, μήτε καθορᾶν τὴν προσκύνησιν καὶ ὅμως προσκυνητέον, οὐκ ἂν εἴποις οἶμαι. παντάπασι γὰρ εὐηθὲς τοῦτο ἢ μᾶλλον παράκοπον ἂν εἴη. ὅπῃ δὲ ἱστοροῦνται οἱ ἀποιχόμενοι ὕπαρ τε καὶ ὄναρ ὀφθῆναί τισι, καὶ διὰ ἐνθάδε γινομένων ἐπιγνώσεως αὐτῶν τρόποι πιθανολογίαις τισὶν διευρίσκονται, περὶ τούτων ἄρα, εὐλαβηθήσεται ἕκαστός τις, ἵνα μὴ διαμαρτῇ τοῦ ἀληθοῦς προσέχων μύθοις. ἡμεῖς δὲ τὸ νῦν εἶναι, οὔτε κατὰ τούτων οὔθ' ὑπὲρ τούτων ἐροῦμεν, ἀλλ' ἓν μόνον ἐνθυμηθησόμεθα τὸ, πᾶν ὃ οὐκ ἐκ πίστεως ἁμαρτία ἐστίν. ἡ δὲ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος θεοῦ. τὸ δὲ εἰς τόπον προσκυνεῖν ὅπου οἱ τοῦ κυρίου πόδες ἔστησαν, οὐδὲν πρὸς ἔπος, φαίην ἄν. πῶς

γάρ;

γάρ; ὅτι τὸν δὴ τόπον οὐ προσκυνεῖ τις εἰ-
μὴ ἀνοηταίνων. ἐν δέ τινι τόπῳ προσκυ-
νεῖν ἀνάγκη πάντως, καὶ ἐν τοιούτῳ τόπῳ
προσκυνοίη τις ἂν ἴσως ἥδιον, ὡς μέντοι κατὰ
σάρκα φρονῶν. οἱ γὰρ ἀληθεῖς προσκυνη-
ταὶ, ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνοῦ-
σιν. εὔλογον ἄρα ὅτι κοινωνοὶ ἡμῶν οἱ ἀ-
ποιχόμενοι τῶν ἁγίων, καὶ ζῶντες μετὰ Χρι-
στοῦ, πρεσβεύοντες δεήσεσιν ὑπὲρ ὁμοπί-
στων οὐ παύονται, καὶ ἄγαν μὲν, ὡς οἶμαι τολ-
μηρὸς εἴη ἂν, ὁ ἀρνούμενος, ὁ δὲ πειθόμενος
εὐλαβὴς, ὡς εἰκὸς, νομισθείη. ἐκ δὲ τούτου
συλλογισάμενός τις εὐθὺς, ὅτι καὶ ἐπικα-
λεῖσθαι προσκυνοῦντας δεῖ αὐτοὺς, οὐ πά-
νυ τοι τῆς ἀκολουθίας στοχάσασθαι ἂν φανείη.
καθάπερ ἄλλοθί που διὰ πλειόνων ἐδείχθη.
οἱ δὲ νῦν ἐκ τῶν ἐν ὁσίοις πατέρων ξυγγραμ-
μάτων μαρτυρίας παραθέμενοι περὶ τῆς ἐπι-
κλήσεως, πρῶτον ἐξομολογησάσθωσαν τὰς
ἐπισωρευθείσας προδήλους εἰδωλομανίας,
καὶ οὕτως ἀξιωσάτωσαν, τοῖς πράγμασι τὰ
τῶν πατέρων ῥητὰ ἐφαρμόσαι. ὡς τῶν ἐκείνων
τῶν τε τῆς ἐπιπολασάσης δυσσεβείας μακρό-
τατον ὅσον παραλλαττόντων, καὶ ἐκ διαμέ-
τρου, φασὶ, διαστάντων. οὐ γὰρ ἤδη μόνον
τὰς

ταῖς ἁγίαις ψυχαῖς θεουργὸς τιμή τις ἐχρηματίσθη, ἀλλὰ καὶ τοῖς λειψάνοις καὶ ταῖς εἰκόσιν ὁμοίως δύναμις θαυματοποιὸς περιετέθη. ἄπερ τις μὴ οἰόμενος δεῖν οἷον ἀκωδώνιστα προσίεσθαι καὶ ἐπαινεῖν, οὐ διὰ τοῦτο καὶ ὡς εἰκονομάχος δικαίως ἂν διωχθήσοιτο. τίς γὰρ ψέξει τὸν εὐσεβῶν εὐλαβῆ πόθον καὶ ἵμερον ἐπὶ δὴ καὶ τιμὴν τῶν λειψάνων, ὅσα ἀπὸ τῶν ἁγίων ἐπὶ τῆς κοινῆς πίστεως τὸν ἐνθάδε δρόμον ἐνδόξως διηνυκότων καὶ ὑπὲρ τὰς οὐρανίας μονὰς ἀπῳκηκότων, ἔμεινε κάτω; τίς δὲ τὴν τῶν εἰκόνων φιλοφρόνησιν, οὐδεμιᾶς γε λατρείας ἀσεβοῦς προσούσης; ἀλλ' οὐ γὰρ κρυπτέα τὰ τῆς αἰσχύνης ἐνταῦθα, τὰς προσκυνήσεις ἐπὶ τοὺς σεβασμοὺς, τὰς προσευχὰς, καὶ καταπτώσεις, καὶ τὰς ἐπικλήσεις, οὐκ εἶναί φαμεν χριστιανικὴν μᾶλλον δὲ τῇ ἑλληνικῇ πολυθεΐᾳ προσήκουσαν θρησκείαν, οὐδ' ἔνθεσμον ἐν τῇ καθολικῇ ὀρθοδοξίᾳ ἐπιτήδευσιν, ἀλλὰ καινοποιοῦ πλάνης ἰδιογνωμοσύνην. αὐτίκα γὰρ ἡ τῶν εἰκόνων τιμὴ τίποτε τῆς ἐσχάτης δεισιδαιμονίας ἀπελείφθη; πόρρω δὲ, ἄλλοσέ ποι ἐξέβη ὁ σεβασμὸς ἢ ὅπερ λέγει παρὰ τοῖς ὡμολογημένως ποτ' εἰδωλολά-

τραις

πραις ὁ θεολόγος; ἡ γὰρ ἀρχὴ κἀντεῦθεν, οἶμαι, ὅτι πρῶτον μὲν τῶν οἰκείων οἱ περιπαθέστεροι καὶ σωματικώτεροι ἐτίμων αὐτοὺς ἀπελθόντας τοῖς τῶν τύπων ὑπομνήμασιν, ἔπειτα δὲ οἱ ἀλλότριοι μετὰ τοῦ γένους, εὐεργεσιῶν δέ τινων μετεσχηκότες ἢ φιλίας καὶ συνηθείας κοινωνοί, ἔτι δὲ οἱ θαυμάζαντες τὰ περί τινων ἱστορούμενα ὡς μεγάλων τε καὶ θείων ἀνδρῶν καὶ γυναικῶν, σπουδαίως ἐπεζήτησαν τὰ περὶ μορφῆς ἰνδάλματα διὰ καταγραφῆς ἀφομοιωθέντα. καὶ οὐ κατηγορῶ μὲν διὰ τούτων περὶ ἤτοι προθυμίας ἢ ἐπιθυμίας τοῦ δε, ἐκδέχομαι δ' ὅμως τὸ γεγονὸς ὅπερ ὁ εὐσέβιος, γράφων περὶ χαλκοῦ τῆς αἱμοῤῥούσης ἀπεικονίσματος, ὅτι οἱ παλαιοὶ ὑφ' ὧν θεραπεία μάλιστα τῶν νόσων ἐκηδεύθησαν, ἀπαραλλάκτως οἷα σωτῆρας, ἐθνικῇ συνηθείᾳ παρ' ἑαυτοῖς τοῦτον τιμᾶν εἰώθεσαν τὸν τρόπον. οἱ δὲ χριστιανοί, τῇ συνηθείᾳ ταύτῃ οὐ μὴ ἀκολουθήσωσι, διότι (κατὰ τὰ ἐν τῇ τῶν σμυρναίων ἐπιστολῇ ἐκκείμενα περὶ εὐσεβίου) οὔτε τὸν χριστόν ποτε καταλιπεῖν δυνήσονται, τὸν ὑπὲρ τῆς τοῦ παντὸς κόσμου τῶν σωζομένων σωτηρίας παθόντα, οὔτε ἕτερόν τινα σέ-

βειν,

βειν, τοῦτον μὲν γὰρ υἱὸν ὄντα τοῦ θεοῦ προσκυνοῦμεν μόνον καὶ ἄλλο πάντων ὅσα ἐστὶν οὐδέν. ὥστε τὸ, τῷ χρόνῳ θεοποιηθῆναί πως τἀγάλματα, καὶ γενομένην τε καὶ ἀναγκαίαν δογματισθῆναι τὴν τιμὴν, τοῦτο δὴ οὐκέτι ἐπαινέσαι δυνάμεθα. καὶ τὴν τῶν ἐκτυπωμάτων τιμὴν οὐ μᾶλλον καθολικὸν ἢ καρποκρασιανὸν δόγμα εἶναι οἰόμεθα. οὐ γὰρ ἀμφίλογόν τι ἐπισημαινόμεθα ἐνθάδε, ἀλλ' ἅτε πάντες ἴσασι, καὶ πλεῖστοι ἔτι ὄντες τῶν φιλειδώλων ἅμα καὶ φιλοπλάνων πράττουσί τε, καὶ ὧν βεβαιωθέντος τῷ χρόνῳ ἔθους ὥσπερ νόμου ὑπερμάχονται. φημὶ δὴ τὰ παραλογήματα τῆς ἀπάτης, καὶ μύθους, καὶ ἐπικουρείας πίστιν, καὶ καθιερώσεις, καὶ παρακειμένας τραπέζας, καὶ φώτων ἀνάψεις, καὶ θυμιάσεις. ἅπερ διαφέρουσί γε τῆς εἰδωλολατρικῆς θρησκείας κατ' ἄλλο μηδὲν, ὅτι μὴ τὴν τῶν ὀνομάτων μεταβολήν. ὥσπερ γὰρ τῶν ἡρώων ὅπλα ἀνέκειτο πάλαι ποτ' ἐν τοῖς ναοῖς καὶ σεβάσμια ἦν, ὡς ἐν φασηλίδι δόρυ ἀχιλλέως, καὶ νικομηδεῦσι μάχαιρα μέμνονος, καὶ σκῆπτρον ἡφαιστότευκτον ἀγαμέμνονος χαιρωνεῦσιν, λεσβίοις δὲ ἡ τοῦ ὀρφέως λύρα, καὶ θηβαίοις γουρυ-

όνυ

ὄνου ὀστᾶ, καὶ μεμφίταις πλόκαμοι ἴσιδος, οὕτως ἔδειξαν τινὸς σημαίαν οὐρανοπετῆ γεωργίου, ἢ ξίφος πέτρου, καὶ ἄλλου τινὸς κορύνην μιαιφόνον, καὶ ἑτέρου κρανὸς θρησκεύοντος, καίπερ φάσκοντος τῆς ἑλληνικῆς παλαιᾶς πλάνης καταλύειν. ἤδη δὲ καὶ εὐτυχήσειν τινὲς ἤλπιζον κατὰ τὰς μάχας, ἢ καὶ ἄλλας πράξεις, ἐπενεγκόντες ἢ προσέχοντες τι τοιοῦτον. ὅμοιον δρῶντες ἐκείνῳ, ὃν διηγεῖται ὁ Σαμοσατεὺς πριάμενον τὸν τοῦ ἐπικτήτου κεραμοῦν λύχνον, ἴσως ἐλπίσαι ὅτι ἀναγινώσκων ὑπ' ἐκείνῳ σοφώτερος ἔσεσθαι. καὶ ἄλλον τινὰ περεγρίνου φησὶν ὁ αὐτὸς, βακτηρίαν ταλάντου πρίασθαι, καὶ πάνυ ἀγάλλεσθαι τῷ κειμηλίῳ. πρὸς δὲ τοὺς λέγοντας, ὅτι τὰ μὲν τῆς ἑλληνικῆς εἰδωλοποιΐας ἀπεικονίσματά τε καὶ λείψανα, διὰ τὴν περὶ τῶν πρωτοτύπων ἄτοπον ὑπόληψιν, αἰσχρά τε ἡγητέον καὶ θριαμβεύεσθαι αὐτὰ δικαίως, τὰ δὲ τῶν ἀπεληλυθότων ἁγίων οὔ, ὡς οὐδὲ τῶν ἀρχετύπων τοιούτων ὑπαρχόντων δι' ὧν καὶ μέμφεσθαι ἢ μυσάττεσθαί τινα, ῥητέον, οὐκ εἶναι ἐνταῦθα λόγον περὶ τοῦ, ὧν εἰσὶν αἱ εἰκόνες ἢ τὰ λείψανα, ἀλλὰ περὶ τῶν εἰκόνων καὶ λειψάνων

νων

νων οὐ πάνυ εὐλαβοῦς οὐδὲ θεοφιλοῦς θρησκείας. ὅσῳ δὲ τὸ πρωτότυπον τιμιώτερον τοσούτῳ φυλακτέον σπουδαιότερον μὴ διὰ τοῦ ἐκτυπώματος ἀτιμασθῇ ἐκεῖνο. οὐ γὰρ πέρα τοῦ δέοντος χρὴ τιμᾷν τοὺς ἁγίους, ἀλλὰ τιμᾶν τὸν αὐτῶν δεσπότην, φησὶν ὁ ἐπιφάνιος. εἰ μὲν οὖν οὐ σοφίζεσθαί τις σπουδάζοι, οὐδὲ ἐπιχειροῖ, τὰ ψηλαφητὰ σχεδὸν τῶν ψευδῶν ταῖς τῶν πάλαι ἁπλαῖς γνώμαις ποικίλως ἐπιχρῶσαι, οὐδὲν ἂν ἔργον εἴη καταλαβεῖν κἀνταῦθα τἀληθές. εἰ δέ τις φιλόνεικός ἐστιν, ἐκεῖνος περαινέτω ἀλλοθί που τὰ τῆς ἰδίας σοφίας ἐνθυμήματα, ὡς ἐνταῦθα οὐκ ἀκουσθησόμενος τὰς καινὰς ψευδολογίας παλαιοῖς τισι πλέγμασιν ἀναδησάμενος. καὶ ἡμεῖς δὴ ἐνταῦθα στήσαντες τὸν λόγον, ἐρχώμεθα ἐπὶ τὰ λείποντα ἔτι τούτου τοῦ μέρους τῆς κατηχήσεως.

Περὶ τῆς καθολικῆς ἐκκλησίας.

Ἑπόμενον δὲ τούτοις τὸ περὶ τῆς καθολικῆς ἐκκλησίας. ἐπειδὲ ταύτην ἁγίαν ὁμολογοῦμεν εἶναι, πρῶτον ἂν δέοι περὶ τοῦ ὀνόματος διαλαβεῖν, κἄπειτα καὶ περὶ τοῦ πράγματος διεξελθεῖν τινα. ὅτι μὲν οὖν ἡ

καθο-

καθολικὴ ἐκκλησία ἐξ αὐτοῦ τοῦ ὀνόματος εὐθὺς ἀντίκειται ταῖς συνδρομαῖς καὶ ἐπισυστάσεσι τῶν αἱρετικῶν, δῆλον. λέγεται γὰρ ἀποκήρυκτος γεγονέναι τῆς καθολικῆς ἐκκλησίας, ὁ τῆς κοινωνίας τῶν ἐνθάδε ἁγίων ἐκπεσών, καὶ αἱρετικὸς ἄνθρωπος, ὁ ἰδίαν βαδίζων ὁδὸν καὶ μὴ ἀκολουθῶν τῇ ὑγιεῖ διδαχῇ τοῦτε χριστοῦ αὐτοῦ καὶ τῶν ἀποστόλων. τὴν δὲ καθολικὴν ἐκκλησίαν οὔτε τόπος περιορίζει, οὔτε πλῆθος συνίστησιν, οὔτε δύναμις ἢ ἀξίωμα τῶν γῆς ἀσφαλίζεται, οὔτε διαδοχαὶ τῆς ἀρχῆς στηρίζουσιν, ἀλλὰ πολίτευμα τοῦτό ἐστιν οὐράνιον καθ' ὃ συνάγεται ὑπὸ χριστοῦ τοῦ θανόντος ὑπὲρ ἀνθρωπίνου γένους, τὰ τέκνα θεοῦ, τὰ διεσκορπισμένα κατὰ πᾶσαν τὴν οἰκουμένην καὶ ὑπὸ τὸν οὐρανόν. ὑπὲρ ταύτης γὰρ ὁ χριστὸς ἑαυτὸν παρέδωκεν, ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι, ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν ἐκκλησίαν μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος. τίς δὲ αὕτη, φαίη τις ἴσως, καὶ ποῦ φαίνεται, ἢ μόνον ἐννόημα καὶ ἰδέα ἐν τοῖς λογισμοῖς φανταζομένη ἐστί; φαίνεται δὴ σαφῶς, καὶ

ἐστὶν ἀληθῶς ἐν ταῖς κατὰ τὴν οἰκουμένην παροικίαις αὐτῆς, ἤγουν ἐν τοῖς τῶν κλητῶν συλλόγοις. ὥσπερ γὰρ πάντες οἱ τῆς πολιτείας, τῆς, λόγου ἕνεκα, τῶν ῥωμαίων, μετέχοντες, ὅπου ποτ' ἂν γῆς ὦσι, πολιτείαν ῥωμαϊκὴν πολιτεύονται, οὕτω καὶ οἱ τῇ χριστιανικῇ εὐσεβείᾳ διὰ τὸ κήρυγμα ἐμπεφυτευμένοι, καθολικῶς ἤγουν κατὰ τὸν τῆς καθολικῆς ἐκκλησίας θεσμὸν διάγειν ὀφείλουσι. διὰ τοῦτο ἐστ' ὅτε καὶ αἱ παροικίαι ὁμωνύμως καθολικὴ ἐκκλησία λέγονται. ὡς ὅταν εἴπῃ που ὁ κορνήλιος, ὡς οἶμαι, ἕνα ἐπίσκοπον δεῖν εἶναι ἐν καθολικῇ ἐκκλησίᾳ. κατὰ ταῦτα καὶ δόγμα καθολικὸν, καὶ δὴ καὶ ἄνθρωπος καθολικὸς προσαγορευθεὶς εὑρίσκεται παρὰ τοῖς πάλαι. ἀντίκειται δὲ πάντοτε τὸ καθόλου τῷ κατὰ μέρος ἢ καθέκαστα λεγομένῳ, διὰ τοῦτο τῆς καθολικῆς ἐκκλησίας ἀλλότριος ὁ αἱρετικὸς καὶ ἰδιογνώμων. καὶ εἴτω φίλον τὸ νεωτεροποιὸν καὶ αὐτάρεσκον καὶ σχισματικὸν, οὗτος τῇ ἀεὶ μιᾷ καθολικῇ ἐκκλησίᾳ ἐστὶ πολέμιος. τούτων δ' οὕτως ἐχόντων διασαφητέον ἐπὶ τὸ τῆς καθολικῆς ἐκκλησίας σύστημα, μήτις σφαλεὶς προσχωρήσῃ πῃ τῇ τῶν πονηρευο-

μένων

μόνων ἐκκλησία καὶ καθίσῃ ἐν συνεδρίῳ παρανομούντων, πολλάκι γὰρ τὴν γνώμην ἐξαπατῶσ' ἰδέαι. καὶ ὁ χριστὸς τοὺς ἑαυτοῦ οὐκ ἐᾷ πιστεύειν τοῖς φάσκουσιν, ἰδοὺ ὧδε ὁ χριστὸς ἢ ὧδε. τί οὖν γνώρισμα ἀσφαλὲς καὶ ποία ἔνδειξις ἀναμφίλεκτος εἴη τῆς ἁγίας καθολικῆς ἐκκλησίας; οὐδὲν ἄλλο ἤπερ ἡ φυλακὴ καὶ τήρησις τοῦ ῥήματος ἐκείνου οὗ ἐστὶν ἡ ἐκκλησία, τοῦ λόγου φημὶ τοῦ ἐνυποστάτου, ὅς ἐστὶν υἱὸς θεοῦ κύριος ἡμῶν ἰησοῦς χριστὸς, εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. οὐ γὰρ πάντες οἱ προσειπόντες αὐτὸν κύριον, τῆς βασιλείας τέκνα, ἀλλ' οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρὸς. τοῦτο δ' ἐστὶ τὸ θέλημα τοῦ πατρὸς, ἵνα πιστεύωμεν εἰς τὸν υἱόν. ὡς γέγραπται. ἰωαν. ς΄. τοῦτο δ' ἐστὶ τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτὸν, ἔχῃ ζωὴν αἰώνιον. καὶ ἐν ἐπιστολῇ φησὶν ὁ αὐτὸς, αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ ἰησοῦ χριστοῦ. αὕτη τοίνυν ἡ ἁγία καὶ ἔνδοξος ἐστὶ ὀρθόδοξος, καὶ ἄμωμος, ἐστὶ ἄσπιλος, καὶ ἀρρυτίδωτος ἐστὶν ἐκκλησία, παρθένος ἁγνὴ, ἣν τὸ ἀποστολικὸν κήρυγμα ἑνὶ ἀνδρὶ ἁρ-

μόζεται τῷ Χριστῷ, ἐμφαινομένη καὶ διατυπουμένη ἐν ταῖς παροικίαις ἑκάστοτε ἐπὶ τῆς γῆς κατὰ τὴν οἰκουμένην. ἀπερίγραπτος μὲν καὶ ἀπερίστατος τόπῳ καὶ χώρᾳ καὶ πλούτῳ καὶ κράτει καὶ προσώποις καὶ οὐσίᾳ, καὶ πᾶσι τοῖς τοιούτοις, μόνῳ δὲ τῷ θεοῦ λόγῳ εἰδοποιουμένη καὶ μορφουμένη, ὥστε διαφέρειν αὐτὴν χωριζομένην πασῶν συναγωγῶν ἄλλων ἐν ὅλῳ τῷ κόσμῳ. ὁπότε τοίνυν ἀκούσωμεν τὸ τῆς καθολικῆς ἐκκλησίας ὄνομα, μὴ περισκοπώμεθα παπταίνοντες οἱονεὶ καθ' ὅμιλον, τῇδε κἀκεῖσε, ἀλλ' ἀτενίζωμεν τῷ θεοῦ λόγῳ μόνῳ, τῷ ἐκκειμένῳ ἐν ταῖς ἱεραῖς τῶν γραφῶν, καὶ διὰ ἐκείνου τεκμαιρώμεθα περὶ τῆς καθολικῆς ἐκκλησίας, οὐκ ἀπὸ τῶν τῷ δέ τινι καιρῷ νομιζομένων, οὐδὲ ὑπὸ τούτων τῶν ἀνθρώπων παραδεδομένων, οὐδὲ πρὸς τοῦδε τοῦ ἀξιώματος θεσμοθετουμένων. Σοφίζονται δ' ἐνταῦθά τινες, ἑκόντες ἢ καὶ μὴ οὐδὲν γὰρ διαφέρει, πλανῶντες τοὺς ἁπλουστέρους, καὶ δεικνύντες συνέδριόν τι κοσμικῇ πολιτείᾳ ἐμφερές, οἷον νῦν ἐστὶ τὸ τοῦ παπᾶ λεγόμενον (δεῖ γὰρ ἐμφανίσαι τὸ κακὸν παῤῥησιαζομένους, καίπερ ἐπικινδύνου ἐπ

τῆς

περὶ τόλμης οὔσης) τὸ, γνώμοσιν ἔχον εἰς φόβον πλοῦτῳ καὶ δυνάμει περιβλέπτων τινῶν, καρδινάλεων καὶ ἐπισκόπων καὶ ἀββάνων ὀνομαζομένων, καὶ τὸν διάκοσμον αὐτῶν τοῦτον ῥήμασιν εὐμόρφοις οἷον βοστρύχοις περιπλέκοντες, καλοῦσιν ἐκκλησίαν καθολικήν. καὶ ἐπὶ τοὺς ἀντιλέγοντας, εὐθὺς ἀνέῳκται τὸ ἀναγκαῖον, καὶ ἡ φυλακὴ φοβερὰ, καὶ οἱ βάσανοι φρικτοὶ, ἑτοίμου μὲν ὄντος σιδήρου, ἑτοίμου δὲ καὶ πυρὸς, καὶ παντὸς εἴδους θανάτου. τὸ γὰρ φυγαδεύεσθαι καὶ ἡ ἀφαίρεσις τῶν χρημάτων ἐν εὐεργεσίας τότε χώρᾳ τίθεται. καὶ μόνος ἐστὶν αὐτοῖς ὁ τοῦ ἀμύνεσθαι τρόπος, ὁ τῶν ἐναντιουμένων διωγμὸς, καὶ ἡ βία, οὐκ εἰωθὸς διώκειν τῇ ὀρθοδόξῳ ἐκκλησίᾳ, καὶ ὀφειλούσης αὐτῆς διὰ ῥήματος θεοῦ καὶ τῶν περὶ ἀληθείας ὅπλων, νικᾷν τοὺς ἐπιφερομένους. οὗτος ἄρα χαρακτὴρ ἀκριβὴς τῆς καθολικῆς καὶ ὀρθοδόξου ἐκκλησίας ἡ τήρησις τοῦ λόγου, καὶ τῶν περὶ οὐρανίου ἀληθείας παραδόσεων. ἐπεὶ δὲ τὰ τοῖς ὀφθαλμοῖς ὁρώμενα παρὰ τοῖς πολλοῖς μείζω πίστιν ἔχει, ἢ ὅσα διὰ λόγῳ ἀποδείκνυται, θεάσθω δή τις καὶ τὰ ἔργα. τὸ γὰρ ἀληθὲς θ' ἅμα τῆς εἰλικρινείας, καὶ τὸ περὶ

ὑποκείσεως ψευδές, τῇ τῶν ἔργων δηλώσει φανερὸν γίνεται. ὁ γὰρ οὖν τῆς ἀληθείας λόγος οὐ γεννᾷ πράξεις ἀλλοκότους, ἐπεὶ τὰ χριστιανικὰ δόγματα τοῖς ἔργοις δεῖ εἶναι σύμφωνα. ὅπου τοίνυν ἀμαθία τυραννική, καὶ φόνοι, καὶ αὐθάδειαι, καὶ τρυφαί, καὶ ἀκαθαρσίαι, καὶ παράνομοι πορισμοί, καὶ φιλαργυρία, καὶ κράτος κοσμικόν, καὶ ὑπερηφανία, καὶ μισαδελφία, καὶ καταφρόνησις περὶ κυριότητος, καὶ ἀδικία, καὶ βλασφημίαι, καὶ ἡδονοπληξία, καὶ ἀσέλγεια, καὶ παροινίαι, καὶ διαβολαί, καὶ ἀπαιδευσία, καὶ τούτοις ὅμοια τῶν ἔργων ἐπιτηδεύονται, ἐκεῖ μόλις ἄν τις ζητήσειε τὸ τῆς καθολικῆς ἐκκλησίας σύστημα, ἢ ζητήσας οὐ μὴ εὕροι γέ ποτε. καὶ οὐκ ἀγνοῶ, ὅτι καὶ χρόνοις καὶ τόποις τὸ ἔνδοξον καὶ τιμαλφὲς καὶ καλὸν τῆς καθολικῆς ἐκκλησίας, μᾶλλον καὶ ἧττον διαφαίνεται, οἷον ὁ ἥλιος νῦν μὲν λαμπρὰς τὰς ἀκτῖνας ἀφίησι, νῦν δὲ ἀμαυρότερον ἐπαυγάζει, νέφους τινὸς ἐπιπροσθοῦντος, καὶ τὸ ῥόδον ἄνθος τῇ δὲ μὲν ὅλον καθορᾶται πορφυρίζον, ἐκεῖ δὲ τῶν ἀκανθῶν ἐπηλυγασμένον ὑποκρύπτεται. οὐκ ἔλαττόν ἐστι, ὥσπερ ὁ ἥλιος διὰ τὰ νέφη οὐκ ἄγει νύκτα,

καὶ

καὶ ἐν μέσῳ τῶν ἀκανθῶν τὸ ῥόδον φύεται, οὕτω καὶ τῇ ἐκκλησίᾳ, ἐνίοτε μὲν ἀχλὺς ἐπέδραμε, καὶ μὴ τηλαυγὲς ἔμφηνε τὸ εἶδος, ἐπισκοταζουσῶν τῶν τε ἀσθενειῶν καὶ τῆς λήθης καὶ δὴ καὶ τῶν ἀμπλακιῶν τῶν ἀνθρωπίνων, ἡ ἐκκλησία δ᾽ ὅμως οὐκ ἠφανίσθη ἀϊστωθεῖσα. εἰ δ᾽ ἔπῃ τό, τε τῶν δογμάτων ἀληθὲς, καὶ τὸ τῆς πολιτείας θεοπρεπὲς, παντάπασιν ἀπόλοιτο, οὐκ ἂν εἴποι τις ἔτι ἐνταῦθα ἐκκλησίαν εἶναι καθολικὴν, οὐ μᾶλλον ἢ ἡμέραν παρὰ κιμμερίοις ἢ ῥοδωνιὰν τὰ τριβόλων καὶ σκολύμων σύρματα. εἰ καὶ τινὲς ἴσως πλήθει καὶ δυνάμει κρείττους κατισχύσαντες τῆς ἀληθείας ἐπὶ χρόνον, ἐκκλησίαν εἶναι φάσκωσι, καὶ ὑπὸ πλείστων τύχωσι νομιζόμενοι. ἐν δὲ τῇ οὐκ ἀπολωλυίᾳ τελέως οὐδὲ κατεσκαμμένῃ ἐκκλησίᾳ εὑρίσκονται λεγόμενοι εἶναι χρηστοὶ καὶ πονηροὶ, κατὰ τὴν περὶ ζιζανίων εὐαγγελικὴν καὶ τὴν περὶ τῶν ἰχθύων παραβολὴν, καὶ ἔσθ᾽ ὅτε, ὥσπερ φασὶν οἱ παροιμιαζόμενοι, καὶ πλείους οἱ κακοὶ, ἀλλ᾽ ἥ γ᾽ ὀρθοδοξία οὐ φθείρεται παρὰ ταῦτα, κἂν ἐνίοτε καὶ πάνυ ἀμυδρῶς ὑποφαίνηται πρὸς τῶν ψευδολογιῶν καὶ ὑποκρίσεων οἷον νεφελῶν ἐπισκιαζομέ-

νη, καὶ γίνεται τὸ τῆς ἀληθινῆς ἐκκλησίας καθαρὸν καὶ εἰλικρινὲς πάνυ που ὀλίγον, καθάπερ ἐν μετάλλοις ἔσθ᾽ ὅτε τὸ τοῦ χρυσοῦ ἢ ἀργύρου ἀκραιφνὲς καὶ ἀκήρατον οὐ πάνυ πολύ τι, τῆς σκωρίας πλεοναζούσης καὶ ἐπιθλιβούσης ἐκεῖνον. ἡ τοίνυν ἐκκλησία ἁγία ἐστί τε καὶ μένει ἀεὶ, καίπερ ἐνίοτε πάνυ τοι λυμαινομένης αὐτῇ τῆς τε τῶν ψευδολογιῶν ἀσεβείας καὶ ὑποκρίσεως λώβης, ὥστε γίνεσθαι αὐτὴν ἐν τοῖς φαινομένοις τῶν χριστιανῶν καὶ λίαν ὑπομόχθηρον. ὥσπερ καὶ ὁ χριστὸς ἀθάνατος ἤδη ὢν ὑπὸ τῶν ἀντιχρίστων ὅμως τὸ δεύτερον ἀνασταυροῦται, ὅσον δηλαδὴ ἐν αὐτοῖς, καὶ ὁ μὴ πιστεύων κατὰ τὸν ἅγιον ἰωάννην ψεύστην πεποίηκε τὸν θεὸν, ἑαυτῷ μέντοι, καθ᾽ αὑτὸν τοῦ θεοῦ μένοντος ἀναλλοιώτου διαπαντός. ὡσαύτως καὶ ἡ μὲν τῶν ὑποκριτῶν καὶ ψευδωνύμων χριστιανῶν ἐπιπολάζουσα συστροφὴ, τὴν τῆς ἐκκλησίας ἁγιότητα πιέσασα οὐκ ἐᾶσιν ἔσθ᾽ ὅτε οἵαν διαφανῆ καὶ λαμπρὰν καθορᾶσθαι, καὶ μολυσμοῦ καὶ κηλῖδός τι δοκεῖ προστρίψασθαι αὐτῇ, οὐχ ἧττον δὲ ἀμίαντος καὶ ἄχραντος αὐτὴ καθ᾽ αὑτὴν διαμένει καὶ ἐστὶν ἀεί. παρὰ ταῦτα τοίνυν, ἃ εἰρήκαμεν,

ὁ μὴ

ὁ μὴ πλανᾶσθαι βουλόμενος πλάνην ἀληθείαν παραβαλέσθω, ἐξετάζων τὸ τῆς ἐκκλησίας καθολικὸν εἰ μὴ, ἀλλ' οὐ παρὰ τὴν δόξαν τῶν ἑτέρως φρονούντων ἢ ὡς δεῖ τοὺς χριστοῦ μαθητὰς, ἧττον δὲ παρὰ τὰς κολακείας τῶν ζητούντων τὰ ἑαυτῶν, καὶ κυπτόντων εἰς τὴν γῆν, μὴ βλεπόντων ἄνω, ὅπου ὁ χριστὸς κάθηται ἐκ δεξιῶν θεοῦ. σφαλεὶς γὰρ ἐντεῦθα οὐδεὶς τῆς σωτηρίας τεύξεται. ὁ γὰρ μὴ εἰσερχόμενος διὰ θυρίδος εἰς τὴν αὐλὴν τῶν προβάτων ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής. καὶ οὐκ ἔστιν ὅτι μὴ μία αὐλὴ, εἷς ποιμήν. ὁ δὲ καλὸς ποιμὴν, ἐπιγινωσκέτω καὶ ἡμᾶς, καὶ ἡμεῖς τῆς αὐτοῦ φωνῆς ἐπαΐωμεν. ἵνα σωθέντες δοξάζωμεν ἀεὶ μετὰ τῶν ἀγγέλων ἐν κοινωνίᾳ πάντων ἁγίων αὐτὸν, σωτῆρα, υἱὸν θεοῦ, θεὸν ἀληθινὸν, ζῶντα καὶ βασιλεύοντα μετὰ πατρὸς καὶ ἁγίου πνεύματος εἰς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Περὶ μυστηρίων.

Λεκτέον ἐνταῦθά τι καὶ περὶ τῶν καλουμένων μυστηρίων. τῆς δὲ πραγματείας διὰ τὰς ἐπισαχθείσας ἀπάτας, τῆς μὲν ἀγνοίας μᾶλλον, ἤπερ πονηρίας, οὐχ ἧττον δὲ θανα-

σίμους καὶ αὐτάς, μακρὸν λόγον ἀπαιτού-
σης, ἡμεῖς ὡς ἐν κατηχήσει ἀποτεμόντες τῶν
προκειμένων μόνα τἀναγκαῖα, διὰ βραχέ-
ων ἐροῦμεν, ὅσων καὶ τοὺς ἁπλουστέρους, οὐ χρὴ
ἀγνοοῦντας εἶναι. καὶ πρῶτον ὡς δέον ἐστί, τοῦ
ὀνόματος πέρι λέξομεν. μυστήριον τοίνυν
ἤτοι ἀπὸ τοῦ μύζω, τὸ ἀσαφὲς λαλῶ, τὸ μέλ-
λοντα ἔχοντος, μύσω, ἢ τοῦ μύω, τοῦ τοὺς
ὀφθαλμοὺς κλείω, ἐμπίπτοντος τοῦ σ. ὥ-
σπερ ἐν τῷ διάπλυσον, σημαίνει κυρίως
ἄρρητον σέβας, ὃ μὴ ἔξεστιν ἐκλαλεῖν παρὰ
τοῖς ἔξω. οἷαι τελεταί τινες ἦσαν ἀπόρρη-
τοι παρὰ τοῖς ἐθνικοῖς ὡς ἐν ἐλευσῖνι καὶ σα-
μοθράκῃ. καὶ οἱ μετέχοντες τούτων συμμύ-
σται, οἱ δὲ μὴ μετέχοντες ἀμύητοι ἐκαλοῦν-
το. μεταφορικῶς δὲ πᾶν τὸ ἀφανὲς καὶ
ἀγνοούμενον καὶ κρύφιον, λέγεται μυστήριον.
καὶ παρὰ τοῖς μὲν ἐκκλησιαστικοῖς συγγρα-
φεῦσι μυστήριόν ἐστι πρᾶξις ὁρωμένη, θεω-
ρίαν ἔχουσα πνευματικήν, λανθάνουσαν τοὺς
πολλούς. κέχρηται δ' ὁ παῦλος κατ' ἀμφό-
τερα τὰ σημαινόμενα τῇ λέξει. ὅτε μὲν γὰρ
φησι, τὸν θεοῦ λόγον εἶναι μυστήριον ἀποκε-
κρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γε-
νεῶν, τὸ ἀγνοούμενον δηλοῖ τέως καὶ ἀπό-

κρυφον τῆς τ' ἐνανθρωπήσεως τοῦ λόγου καὶ τῆς τῶν ἐθνῶν κλήσεως. ὡσαύτως καὶ ὅπου λέγει, λαλοῦμεν σοφίαν θεοῦ ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, καὶ περὶ ἀναστάσεως εἰπὼν, ἰδοὺ μυστήριον ὑμῖν λέγω, τὸ μὴ γνώριμον μὴ ἢ πρόδηλον τοῖς πολλοῖς, ἐνδείκνυσιν. ὅτε δέ φησι, τὸ μυστήριον τοῦτο μέγα ἐστὶν, ἐγὼ δὲ λέγω εἰς χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν, νοεῖσθαι βούλεται ἀλληγορίαν τινὰ ἀναγωγικὴν ἀπὸ τοῦ φαινομένου ἐπί τι μεῖζον. οἱ δὲ τῶν ἐκκλησιαστικῶν ξυγγραφέων, πάντων σχεδὸν ὡς εἰρήκαμεν, ἐκέχρηντο τῷ ὀνόματι κατὰ τοῦτο τὸ σημαινόμενον μόνον, καὶ οὕτω κεῖται παρὰ διονυσίῳ, ὅστις ποτ' ἐστὶν οὗτος, καὶ ὅθεν ποτ' ἀπεξελέξατο τὸν λόγον, εἰ μή γ' αὐτὸς ἐξεῦρε διανοούμενος, ἐν οἷς τὰ ἀποτελούμενα, ἤγουν τελεστικῶς πραττόμενα, ἐν τῇ κατ' αὐτὸν δηλονότι ἐκκλησιαστικῇ συνηθείᾳ, ἐξέθηκε μυσταγωγικῶς, γράψας οὕτω περὶ αὐτῶν ὥστε δεῖσθαι ἐξετάσεως ἀκριβοῦς τὸν λόγον, καὶ μηδαμῶς εἰκῇ χρῆναι προσίεσθαι τὰ εἰρημένα. ἀλλὰ περὶ τούτων ζητηθήσεται ἴσως θεοῦ βουλομένου, ὅτε μελήσει τοῖς προεστηκόσιν ἀπλάστως, ἐκ καρδίας, φασὶ, τοῦ τῆς

ἐκκλη-

ἐκκλησιαστικῶν πολιτευμάτων διορθώσεως. δέον δὲ ὡς δυνατὸν γενέσθαι, πρὸ τοῦ ἀκοῦσαι καὶ ξυνιέναι τὴν ἀλήθειαν τῆς ὑγιοῦς διδασκαλίας, καὶ τὰ ψευδῆ ἐκβαλεῖν, καὶ ζητεῖν τὴν τοῦ θεοῦ δόξαν μόνην. ταῦτα τοίνυν ἐν τῷ παρόντι ἀφῶμεν, καὶ ἴδωμεν, τίνα μυστήρια κυρίως ἐκάλεσεν ἡ τῆς ἐκκλησιαστικῆς διδασκαλίας χρῆσις. ἔστι δὲ ταῦτα δύο μάλιστα, τὸ βάπτισμα, καὶ τὸ κυριακὸν δεῖπνον. ὅπερ τινὲς καὶ φρικτὸν προσηγόρευσαν, διὰ τὸ ἀρχέτυπον καθ' ὃ χριστὸς συνήσθιε τοῖς μαθηταῖς, ὅπερ φρικτὸν ὀνομάζειν ἔθος ἐστὶ τοῖς πλείστοις. ἔσθ' ὅτε καὶ ἀντίτυπα ὀνομάζουσιν αὐτά, διὰ τὸ νῦν πράττεσθαι ὄντως τὰ ἐν τῇ παλαιᾷ διαθήκῃ τυπικῶς προεικονισθέντα. τοῦ μὲν βαπτίσματος ἀντιτύπου ὄντος ἤτοι τῆς διὰ ὕδατος τῶν ὀκτὼ ψυχῶν σωτηρίας, ὡς ἐν δευτέρᾳ τοῦ πέτρου ἐπιστολῇ γέγραπται, ἢ τῆς διὰ θαλάσσης τῶν ἰσραηλιτῶν διαπορεύσεως, καθάπερ φησὶν ἐπιφάνιος, ὅτι ἀπὸ μωσέως ἐν θαλάσσης ἦρξατο ὁ τύπος, ἀπὸ ἰωάννου ἠνοίγη ὁ τύπος, ἐν δὲ χριστῷ ἐπιλειώθη τὸ δῶρον. τοῦ δὲ δείπνου ἔχοντος προτυπήσασαν τὴν τοῦ μελχισεδὲκ ἐκφο-

ράν

ρὰν ἄρτου καὶ οἴνου, ὡς ὁ αὐτὸς βούλεται ἐπιφάνιος. ἢ ὡς ἄλλοις ἔδοξε, τὴν τοῦ ἀμνοῦ βρῶσιν κατὰ τὸ πάσχα. δεῖ μὲν οὖν ὁρίσαντας τὸ σημαινόμενον οὕτω χρῆσθαι τῇ λέξει, ἵνα μὴ τὸ ἀμφίβολον ἡμῖν αἴτιόν που γένηται παραλογισμοῦ. καλοῦμεν ἄρα νυνὶ μυστήριον, πρᾶξιν ἐπιτεταλμένην ῥητῶς, καὶ διατεταγμένην ὑπὸ τοῦ χριστοῦ, καὶ ἐξ ἀνάγκης ἐν ἐκκλησίᾳ τελουμένην ἀεί, ἐν ὁμολογίᾳ κοινῆς πίστεως, ἐπισφραγίζουσάν τε τὸν τῆς ἐπαγγελίας λόγον, καὶ τὴν τῆς θείας χάριτος ἐνέργειαν τῇ μνήμῃ ἀνανεοῦσαν. ἐκ δὴ τούτων δῆλον, ὅτι τὰ κυρίως μυστήρια λεγόμενα δύο τε ταῦτά ἐστι, καὶ διὰ τὸ ῥητὸν τῆς ἐπιταγῆς καὶ ἐντολῆς ἀμετάθετα, ὁρατῶς καὶ αἰσθητῶς, τὸ ἀόρατον καὶ τὴν σωματικὴν αἴσθησιν ὑποφεῦγον δῶρον καὶ χάρισμα ἱερουργοῦντα, ἐν τῇ ἐκκλησιαστικῇ τῶν χρωμένων κατὰ τὸ ῥῆμα τοῦ διατάξαντος κυρίου, κοινωνίᾳ. τὸ μὲν γὰρ αὐτῶν ” ἔξωθεν φαινόμενον σωματικῶς, τὸ δ᾽ ἔνδον ” κρυπτόμενον πνευματικῶς λαμβάνεται), καὶ ” συνοικειοῦται τὸ μὲν αἰσθήσει τὸ δὲ πίστει.

Περὶ βαπτίσματος.

καὶ

Καὶ βάπτισμα δὴ λουτρόν ἐστιν ὕδατος αἰσθητῶς, διαταγὴν ἔχον ῥήματος θεοῦ κελεύοντος βαπτίζεσθαι πάντα τὰ ἔθνη, καὶ ἐπαγγελλομένου τὴν τῶν ἁμαρτιῶν ἄφεσιν, κατὰ ταῦτα, πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ ὥσπερ οἱ παρὰ τοῖς ἰουδαίοις πρὸ τοῦ τὸν χριστὸν ἐλθεῖν εἰς τὴν σάρκα, σημεῖον εἶχον τὴν περιτομὴν, σφραγῖδα δικαιοσύνης πίστεως οὔσαν, ἐπὶ τὸν ἐρχόμενον, οὕτω βάπτισμα σφραγίς ἐστι δικαιοσύνης πίστεως ἐπὶ τὸν ἐλθόντα, καὶ τελειώσαντα τὴν τῆς σωτηρίας ἐπαγγελίαν, ἵνα ἅγιοι καὶ καθαροὶ τὸ λοιπὸν ἐκδεχώμεθα τὴν ἐσομένην κρίσιν καὶ μέλλουσαν ζωὴν αἰώνιον. οὐκ ἄρα σφραγὶς ἂν εἴη μόνον, κατὰ τὸν θεολόγον, ὡς συντήρησις καὶ σημείωσις δεσποτείας τοῖς ἀρχομένοις, ἀλλὰ σφραγὶς ἅπασι τῆς χάριτος, καὶ βεβαίωσις τῆς ἐπαγγελίας, καὶ θείου δώρου πνευματικὴ κύρωσις, διὰ σωματικῆς βαπτίσεως τελουμένη. διὸ καὶ ὁ ἅγιος παῦλος λουτρὸν καλεῖ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου, οὗ, φησὶν, ὁ σωτὴρ

ἡμῶν

ἡμῶν θεὸς, ὁ σώσας διὰ τούτου τοῦ λουτροῦ ἡμᾶς, κατὰ τὸν ἔλεον αὐτοῦ, ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ ἰησοῦ χριστοῦ τοῦ σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι κληρονόμοι γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίου. καὶ ὁ πέτρος λέγει, τὸ βάπτισμα σώζειν, καθ' ὃ ἐστι συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς θεὸν, διὰ ἀναστάσεως ἰησοῦ χριστοῦ. ὃ σαφῶς παρίστησι τὴν τῆς πίστεως καὶ τὸ βάπτισμα βεβαίωσιν, καθ' ἣν ἐρωτᾷ τὸν θεὸν, καὶ ἀντιβολεῖ πεποιθότως ἡ συνείδησις, οὐκέτι φεύγουσα οὐδὲ δειματουμένη, ὥσπερ ὁ ἀδὰμ συνειδὼς αὐτῷ ὧν ἡμαρτεν. ἐκάλεσαν δὲ τὸ βάπτισμα, ἐν ᾧ συνθαπτόμεθα, ὥς φησιν ὁ παῦλος, τοῦ χριστοῦ, καὶ ἀφανίζεται διὰ ὕδατος καὶ πνεύματος ἁγίου, τὸ τῆς ἁμαρτίας ῥυπαρὸν, οἱ πάλαι θεολόγοι, δῶρον, δίδοται γὰρ ἐλευθερίως, μηδὲν ἡμῶν προεισενεγκόντων. καὶ χάρισμα, παραπτώματος γὰρ ἄφεσις προσφέρεται κατ' αὐτὸ τοῖς τιμωρίαν ὀφείλουσι. καὶ χρίσμα, διὰ τὸν πνευματικὸν ἁγιασμὸν καὶ τῆς βασιλείας κῦρος. καὶ φώτισμα, ἐξέλασις γὰρ σκότους καὶ ἀγνοίας, καὶ τῆς πνευματικῆς ἀληθείας ἐπίφαυσις, καὶ

ἐνδυ-

ἔνδυμα, καινὴν γὰρ οἱ βαπτιζόμενοι ἐνδύονται κτίσιν. καὶ λύσιν, τὰ γὰρ δεσμὰ τῆς ἁμαρτίας ἀφῃρέθησαν τῶν βαπτισθέντων. περὶ δὲ τοῦ λουτροῦ καὶ σφραγῖδος ὀνόματος εἴρηται. ὡς δ᾽ αὔτως ἐκ τῶν εἰρημένων διὰ τί μύησις καὶ μυσταγωγία τὸ πρᾶγμα ἐκλήθη, γνοίη τις ἄν. ἐξαίρετον δὲ φωτισμοῦ καὶ φωταγωγίας ἐστὶν ὄνομα, ὅτι φωτίζεται τότε τὰ σκοτεινὰ ἅπαντα, ὑπὸ φωτὸς πνευματικῆς ἐπιγνώσεως καὶ οὐρανίου ἀληθείας. καὶ τοὺς φωτισθέντας ἅπαξ, ἡ πρὸς τοὺς ἑβραίους ἐπιστολή, λέγει τοὺς βαπτισμοῦ τετυχηκότας, οὓς καὶ παραπεσόντας ἀδύνατον εἶναι φησὶν ἀνακαινίζειν εἰς μετάνοιαν, ἤγουν, ὡς οἱ πλεῖστοι ἐξηγήσαντο, ἀναβαπτίζεσθαι. καὶ γὰρ δὴ καὶ καινισμὸς τὸ πραττόμενόν ἐστί τε καὶ ὀνομάζεται. ἐν χριστῷ γὰρ καινὴ κτίσις. καὶ τὸ λουτρὸν ἀνακαινώσεως πνεύματος ἁγίου, ὡς προείρηται. ἔχομεν τοίνυν τὴν πρᾶξιν καὶ τὴν χρῆσιν αὐτῆς ὁλόκληρον, ἔν τε τῇ τοῦ ὕδατος ἐπιχύσει, καὶ τῇ τοῦ ῥήματος θεοῦ ἀπομνημονεύσει, κατὰ τὴν τοῦ κελεύσαντος διαταγήν. καὶ ἔστι βάπτισμα μὲν προηγουμένως ἅπερ εἴπομεν, παρέπεται δὲ τούτοις, καὶ τὸ σύμβολον εἶναι αὐ-

τὸ, τῆς ὁμολογίας καὶ συντάξεως μετὰ τῶν πιστῶν, καὶ δὴ τῆς συνθήκης πρὸς τὸν θεὸν ἑτέρου βίου. σημαίνει δὲ τὸ τοῦ βαπτίσματος ὄνομα, καὶ τὴν ὑπό τι τῶν ὑγρῶν ὅλην καὶ βυθισμόν, ὡς ὅταν ὁ ἰώσηπος λέγει, τὸν τῆς μαριάμνης ἀδελφὸν ἀριστόβουλον, ὑπὸ γαλατῶν, ἡρώδου κελεύσαντος, βαπτιζόμενον ἐν κολυμβήθρᾳ, τελευτῆσαι, καὶ τὴν διάχυσιν καὶ τὸν ῥαντισμόν, ὡς ὅταν φαμὲν βεβαπτίσθαι τοὺς ὑποπεπωκότας. ἔστι δ' οὐδὲ τῶν ἀδήλων, ὅτι τρὶς ὠθεῖσθαι ὑπὸ τὸ ὕδωρ τοὺς φωτιζομένους γενομίσθη διὰ τοὺς ἀρειανούς. οἴδαμεν δὲ ἓν μόνον τὸ σωτήριον βάπτισμα, ἐπειδὴ εἷς ἐστι, μετὰ τοὺς ἐν ὁσίοις, ὁ ὑπὲρ τοῦ κόσμου θάνατος, καὶ μία ἐκ τῶν νεκρῶν ἐξανάστασις. διότι τὴν τοῦ λουτροῦ ἐκ δευτέρου κάθαρσιν καὶ τὸν ἀναβαπτισμὸν οὐδαμῶς προσίεται ἡ καθολικὴ τοῦ χριστοῦ ἐκκλησία. περὶ δὲ τοῦ τῶν νηπίων βαπτίσματος, ἀρκείτω ἡμῖν τό, τε τῆς καθολικῆς ἐκκλησίας ἔθος, καὶ ὁ λόγος θεοῦ σαφῶς διδάξας ὅτι καὶ τοὺς νηπίους προσίεται ὁ σωτήρ, καὶ ὅτι τῆς ἐκκλησιαστικῆς κοινωνίας οὐδεὶς σώζεται ἔξω, καὶ ὅτι ταύτης ἀρχὴ καὶ πυθμὴν τὸ βάπτισμα.

ἐστὶ δὲ τῶν νηπίων πίστις ἤτοι κοινὴ τῆς ἐκκλησίας ἢ καὶ ἰδία θεοδώρητος, ὡς ἀμέλει καὶ ἐν τοῖς τῇ ἡλικίᾳ προβεβηκόσιν. οὐ γὰρ ἀνθρώπινος οὗτος ὁ λογισμός. ἐξομολόγησις δὲ στόματι τῶν ἀναδόχων κατὰ τὸ εἰκός, γίνεται, ὡς ἐν πληροφορίᾳ ἐκκλησιαστικῆς γνώσεως καὶ νοὸς εὐλαβοῦς, ὡς ἴσμεν, καὶ παλαιοτάτην ἔχομεν τὴν παράδοσιν, ὥστε τὸν ἐνταῦθα νεωτεροποιοῦντά τι, οὔτε εὐσεβῆ οὔτε φιλόχριστον νομίζειν δεῖν, ἀλλὰ ὡς αἱρετικὸν ἄνθρωπον, νουθετούμενον ἅπαξ καὶ δίς, κατὰ τὸ ἀποστολικὸν παράγγελμα παραιτήσασθαι. περὶ μὲν οὖν τούτων ἅλις.

Περὶ δείπνου κυριακοῦ.

Περὶ δὲ τοῦ κυριακοῦ δείπνου ἔκκειται σαφέστατα ἡ διαταγή, ἔν τε ταῖς εὐαγγελικαῖς ἱστορίαις καὶ παρὰ παύλῳ. καὶ οὐκ ἔστιν ἀμφίλογον οὐδὲν ἢ σκοτεινὸν ἐν τούτοις. ὥστε θαυμάζειν καὶ μᾶλλον σχετλιάζειν τινά, πρὸς τὴν τόλμαν τῶν γε τὴν πρᾶξιν ὥσπερ πηρώσει αἰκιζομένων, καὶ τῶν τὴν δύναμιν ἐκφαυλισάντων. ἔστι δ' ἡ πρᾶξις φανερῶς διατεταγμένη ὑπὸ κελεύοντι ῥήματι, ἐσθίειν ἐκ τοῦ ἄρτου, καὶ πίνειν ἐκ τοῦ ποτηρίου.

τὸ δὲ ῥῆμα ἀνενδοίαστον, ὅτι ὁ ἄρτος τὸ τοῦ χριστοῦ σῶμα, καὶ τὸ ποτήριον, αἷμα αὐτοῦ ἐστί. πρὸς μὲν οὖν τοὺς ἀποκόπτοντας μέρος τι τῆς θείας διαταγῆς, οὐδὲ διαλέξεως ἔργον ἂν εἴη, ἀλλ' ἀποστροφῆς πάντως, εἰπόντων ἡμῶν τοῦτο μόνον, σὺ τίς εἶ, ὃς οὐκ ἤδη ἀνταποκρινόμενος αὐδῇ τῷ θεῷ, ἀλλ' ἀντιτεκταινόμενος καὶ διαφθείρων τὸ ἔργον αὐτοῦ μαινομένου τρόπον ἀναισχυντεῖς; τοῖς δ' ἑτέροις συγγνώμην ἴσως νέμων οὐ μαινομένοις γε, καὶ νουθετῶν φαίη τις ἄν, τί ζητεῖτε τὰ ἀνερεύνητα ὦ οὗτοι, καὶ οὐκ ἀρκεῖτε ῥανίδα πως ἀρυόμενοι ἀπὸ πελάγους τῆς τῶν θείων γνώσεως; διὰ τί δὲ ἀφέντες τὸ ῥῆμα ἁπλοῦν ὑπάρχον καὶ σαφές, περισκοπεῖτε ἀθερίσαντες πόθεν σχῆμα ἢ τρόπον ἐποιήσετε τῷ ῥητῷ; ἀλλ' ἐρήσετε ὅτι διὰ τὰς ματαιολογίας τῶν παρεισαχθεισῶν μετουσιώσεων καὶ μεταμορφώσεων, τῆς τυπικῆς φράσεως ἀντέχεσθαι ἔδοξεν ἄριστον εἶναι. ἦν δὲ βέλτιον τῆς ἁπλῆς ἑρμηνείας τοῦ ῥήματος θεοῦ, ἣ οὐ δεῖται τροπικῆς ἀλληγορίας ἀλλ' εὐσεβοῦς θεωρίας. ὥσπερ οὖν ὁ υἱὸς θεοῦ, ἐνανθρωπήσας καὶ παθὼν τῇ σαρκὶ, τε ἀναστὰς ἐκ τῶν νεκρῶν, καὶ ἀναληφθεὶς εἰς οὐρα-

νὸν κάθηται ἐκ δεξιῶν πατρὸς παντοδυνάμου, ἀληθινῶς μὲν καὶ χωρὶς πάσης ἀλληγορίας τε καὶ ὑπονοίας καὶ πλάσεως διανοητικῆς, οὐκ ἐν περιγραφῇ δὲ τόπου ἢ λογισμοῦ ἀνθρωπίνου, ἀλλ᾽ ἀχωρήτως τε πάσῃ κτίσει, καὶ ἀνεκδιηγήτως τῇ φράσει, καὶ ἀκαταλήπτως τῷ νοῒ τῶν ἀνθρώπων, οὕτω καὶ τὸ σῶμα καὶ τὸ αἷμα ἰησοῦ χριστοῦ, διαδίδοται ἐν τῇ ἐκκλησίᾳ κατὰ τὴν κυριακὴν διάταξιν, ἀτρεκῶς μὲν καὶ τῷ ὄντι, οὐ τροπικῶς ἢ ἐσχηματισμένως τῶν ῥημάτων νοουμένων, ἀλλὰ ἐνδεικνύντων ἁπλῶς τὸ σημαινόμενον, ἀφράστως δὲ καὶ ἀγνώστως καὶ ὑπὲρ πᾶσαν τῶν ἀνθρωπίνων λογισμῶν κατάληψιν, ἐν κοινῇ πίστει τῆς ἐκκλησίας, κατ᾽ ἐνέργειαν θείας δυνάμεως τοῦ ἀϊδίου καὶ παντοκράτορος λόγου θεοῦ, τοῦ ἀεὶ παρόντος καὶ παρισταμένου τῷ ἀνθρωπίνῳ γένει, καὶ ἐπιβατεύοντος ὧδε τῆς γῆς, ἰησοῦ χριστοῦ κυρίου ἡμῶν. περὶ δὲ τούτων, ὡς οὐδὲ περὶ ἄλλων ὧν τινῶν οἷον ὅσα πιστευτέον ἐν ἐκκλησίᾳ, οὐκ ἀπὸ τῶν ἰδίων λογισμῶν δυνάμεθα λέγειν, ἀλλ᾽ ἀπὸ τῆς τῶν γραφῶν ἀκολουθίας, ὥς φησιν ἐπιφάνιος. καὶ οἱ ἐν ὁσίοις τῶν πατέρων πάντως ἐποιήσαντο λό-

γους

γυς οὕτω περὶ τῆς παρουσίας τοῦ ἀληθινοῦ σώματος καὶ αἵματος χριστοῦ, ὥστε ἄγαν ἀναίσχυντον ὑπολήπτεον τὸ ἄλλο φρονεῖν τε καὶ διδάσκειν τολμῶντα μὴ ἀφορίζοντα ἑαυτὸν τῆς ὀρθοδόξου καὶ καθολικῆς ἐκκλησίας. διανέμεται τοίνυν κατὰ τὸ κυριακὸν δεῖπνον ἀτρεκῶς τό, τε τοῦ χριστοῦ σῶμα ἐσθιόμενον καὶ τὸ αἷμα πινόμενον, καὶ τὸ πρᾶγμα ἡ τῆς εὐσεβείας πίστις πάσῃ ἀνθρωπίνῃ νοήσει ἀκατάληπτον ξυνίησι μόνη, ὅτι γίνεται ταῦτα οὐ πλαστῶς οὐδὲ τυπικῶς ἤγουν τροπικῶς καθ' ὑπόνοιάν τινα, ἀλλ' ἀληθῶς κατὰ τὸν νοῦν τῶν ῥημάτων. καὶ ὁ μὴ πιστεύων, καθάπερ λέγει ὁ ἐπιφάνιος, εἶναι αὐτὸν ἀληθινὸν ὡς εἶπεν, ἐκπίπτει τῆς χάριτος καὶ τῆς σωτηρίας. ὅταν δὲ ἀκούσωμεν "
καὶ πιστεύσωμεν, πιστεύομεν ὅτι ἐστὶν αὐτοῦ. "
τὸν δὲ κύριον ἡμῶν οἴδαμεν ὅλον αἴσθησιν, "
ὅλον αἰσθητικὸν, ὅλον θεὸν, ὅλον κινοῦντα, "
ὅλον ἐνεργοῦντα, ὅλον φῶς, ὅλον ἀκατά- "
ληπτον, ἀλλὰ μετὰ χάριτος τὸ παρ' ἡμῖν δε- "
δωρημένον. οὕτως ἐπιφάνιος. δεῖ τοίνυν κἀνταῦθα οὐ σοφίας οὐδὲ περινοήσεως ἀνθρωπίνης ἀλλὰ ὑπακοῆς καὶ πίστεως, μή πως ταῖς προπετεστέραις τῶν διαλέξεων βεβη-

λάσωμεν τὰ ἱερά, καὶ ἐξορχησώμεθα τὰ μυστήρια, τουτέστι τῆς ἀληθείας καὶ χάριτος ἐκπέσωμεν, φρονούντων ὑπὲρ ὃ δεῖ, καὶ σχολαζόντων ζητήσεσι μᾶλλον ἢ οἰκοδομαῖς. περὶ τούτων ἄρα εἰπόντων ἕως ὧδε μετρίως, διελευσόμεθα καὶ τὰ λοιπά. λοιπὸν δὲ περὶ τῆς σωτηρίου χρήσεως τοῦ κυριακοῦ δείπνου ἔτι ποιήσασθαι τὸν λόγον. ὅτι μὲν οὖν καὶ σφραγῖδος τόπον ἐπέχει, μαθεῖν ἔστιν ἐκ τοῦ ῥητοῦ, τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. καὶ τοῦτό ἐστι τὸ αἷμά μου τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ὁ ἱκανὼν ἄρα σαφὴς. ὅτι οἱ αἰσθανόμενοι τοῦ τῶν ἁμαρτιῶν βάρους, καταφυγεῖν ὀφείλουσι πρὸς τὴν τῆς ἀφέσεως ἐπαγγελίαν, καὶ σπεῦσαι ἀνανεοῦν ταύτην, ὥστε ἐπισφραγισθῆναι ἀεὶ αὐτοῖς τὴν θείαν εὔνοιαν καὶ χάριν. καὶ ἅμα μνήμη γίνεται ἤδε τοῦ μυστηρίου τῆς ἀπολυτρώσεως διὰ τοῦ αἵματος χριστοῦ, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, ὅτι ἐκλήθημεν ὑπὸ θεοῦ εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ ἰησοῦ χριστοῦ κυρίου ἡμῶν. σύσσωμοι τοίνυν τοῦ χριστοῦ γινόμεθα μεταλαβόντος τοῦ σώματος αὐτοῦ, καὶ ῥωννύμεθα τῇ πίστει περι-

όντων

ὄντος τὸ αἷμα ἐν ἐκκλησίᾳ αὐτοῦ. καὶ εὐχαριστοῦμεν ὑπὲρ χριστῷ ἅμα καὶ πιστῷ θεῷ, ὑπὲρ τήν τε χάριν εἰς ἡμᾶς ἐκχέαντι πλουσίως, καὶ τὴν τῆς σωτηρείας καὶ ζωῆς ὑπόσχεσιν τελειώσαντι ἀδιαπτώτως, καὶ κηρύττομεν τὸν θανάτου αὐτοῦ δωρεὰν ἀδιαλείπτως ἐν τῇ τῇδε διαγωγῇ. καὶ ὧδε πᾶσι τούτοις ἀγάπην καὶ φιλοφρόνησιν τὴν περιπτύγματι σχήματι παρὰ τοῖς πάλαι ἐμφαινομένην, κιρνοῦμεν εἰς ἀλλήλους, συσσωματούμενοι καὶ αὐτοὶ καὶ γινόμενοι διαπαντὸς μετὰ χριστοῦ. ὅτι τὸ ποτήριον ὃ εὐλογοῦμεν, φησὶν ὁ παῦλος, ἤγουν ὃ τὸν κύριον εὐλογοῦντες ἐν χερσὶν ἔχομεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ χριστοῦ ἐστί; τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ χριστοῦ ἐστίν; ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν. καὶ ἐκ παρεπομένου δὴ, ἐστὶ τοῦτο σύμβολον καὶ σημεῖον φανερὸν τῆς καθ᾽ ὁμολογίαν συμπνοίας ἐν πίστει τῶν χριστιανῶν, καὶ ἀφορισμὸς τοῦ χριστιανικοῦ ὁμίλου καὶ συλλόγου, ἀπ᾽ ἄλλων πασῶν συναγωγῶν καὶ ὁμηγύρεων. ταῦτα δὴ πάντα καὶ παραδεδόσθαι ὑπό τε τοῦ χριστοῦ καὶ τῶν ἀποστόλων τρόπον τοῦτον, σαφέστατά πως δείκνυται κἀκ τῶν ὀνομασι=

ὧν ἃς παρειλήφαμεν, διά τε κοινωνίας (κοινωνία γὰρ αὕτη τοῦ τε χριστοῦ μεθ' ἡμῶν καὶ τῶν πιστῶν μετ' ἀλλήλων) καὶ τῆς εὐλογίας καὶ εὐχαριστίας, ὅτι οἱ μεταλαμβάνοντες, εὐχαριστοῦντες εὐλογοῦσι τὸν δεδωρημένον αὐτὸν αὐτοῖς: καὶ τοῦ κυριακοῦ δείπνου, ὡς οὔσης πνευματικῆς ταύτης εὐωχίας, καὶ φιλοφρονήσεως πιστῆς, καὶ ἀγάπης ἀνυποκρίτου, ἐν κοινῇ δι' εὐσεβείας χαρᾷ καὶ ἱλαρότητι, οἷς γε δοκιμάζουσιν αὐτοὺς, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθίουσι, καὶ ἐκ τοῦ ποτηρίου πίνουσιν. ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ κυρίου.

Περὶ λειτουργίας.

Προσηγόρευον δὲ τὸ πρᾶγμα οἱ παλαιοὶ καὶ σύναξιν, διὰ τὸ μηδέ ποτε συνάγεσθαι τὴν ἀδελφότητα, μηδ' ἐκκλησιάζειν, ἐκτὸς τῆς κοινωνίας τοῦ σώματος καὶ αἵματος χριστοῦ, μετωνυμικῶς τοίνυν καὶ αὕτη ἐκλήθη σύναξις, καὶ τὸ πράξεως ῥῆμα, συνάγεσθαι καὶ ἐκκλησιάζειν. ἐπεὶ δὲ τότε τὰ προσήκοντα πάντα ἐτελοῦντο, ἥ τε κήρυξις φημὶ τοῦ λόγου, καὶ αἱ προσευχαὶ καὶ δεή-

σεις, καὶ ἱκετεύσεις καὶ οἱ ὕμνοι, καὶ ἡ ἐπί=
σκεψις τῆς χηρείας τῶν ἀδελφῶν, καὶ αἱ
ἐλεημοσύναι, τὸ πᾶν λειτουργία καὶ προσ=
φορὰ καὶ προσκομιδὴ ὠνομάσθη. λειτουρ=
γία μὲν διὰ τὰς κοινὰς ὑπηρεσίας καὶ κα=
τεργασίας τῶν ἀναγκαίων καὶ δεόντων,
προσφορὰ δὲ, διὰ τὰς συγκομιζομένας τό=
τε εὐλογίας καὶ δωρεὰς πρὸς τὰς ἐκκλη=
σιαστικὰς χρείας. εἰσὶ δὲ οἷς οὐκ ἀπιθάνως
δοκεῖ καὶ προσφορὰν κεκλῆσθαι τὴν κοινω=
νίαν ταύτην, ὅτι κατὰ τὸ τῆς ἐκκλησίας ἔ=
θος, προσφέρει ὁ λειτουργὸς ἤγουν ὁ πρεσ=
βύτερος ἢ ἐπίσκοπος, ὃν ἱεράρχην ὠνό=
μασεν ὁ διονύσιος, τὸ σῶμα καὶ τὸ αἷμα
χριστοῦ τοῖς κοινωνοῦσι τοῦ κυριακοῦ δείπνου,
μεταχὼν καὶ μεταδιδοὺς, τῆς θεαρχικῆς κατὰ
τὸν διονύσιον κοινωνίας. καὶ οὕτω πως ἐκέ
χρηντο τῷ ὀνόματι οἱ ἐν νικαίᾳ τὸ πρῶτον
συνελθόντες. οὐ μόνον δὲ, ἀλλὰ καὶ θυσίαν,
καὶ μετὰ προσθήκης θυσίαν ἀναίμακτον,
εἰσὶν οἳ τὴν σύναξιν ἐκάλεσαν, ἐπεὶ αὕτη
ἐστὶν ἡ τῶν χριστιανῶν ἀληθινὴ καὶ μόνη θυ=
σία ἡ τῆς αἰνέσεως, ἣν ἀναφέρομεν, ὡς γέ=
γραπται ἐν τῇ πρὸς ἑβραίους, διαπαντὸς
τῷ θεῷ, τουτέστι καρπὸν χειλέων, ὁμολο=

γονύτων ὑπὲρ ὀνόματι αὐτοῦ. τὸ δὲ καρπὸν τῶν χειλέων, παρειλημμένον ἐκ τῶν ὡσηὲ τοῦ προφήτου, μεθαρμόζουσαί τινες, μόσχους τῶν χειλέων, ὥστε ἐμφατικῶς ἐπισημανθῆναι θυσίαν καινὴν, ἥ τις ἐστὶ ἡ τῶν χριστιανῶν. καθόσον μὲν οὖν κοινωνίας ἐστὶ τὸ μυστήριον καὶ ὡς ἐπισφραγισμὸς νοεῖται τῆς ἐπαγγελίας τὸ γινόμενον, ὅτι οὐκ ἂν εἴη θυσία οὔτε λέγοιτο κυρίως, δῆλον. χάριτος γὰρ καὶ δωρεᾶς ἔργον ἐστὶν, οὐχ ὃ προσφέρομεν τῷ θεῷ ἡμεῖς, ἀλλ' ὃ λαμβάνομεν χαριζόμενον. ὁ δὲ θυσιάζων αὐτὸς δήπου ὁ προσφέρων ἐστί. καθόσον δὲ εὐχαριστία ἐστί τε καὶ λέγεται τὸ πρᾶγμα, καὶ δὴ καὶ μνήμη τοῦ κυριακοῦ θανάτου, θυσία ἄρα προσρηθείη ἂν οὐκ ἀπεικότως, τὸ μὲν, ὡς εὐχαριστίαν προσφερόντων ἡμῶν καὶ μεταξὺ δεομένων τυχεῖν ἐλέους, ἱκετευόντων θ' ὑπὲρ ἡμῶν καὶ τῶν ἄλλων, καὶ ἐπικαλουμένων τὸ θεοῦ σωτήριον, τὸ δὲ, ὡς μόνου καὶ ἐφ' ἅπαξ τετελεσμένου θύματος μεμνημένοι τοῦ χριστοῦ, τοῦ γενομένου ὑπὲρ ἡμῶν κατάρα, ὅτε ὁ θεὸς τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν ἵν' ἡμεῖς γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ. καὶ οὕτω νοοῦντες οἱ ἐν ὁσίοις

πατέ-

πατρὸς ὑπὲρ τῆς θυσίας ἐνταῦθα ὀνόματι ἐχρήσαντο. καθάπερ σαφῶς παρίστησιν ὁ εὐσέβιος, ὥστε μαρτύρων ἄλλων δεῖσθαι ἡμᾶς οὐδέν. ὁ τοίνυν εὐσέβιος κατὰ τέλος τῆς πρώτης βίβλου τῆς εὐαγγελικῆς ἀποδείξεως, προειρηκὼς ὅτι κατὰ τὰς προφητικὰς γραφὰς, ἅπαντες ἄνθρωποι ἓν ἔχουσι λύτρον, τὸ τοῦ παντὸς κόσμου καθάρσιον ἱερεῖον, τὸ ἀντίψυχον πάντων ἀνθρώπων, τὸ θεοφιλὲς καὶ ἁγνὸν πρόβατον, τὸν κύριον ἰησοῦν, ἐπὶ διὰ τοῦτο εἰκότως τὴν τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος τὴν ὑπόμνησιν ὁσημέραι ἐπιτελοῦμεν, ἐπιλέγει, ἀναγραψάμενος τὸ ἐκ ψαλμοῦ ῥητὸν, εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ, ὅτι ὁ προφήτης ἄντικρυς ἀντὶ τῶν πάλαι θυσιῶν καὶ ὁλοκαυτωμάτων τὴν ἔνσαρκον τοῦ χριστοῦ παρουσίαν, καὶ τὸ καταρτισθὲν αὐτοῦ σῶμα προσενηνέχθαι ὑπὲρ θεῷ διδάξας, τοῦτό τε αὐτὸ τῇ αὐτοῦ ἐκκλησίᾳ εὐαγγελίζεται, ὡς ἂν μέγα μυστήριον, ἐν κεφαλίδι βιβλίου τῇ προφητικῇ φωνῇ προαναπεφωνημένον. τούτου δῆτα, φησι, τοῦ θύματος τὴν μνήμην ἐπὶ τραπέζης ἐκτελεῖν διὰ συμβόλων, τοῦ τε σώματος αὐτοῦ καὶ τοῦ

σωτη-

σωτηρίου αἵματος, κατὰ θεσμοὺς τῆς καινῆς διαθήκης παρειληφότες, πάλιν ὑπὸ τοῦ προφήτου δαβὶδ παιδευόμεθα λέγειν, ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με. ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡς κράτιστον. διαῤῥήδην γοῦν ἐν τούτοις καὶ τὸ μυστικὸν σημαίνεται χρῖσμα, καὶ τὰ σεμνὰ τῆς χριστοῦ τραπέζης θύματα, δι' ὧν καλλιεροῦντες τὰς ἀναίμους καὶ λογικὰς αὐτῷ τε προσηνεῖς θυσίας διὰ παντὸς βίου τῷ ἐπὶ πάντων προσφέρειν θεῷ, διὰ τοῦ πάντων ἀνωτάτω ἀρχιερέως αὐτοῦ δεδιδάγμεθα. καὶ μετ' ὀλίγον. ταύτας δὲ πάλιν τὰς ἀσωμάτους καὶ νοερὰς θυσίας τὰ προφητικὰ κηρύσσει λόγια, ὧδέ πη περιέχοντα, θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε καὶ δοξάσεις με. καὶ πάλιν, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. καὶ αὖθις, θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον. ταῦτα δὴ οὖν πάντα ἐξ αἰῶνος τε θεσπισμένα διὰ τῆς εὐαγγελικῆς τοῦ σωτῆρος ἡμῶν διδασκαλίας, κατὰ τὸ πα-

ρόντα

ρόντα καιρὸν πρὸς ἁπάντων τῶν ἐθνῶν ἐκτελεῖται. ἀληθείας ἐπιμαρτυρούσης τῇ προφητικῇ φωνῇ, δι' ἧς τὰς κατὰ μωσέα θυσίας ὁ θεὸς παραιτησάμενος, τὸ μέλλον ἔσεσθαι καθ' ἡμᾶς αὐτοὺς θεσπίζει, λέγων, διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά. θύομεν δῆτα τοιγαροῦν, τῷ ἐπὶ πάντων θεῷ θυσίαν αἰνέσεως, θύομεν τὸ ἔνθεον καὶ σεμνὸν καὶ ἱεροπρεπὲς θῦμα, θύομεν καινῶς κατὰ τὴν καινὴν διαθήκην τὴν καθαρὰν θυσίαν, θυσία δὲ τῷ θεῷ πνεῦμα συντετριμμένον εἴρηται, καρδίαν γοῦν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει. καὶ δὴ καὶ θυμιῶμεν τὸ προφητικὸν θυμίαμα, ἐν παντὶ τόπῳ προσκομίζοντες αὐτῷ τὸν εὐώδη καρπὸν τῆς παναρέτου θεολογίας, διὰ τῶν πρὸς αὐτὸν εὐχῶν ἀναφέροντες. τοῦτό τοι καὶ ἄλλος διδάσκει προφήτης, ὁ φήσας γενηθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου. οὐκοῦν καὶ θύομεν καὶ θυμιῶμεν, τοτὲ μὲν τὴν μνήμην τοῦ μεγάλου θύματος κατὰ τὰ πρὸς αὐ-

τοῦ

τοῦ παραδοθέντα μυστήρια ἐπιτελοῦντος, καὶ τὴν ὑπὲρ σωτηρίας ἡμῶν εὐχαριστίαν διὰ εὐσεβῶν ὕμνων τε καὶ εὐχῶν τῷ θεῷ προσκομίζοντος, τοτὲ δὲ σφᾶς αὐτοὺς ὅλω καθιεροῦντος αὐτῷ, καὶ τῷ γε ἀρχιερεῖ αὐτοῦ λόγῳ, αὐτῷ σώματι καὶ ψυχῇ ἀνακείμενοι. ταύτην τὴν ῥῆσιν διήγημαι, αὐτοῖς τοῖς ῥήμασι, καίπερ οὖσαν μακροτέραν, καὶ οὐκ εἰωθός μοι ποιεῖν τοῦτο, ὅμως ἀπεμνημονεύσας, διά τε τὸ τρανὲς τῆς ἀφηγήσεως, καὶ ἵνα ἔχῃ τις, ὅταν δέῃ, τί ἀποκρίνοιτο τοῖς καταψευδομένοις τῶν πάλαι ἐν ὁσίοις, πρὸς τὸ ἐπιστομίσαι αὐτοὺς εἰ δυνατὸν, ἀναισχύντως τολμῶντας κατασκευάσαι ὡς καθολικὴν ὁμόνοιαν τὴν ἀνόσιον διδαχὴν περὶ ἀλλοκότων καὶ ποιητικῶν θυσιῶν τῶν ἐπιπολαζουσῶν ἐπὶ βλασφημίᾳ τοῦ μόνου σωτηρίου θύματος ἀμνοῦ θεοῦ, καὶ πρὸς τὴν κατασκευὴν καταχρωμένων ἀποσπάσμασί τισι τῶν τοῖς πάλαι γεγραμμένων λόγων, ὧν οὔτε τὸν νοῦν οὔτε τὴν ἑρμηνείαν ὑπὸ τῆς ἀπαιδευσίας ξυνιέναι δύνανται, καὶ μάρτυρας ποιοῦντων αὐτοὺς, ἐκείνων ἃ οὐδ' ὄναρ φανταζόμενα ἐπῆλθεν αὐτοῖς, καὶ νῦν οὗτοι μάλιστα μιγνύντος κατὰ τὸ πα-

ροιμιῶ

ροιμιῶδες, κινῆσαι τοῖς ὀνέοις, ταράσσουσιν ἅπαντα, οὐδ' ἐῶσι κατάστασιν λαβεῖν τὰ κινηθέντα. ἀλλ' ἴσος γὰρ ὁ μόχθος ἐπ' ἀόνι κύματα μετρεῖν, καὶ φιλονεικίῃ βεβλαμμένον ἄνδρα περιελθεῖν, χαιρέτω ὅστις τοῖος, κατὰ τὸν ποιητὴν, καὶ ἐμφορείσθω τῆς ψευδολογίας, ἐπεὶ νικήσει ἐπ' ἐσχάτων ἡ ἀλήθεια. περὶ δὲ τοῦ τῆς λειτουργίας ὀνόματος πάνυ τοῦ τῆς ἑλλαδικῆς γλώσσης ἐπαΐοντι γνώριμον, ὅτι σημαίνει προστασίαν τινὰ ὑπηρετικὴν ἐν τῷ δήμῳ. λήϊτον γὰρ, φησὶν ὁ πλούταρχος ἐν ῥωμύλῳ καλοῦσιν ἕλληνες δῆμον. ἡρόδοτος δὲ τοὺς ἀχαιοὺς οὕτω καλεῖν λέγει τὸ πρυτανεῖον. δημόσιον τοίνυν ὑπηρέτημα σημαίνεται τῷ ὀνόματι ὡς ἐν τοῖς τῶν ῥητόρων λόγοις πανταχοῦ εὑρίσκεται. καὶ ὁ παῦλος λειτουργὸν τῆς αὐτοῦ χρείας γενέσθαι λέγει τὸν ἐπαφρόδιτον, δι' οὗ ἦσαν πεπομφότες οἱ φιλιππήσιοι τὰ πρὸς χρείαν τῷ ἀποστόλῳ καὶ ἐν τῇ πρὸς ἑβραίους γέγραπται, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα, ἐκ ψαλμοῦ ρϛ'. καὶ πάλιν, τῶν ἁγίων λειτουργός. καὶ ἐν τῇ τῶν πράξεων βίβλῳ, λειτουργούντων δ' αὐτῶν τῷ

κυρίῳ,

κυρίῳ, καὶ νηστευόντων. τί δ' ἐστι φησὶν ὁ χρυσόστομος λειτουργούντων; τουτέστι κηρυττόντων. νοητέον δὲ οὐχ ἧττον καὶ περὶ πάσης πνευματικῆς θρησκείας καὶ λατρείας εὐαγγελικῆς τὸ λεγόμενον. καὶ ταῦτα μὲν ἔχει ἐπ' ἀληθείας καθάπερ ἐξεθήκαμεν, ἐκανόνισαν δὲ διατάξαντες τὰ γενησόμενα ἐν ταῖς ἐκκλησίαις καὶ τῇ συνάξει, καὶ διακοσμήσαντες τὰς λειτουργίας, ὥστε εὐσχήμως τε καὶ θεοπρεπῶς πράττεσθαι ἅπαντα, οἱ καθ' ἑκάστους τόπους καὶ χρόνους ἐπίσκοποι, καὶ πρῶτος κατὰ παράδοσίν τινα ἐν ἱεροσολύμοις ὁ ἰάκωβος. καὶ μακρῷ χρόνῳ ὕστερον ὅ, τε βασίλειος καὶ ὁ χρυσόστομος. τούτων μέντοι ἃ περιφέρεται καὶ περιῆλθεν εἰς ἡμᾶς ἔχοντα τὴν ἐπιγραφὴν, ἐπισκέψεως δεῖται καὶ ἐξετάσεως πάνυ ἀκριβοῦς καὶ ἐπιμελοῦς. οὔτε γὰρ οἱ φερόμενοι τῶν κανόνων ὁμοειδεῖς εἰσι, καὶ ἡ τῶν ἑκάστοτε αὔξειν βουλομένων τὴν θρησκείαν περιεργία, τοῖς ἐμβλήμασιν ἐλωβήσατό που τὰ τῶν πρότερον οἰκοδομήματα. τούτων δ' ἐχόντων ὅπως οὖν ἄρ' ἔχει, ἡ δὴ λειτουργία ὡσαύτως καὶ ἡ σύναξις τοῦτό ἐστι τε καὶ ἐνδείκνυσιν ὅπερ εἴρηται. ἐπεὶ δ' ἦν οὐδὲν ἄλλο ἢ τὸ δη-

μοσίως

μοσίως ἐπιτηδευόμενον ἐν ἐκκλησιαστικοῖς συλλόγοις κατ' ἐπιταγὴν τοῦ κυρίου, καὶ εὐσεβῆ θεσμὸν ἢ κανόνα τῆς εὐλαβοῦς εὐσχημοσύνης καὶ κοσμίου εὐταξίας, οὐδαμῶς ἐν νοίᾳ παριστώσης τῆς λέξεως θυσίας, οὐδὲ τελουμένης ταύτης ἐπ' ἀληθείᾳ ἐνταῦθα, τοιουτοτρόπου γε, οἵας ἐκδεχόμενοί τινες τὴν πρᾶξιν ἅπασαν διέφθειραν, τῇ μὲν θρησκείαν ἰουδαϊκὴν, τῇ δὲ ἑλληνικὴν μυσταγωγίαν εἰσφρήσαντες τῇ θείᾳ καὶ ἐνδόξῳ παραδόσει, ἀσεβῶς καὶ ἐξαγίστως δολώσαντες τὸν τῆς ἀληθείας λόγον, καὶ τὴν τοῦ χριστοῦ διαθήκην ἀκυρώσαντες. καὶ οἱ μὲν δυτικοὶ τοῖς νυνὶ τούτοις ἐσχάτοις καιροῖς, οὕτως ἐλάλησαν περὶ τούτων, ὥστε οὐκ οἴονται εἶναι οὐδ' ἔνια τὰ φραζόμενα ὑπὲρ τῇ τῆς ἀληθείας διαστροφῇ ὑπ' αὐτῶν διερμηνεῦσαι, ὅπου καὶ ἐκεῖνοι βαρβαρίζοντες καὶ καινήν τινα τῶν λόγων μορφὴν πλάσαντες, οὕτως ἐξηγόρευσαν, τὰ ἀνεκδιήγητα καὶ ἀνενόητα πᾶσι τοῖς μὴ τερατευομένοις γοήτων δίκην, καὶ κολακεύουσι ὑπὸ ταῖς ἀπάταις τῆς ματαιολογιῶν σφᾶς αὐτούς. πάντως δὲ καὶ παρὰ τοῖς ἕλλησιν ἐν ἀπροσεξίᾳ καὶ ἀπαιδευσίᾳ, ὑπεισέδυ ψεύδη κἀνταῦθα, καὶ τοι

ἀκέραιον τοῦ πράγματος ἀπώλετο, καὶ ἀνθυπεβλήθη πολλὰ οὔτε προσήκοντα τῷ πράγματι οὔτε τῇ ἀποστολικῇ κατὰ τὴν τοῦ Χριστοῦ ἐντολὴν παραδόσει συνῳδά, οὔτε ὅλως ὅσια ὑπάρχοντα. ἔστι δὲ τὰ τῆδε μάλιστα τῶν τῆς ἀληθείας λύμῃ ὑπεισεληλυθότα δύο τάδε τὰ δεινότατα, τό, τε εἰς ἱλαστήριον τι ἱερούργημα ὑπὲρ ἄλλων, ζώντων τε καὶ νεκρῶν, καὶ κατ᾽ ἰδίαν ἐκτελούμενον μετηλλάχθαι τὴν κοινωνίαν τοῦ κυριακοῦ δείπνου, καὶ τὸ ἀλλοκότους τινὰς ἐπικλήσεις τῶν ἁγίων ἐπιμεμῖχθαι. τούτου δ᾽ αἴτιον ἁπάντων οὐχ ἥκιστά τις οἴοιτ᾽ ἂν γεγονέναι τὴν τῶν ἀρχαίων ἐθῶν ἄγνοιαν, καὶ παρατροπήν, ὅτι οὐδέ ποτε συνήγοντο τὸ πάλαι ἐκκλησιάζοντες, ὥστε μὴ καὶ κοινωνίαν τελέσαι τοῦ κυριακοῦ δείπνου. συναγόμενοι δὲ μνήμας ἐποιοῦντο, ὡς καὶ τοῦτ᾽ ἐν τοῖς ἄνω ἐλέχθη, τῶν ἁγίων, οὕς τε τιμῶν ἐξαιρέτων ἀξίους ἐνόμιζον, καὶ τῶν ἄλλων ἀποιχομένων, ἐν ἑκάστῃ ἐκκλησίᾳ. καὶ ἐμάθομεν τοῦτο τὸ ἔθος τρανῶς διασαφηνισθὲν ἐν τοῖς τοῦ Διονυσίου. οὕτω τοίνυν ἔλεγον ὑπὲρ τῶν προαπεληλυθότων ἁγίων καὶ πιστῶν συνάξεις γίνεσθαι καὶ προσφοράς, ὥσπερ δὴ

καὶ

καὶ δεήσεις. ἐγίνοντο γὰρ ἐπὶ τῇ μνήμῃ αὐτῶν. καθάπερ ὁ παῦλος περὶ βαπτιζομένων ὑπὲρ τῶν νεκρῶν λέγει, τῶν βαπτιζομένων, ἤτοι ὥσπερ νεκρῶν εἰς τὸν τοῦ χριστοῦ θάνατον. ἢ παρὰ τοῖς μνημείοις. ἢ ἐπὶ μνείᾳ τῶν κεκοιμημένων, ἢ πρὸς τοῖς οἰχομένοις καὶ προκειμένοις ἔτι ἐν τῇ ἐκκλησίᾳ, ἢ ὅπως δὴ. οὐ γὰρ περὶ ἀλλοτρίου ἔργου καὶ οἷον ἀντιπίστου βαπτίσματος γέγραπται ταῦτα, ἀλλ' ἐν συνηθείᾳ οὕτως ὅσιον. καίπερ τῇ ὑπὲρ, χρησαμένου τοῦ ἀποστόλου. ὡσαύτως δ' ἐν ταῦτα εὐρεθείσης τοῦ περὶ ὕπερ, κατασκευάζοι τις εὐθὺς οὐκ οἶδ' ὅτι περὶ θυσίας ἀντιλύτρου καὶ ἀξιομίσθου τινὸς, εἰ μὴ ὁ τὴν τῆς πίστεως ἀναλογίαν παρορώμενος, καὶ ἀλλότριος ὢν τῆς ἀληθείας, ἢ καὶ ἐν ἀδικίᾳ καὶ ψεύδει κατέχων αὐτήν.

Περὶ ἄλλων τινῶν ὀνομαζομένων μυστηρίων.

Περὶ δὲ τῶν ἄλλων ἃ μυστήρια καλοῦσιν οἱ πολλοὶ, οὐκ ἂν οἰκεία ἴσως νομισθείη ἡ διέξετασις τῷ κατηχητικῷ τρόπῳ. ἡμεῖς δ' ἐνταῦθα μεμνημένοι τοῦ ἐκτεθέντος ὁρισμοῦ σαφῶς γνωσόμεθα οἷς ἁρμόδιον τοὔνομα

καὶ οἷς μή. εἰδ' οὖν καὶ ἄλλας τινὰς ἐν ἐκκλησίᾳ πράξεις οὕτω καλεῖν ἐθέλοι τις, διορισμοῦ δεήσεται ἐξ ὑπαρχῆς, ἵνα μὴ σφαλθείη περὶ τὴν λέξιν. καὶ γὰρ δὴ καὶ ἡ προσευχὴ μυστήριον ἂν εἴη πως καὶ ἡ ἐλεημοσύνη καὶ αἱ θλίψεις τῶν εὐσεβῶν. περὶ δὲ τῆς κληρουχίας εἴρηται. τί δὲ φήσομεν περὶ τοῦ τοῦ μύρου ἤγουν χρίσματος, καὶ τῶν ἱερέων τε καὶ ἱεραρχῶν τελειώσεων; περὶ μὲν τοῦ ἱερατικοῦ τάγματος, ἥτε χρεία φανερὰ καὶ ἡ παράδοσις οὐκ ἄδηλος. ὅτι δὲ κατὰ παλαιόν τι ἔθος ἐπετίθεντο τοῖς καθιερουμένοις αἱ χεῖρες οὐδὲ τοῦτο τῶν ἀγνοουμένων ἐστίν. ἡ δὲ τοῦ μύρου ἤγουν χρίσματος θεοπαράδοτος χρῆσις ἀρχαία καὶ ἰουδαϊκὴ ὑπάρχουσα καὶ αὐτή, παντάπασι τοῖς ἡμετέροις καιροῖς ἐν καταχρήσει διαφθαρεῖσα ἀπώλετο, ὥστε τῇ τῆς ὑγιοῦς διδαχῆς ἀκολουθίᾳ ἐναντίαν πρᾶξιν, οὐδαμῶς δύνασθαι τοὺς εὐλαβεῖς, καταδέξασθαι ὡς ἀποστολικὴν παράδοσιν. τὰ αὐτὰ καὶ περὶ τῶν ὀνομαζομένων ἐπισφραγίσεων ἐπισκοπικῶν εἴποιμεν ἄν, εἰς ἃς κατηχητικαί τινες πραγματεῖαι, παραφθαρῆναι δοκοῦσιν. αἱ δὲ τῶν ἀψύχων καθιερώσεις καὶ ἐπιχειρήσεις προφανῶς εἰσὶ λω-

βαὶ τῆς εὐσεβείας καὶ πλάνη δαιμόνιος. τὴν δὲ τῶν κεκοιμημένων ἐκκομιδὴν καὶ περὶ τὰς ταφὰς σπουδὴν, οὔτε κενὴν οὔτε ματαίαν ἡγητέον. γενήσεται τοίνυν τότε πάντα εὐπρεπῶς τε καὶ μετὰ προσηκούσης ἐπιμελείας καὶ φροντίδος. οὐδὲν δὲ ἐξαιρέτως μυστικὸν ἐστὶ τῇ πράξει, ὥσπερ οὐδ' ἐν ταῖς γαμικαῖς συζεύξεσι. τὰ δὲ μοναχικὰ, οὐδὲ μὲν οἷα περ οὖσιν, οὐ γὰρ ἐρῶ κακῶς, κατὰ τὴν τραγῳδίαν, τὰ δὲ ἡμῖν γνώριμα ἡ τῆς ἀληθείας εὐσέβεια καὶ ἁπλότης τρόπου χριστιανικοῦ οὐκ ἐπιγινώσκει. περὶ δὲ ἀσκήσεως τεκμήραιτ' ἄν τις ἔτι καὶ παρὰ τὰ πρότερον εἰρημένα οὐκ ἀπεικότως ἴσως καὶ ὧδέπως· θαυμασθῆναι ἐν ἐκκλησίᾳ καὶ διὰ τιμῆς ἦχθαι αὐτὰς δι' αἰτίας δύο μάλιστα, τὸ μὲν ἵνα παιδεία εἴη αὐτὴ τῆς σεμνοῦ καὶ ἐναρέτου ἀγωγῆς, ἐθιζομένων ἀεί τινῶν, τῶν τε ἡδέων εὐκόλως ἀπέχεσθαι, καὶ τὰ λυπηρὰ φέρειν ἀνδρείως, καὶ ἐν πᾶσι ῥαδίως ἐγκρατεύεσθαι. τὸ δὲ ἵν' ἀνεμπόδιστος εἴη ὁ τοῦ κηρύγματος δρόμος καὶ ἄοκνος ἡ ἐξομολόγησις ὅταν δέῃ. διὰ γὰρ τὰς ἀπολαύσεις τῶν σωματικῶν καὶ τυχηρῶν νομιζομένων ἀγαθῶν μάλιστα ἀποδειλιᾶν καὶ μαλακί-

ζεσθαι οἱ ἄνθρωποι εἰώθασι. τὰ γοῦν ἐνισῶντα τῇ τε τοῦ κηρύγματος προχωρήσει καὶ τῇ ἐξομολογήσεως παῤῥησίᾳ ἀποσκευάζεσθαι βουλόμενοι οἱ παλαιοί, τὸ ὑποπιάζειν καὶ δουλαγωγεῖν τὸ σῶμα, καὶ κρείττους ἑαυτῶν πάντων τῶν ἔξω ἐπιμελῶς ἤσκησαν, οὐδαμῶς ἱλαστήριόν τινα ἐθελοθρήσκειαν, ἢ μεγαλαυχίαν ἐργασίας μισθαρνητικῆς πρὸς τὸν θεόν, ἢ τελειώσεως ὄγκον, ἢ ἄλλον τινὰ ὅμοιον τῆς ἀσεβείας λῆρον ἐπινοήσαντές τε καὶ περιπλέκοντες τῇ πράξει. ἀμέλει καὶ ἐν τοῖς ὡς βασιλείου φερομένοις ἀσκητικοῖς γέγραπται, ὅτι καθόλου ἡ κάθαρσις χρήζει προηγουμένως τοῦ ἐλέους τοῦ θεοῦ καὶ τοῦ αἵματος τοῦ χριστοῦ, ἐν ᾧ τῶν ἁμαρτιῶν ἔχομεν τὴν ἀπολύτρωσιν, ποιοῦντος ἑκάστοτε τοὺς ἀξίους καρποὺς τῆς μετανοίας. καὶ περὶ μὲν ἁπάντων τούτων μακρότερός τε καὶ ἄλλος ἂν εἴη λόγος. ἡμεῖς δὲ ἐνταῦθα καταπλέκαντες τὸ δεύτερον τῆς ἐν χερσὶ κατηχήσεως μέρος, ἐλευσόμεθα ἐπὶ τὸ τρίτον, τὰ εἰρημένα πρότερον ἐν διερωτήσει ἀνακεφαλαιωσάμενοι. ΚΑΤΗΧΗΤΗΣ. εἰπὲ τοίνυν σύ. πῶς διαστέλλεις ὁριζόμενος τὰ περὶ τοῦ νόμου καὶ εὐαγγελίου; ΠΑΙΣ.

οὕτω πως. ὅτι τὰ τοῦ νόμου παραγγελτικά ἐστι
τοῦ ποιῆσαι καὶ κατεργάσασθαι, πάντα ἃ διέ-
ταξεν ὁ θεὸς, γνωρίσας τὴν ἀΐδιον βούλη-
σιν αὐτοῦ διὰ τῆς ἐνδιαθέτου τε καὶ ἐγγρά-
φου προαγορεύσεως τῶν ἐντολῶν. τούτων δὲ
μὴ τηρουμένων καὶ τοῦ τῶν ἁμαρτιῶν βάρους
πιέζοντος τοὺς ἀνθρώπους βοήθεια παραγέ-
γονε πρὸς τοῦ εὐαγγελίου, ὅπερ ἐστὶ κήρυγμα
χάριτος καὶ εὐδοκίας θείας ἐν τῷ ἐλέει
αὐτοῦ, ἱλασκομένου δι' ἐντεύξεως καὶ μεσι-
τείας μονογενοῦς υἱοῦ κυρίου ἡμῶν Ἰησοῦ χρι-
στοῦ. ὑφ' οὗ ἔχομεν παῤῥησίαν καὶ προσαγω-
γὴν πρὸς τὸν θεὸν ἐν πεποιθήσει τῇ διὰ τῆς
πίστεως αὐτοῦ. ὥστε νοεῖσθαι, εἶναι τὸ εὐαγγέ-
λιον, λόγον χάριτος καὶ εὐνοίας τοῦ θεοῦ,
προσφέροντα σωτηρίαν ἅπασι τοῖς δεχο-
μένοις ἐν ἐπιγνώσει τῆς ἀληθείας, διὰ πίστιν
τὴν εἰς Ἰησοῦν χριστόν. ΚΑΤΗΧ. πῶς δὲ δι-
καιούμεθα, ἁμαρτωλοί γ' ὄντες; εἰπὲ σὺ,
ὁ ἕτερος. ΠΑΙΣ. εἰ μετανοοῦντες πιστεύ-
σαιμεν τῷ εὐαγγελίῳ. δίκαιοι γάρ εἰσι πα-
ρὰ τῷ θεῷ, οἷς μὴ λογίζεται ἡ ἀδικία τῶν
ἁμαρτιῶν, τοῦτο δὲ συμβαίνει γενόμενον ἐν
χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ θεοῦ,
δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύ-

τρωσις, ἵνα καθὼς γέγραπται, πᾶς ὁ καυ-
χώμενος ἐν κυρίῳ καυχάσθω. καὶ οὕτω γι-
νόμεθα κεχαριτωμένοι τῷ θεῷ ἐν τῷ ἠγα-
πημένῳ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν
διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁ-
μαρτιῶν κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ.
ΚΑΤΗΧ. εὖ εἴρηκας. καὶ τοίνυν ἁπλῶς τῇ τε
νοήσει καὶ τοῖς ῥήμασι φυλάξατε, τὸ τοῖς
πιστεύουσιν εἰς τὸν υἱὸν θεοῦ, κύριον ἡμῶν
ἰησοῦν χριστὸν, δίδοσθαι δωρεὰν, τὴν ἄφε-
σιν τῶν ἁμαρτιῶν, καὶ εἶναι δικαίους αὐτοὺς,
διὰ πίστεως τοῦ δικαίου χριστοῦ. μὴ ἐγχανόν-
των ὑπερουρανίοις τισὶ θεωρήμασι, καὶ ἐν
διατρίβοντων λογισμοῖς περιέργοις, ἐκπέ-
σωμεν τῆς σωτηρίας, καὶ ἁμάρτωμεν τοῦ τῆς
ἀληθείας σκοποῦ ἐν ἀμελείᾳ τῆς ἐνσάρκου οἰ-
κονομίας τοῦ υἱοῦ τοῦ θεοῦ. καὶ θελόντων γενέ-
σθαι ὡς θεοί, αὖθις αὖ παράφοροι κατενεχ-
θῶμεν εἰς ὄλεθρον, ὑπεξουσιαζόμενοι τῷ
διαβόλῳ. ὅπερ εὐχώμεθα κωλῦσαι ἀποτρέ-
ποντα αὐτὸν τὸν υἱὸν τοῦ θεοῦ, ὃς ἦλθεν ἵνα
λύσῃ ἔργα τοῦ διαβόλου, ἀμήν. ἀλλ' ἐρέ-
σθω τις ἤδη, τί τὴν πίστιν λέγοντες νοοῦμεν;
ΠΑΙΣ. αὕτη τοίνυν εἴη ἂν βεβαία συγκα-
τάθεσις τῶν ἀκουόντων λόγον θεοῦ, καὶ πε-
ποί-

ποίθησις τῶν χάριτος καὶ ἐλέους αὐτοῦ διὰ
τοῦ σωτῆρος καὶ λυτρωτοῦ τοῦ κυρίου ἡμῶν
ἰησοῦ χριστοῦ, ἔνεργος οὖσα ἐν τοῖς ἁγίοις καὶ
εὐδόκιμος ἐν πάσῃ πράξει καλῇ καὶ ἐναρ=
έτῳ. καὶ ὅπου μὴ γίνεται τοῦτο, ἐκεῖ πίστις νε=
κρὰ εἶναι ὀρθῶς λέγοιτ' ἄν, ἤγουν, μηδαμῶς
ταύτῃ, δι' ἧς τὴν χριστιανικὴν εἶναι βουλό=
μεθα. ΚΑΤΗΧ. καὶ τούτοις προσθείητ' ἄν
ἔτι, ὥσπερ νεκρὰ ἁμαρτία, ἡ μὴ οὖσα οἵα τε
κατάκρισιν ἐπιφέρειν. καὶ δὴ καὶ τὴν καλ=
λίστην ῥῆσιν τὴν ἐν τῇ δευτέρᾳ τοῦ ἁγίου
πέτρου ἐπιστολῇ. ὅτι χάρις καὶ εἰρήνη πλη=
θύνεται ἐν ἐπιγνώσει τοῦ θεοῦ, καὶ ἰησοῦ τοῦ
κυρίου ἡμῶν. ὡς πάντα ἡμῖν τῆς θείας δυ=
νάμεως αὐτοῦ τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν
δεδωρημένης, διὰ τῆς ἐπιγνώσεως τοῦ κα=
λέσαντος ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς, δι'
ὧν τὰ τίμια ἡμῖν καὶ μέγιστα ἐπαγγέλματα
δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας
κοινωνοὶ φύσεως, ἀποφυγόντες τῆς ἐν κόσ=
μῳ ἐν ἐπιθυμίᾳ φθορᾶς. ΠΑΙΣ. οὕτω γένε=
σθω, ἐπειδὴ σὺ κελεύεις. ΚΑΤΗΧΗΤ. τί δὲ
χάριν καλεῖς σύ; ΠΑΙΣ. τὴν τοῦ ἵλεω καὶ
εὐσπλάγχνου θεοῦ εὔνοιαν καὶ ἀγάπην. ἢ
ἐπιλαθόμενος τῶν ἡμαρτημένων, καὶ ἰασά=

μένος τὴν νόσον, καὶ συγγνώμην νείμας ταῖς ἀμπλακίαις ἡμῶν, διὰ τὸν υἱὸν αὐτοῦ, στέργει τε τοὺς πιστεύοντας καὶ πᾶσαν ἀγαθοποιΐαν ἐνδείκνυσιν αὐτοῖς, καὶ συνάγει αὐτοὺς ἐν βασιλείᾳ οὐρανοῦ. πρὸς τὴν σωτηρίαν ψυχῶν, ἥτις ἐστὶ ζωὴ αἰώνιος. ΚΑΤΗΧ. τί δ' ἡμᾶς δέον ἐστὶ ποιεῖν, ἢ τίς δύναμις ἡμετέρα, ἐνταῦθα; ΠΑΙΣ. ἕπεσθαι καὶ πείθεσθαι ἀπροκείτως, ἀκροασαμένους τῆς θείας φωνῆς, καὶ δεχομένους τὸ προσφερόμενον δῶρον εὐχαρίστως. καὶ ποιεῖν καρποὺς ἀξίους τῆς δικαιοσύνης, ἑκόντας καὶ προθύμους. ΚΑΤΗΧ. ἑκούσιον ἄρα τι ἐν ἡμῖν, καὶ ἀξίαν τινὰ τῶν ἔργων ἂν ὀρθῶς λέγοιτο; ΠΑΙΣ. τί μήν; κατά γε τὰ ὑπὸ σοῦ διωρισμένα. ΚΑΤΗΧ. μῶν καὶ ὥσπερ ὑποπίπτοντας τῇ θείᾳ μεγαλειότητι τοὺς πιστεύοντας, εὖ τ' ἔχοι δειμαίνειν καὶ διστάζειν περὶ τῆς εὐαρεστίας καὶ ἀποδοχῆς, καὶ ἀμφιβόλως διακεῖσθαι, περὶ τοῦ, πῶς εὐνοίας ἢ δυσμενείας ἔχει πρὸς αὐτοὺς ὁ θεόν; ΠΑΙΣ. οὐδαμῶς ἔκ γε τῶν εἰρημένων. καὶ εἴη ἂν αὕτη ἤτοι ὑποκρίσεως κουφόνοια ἢ ἀπιστίας ἀθεότης. ὥστε παντάπασιν ἀνθεκτέον, τῆς ἀδιστάκτου καὶ ἀναμφιβόλου καὶ ἀνενδοιάστου πίστεως

πίστεως ἅμα καὶ πεποιθήσεως ἐπὶ τὸν θεὸν, ἐν χριστῷ ἰησοῦ κυρίῳ ἡμῶν. ΚΑΤΗΧ. τίνα δὲ σὺ φῂς, ὁ ὄντως, τὸν θεὸν ὁμολογητέον, ᾧ ἡ πίστις ὀφείλεται τε, καὶ ἡμᾶς ἀποκαταλλάττου σαιώζησι; ΠΑΙΣ. ἕνα μὲν αὐτὸν τῇ φύσει καὶ οὐσίᾳ ἀδιαίρετον πάντως. ἐν τριάδι δὲ τῶν ὑποστάσεων ἢ προσώπων κατὰ τὰς ἰδιότητας θεωρούμενον. ΚΑΤΗΧ. κατὰ ποίας ἰδιότητας καὶ πῶς; μᾶλλον δὲ πρότερον φράσον τί καλεῖς οὐσίαν καὶ τί ὑπόστασιν; ΠΑΙΣ. οὐσίαν μὲν καλοῦμεν τὸ τῆς φύσεως κοινὸν καὶ ἑνοειδὲς, καὶ ἀδιόριστον. καθ' ὃ ἕνα μόνον, ἀΐδιον, ἄναρχον, θεὸν, κατὰ τὸ αὐτὸ ῥῆμα ἐπιγινώσκομέν τε καὶ προσκυνοῦντες σεβόμεθα. τὸ δὲ τῆς ὑποστάσεως ὄνομα. βούλεται διαφορὰς τινας ἀφορίζειν τῶν προσώπων λεγομένων, ἐν οἷς τὸ ἓν, ἡ αὐτὴ μία ἡ θεότης. δι' ὧν ἀνεκδιηγήτως καὶ ἀκαταλήπτως ἐνδείκνυται τὸ θεῖον, οἷόν ἐστιν. ἓν μὲν κατ' οὐσίαν, θεωρούμενον δὲ ἐν τρισὶν ἰδιότησιν, οὐ πλαστῶς οὐδ' ὀνοματικῶς, ἀλλὰ τῷ ὄντι καὶ ἀληθῶς ὑφισταμέναις. καὶ αὕτη ἡ τῆς ἀληθείας ἐπιστήμη, ἧς καθηγητὴς ὁ λόγος τοῦ θεοῦ, σωτήριός ἐστι μόνη. καὶ ὁ ἀγνοῶν ταῦτα οὐδ' ἐν οἶδεν ἐπ' ἀλη-

ἀληθείᾳ περὶ τῶν θείων. ΚΑΤΗΧ. τίς δ' ἐστιν αὕτη ἡ ἐπιστήμη. ΠΑΙΣ. ὅτι ὁ θεὸς πατὴρ πρωταίτιος ἁπάντων, ἄναρχός τε καὶ ἀγέννητός ἐστι. ποιητὴς οὐρανοῦ καὶ γῆς καὶ ἁπάντων κτίστης, ὅσα γ' ἐκτίσθη. ὁ δὲ υἱὸς ἀχρόνως ἐκ τοῦ πατρὸς γεννώμενος, οὐ κτιστὸς οὐδὲ ποιητός. λόγος ἐνυπόστατος, δι' οὗ γεγόνασιν ἅπαντα ὅσα γεγόνασιν. ὁ μεσιτεύων ἀεὶ μεταξὺ θεοῦ τε καὶ ἀνθρώπων. ὁ ἐνανθρωπήσας, ἀναμάρτητον σάρκωσιν ἐσχηκὼς, κατ' ἀλήθειαν ἐκ τῆς θεοτόκου παρθένου μαρίας, ὁ παθὼν καὶ ὑπὲρ ἡμῶν θάνατον ὑπενέγκας. ὁ ἀναστὰς, καὶ ἀναληφθεὶς εἰς οὐρανὸν, καὶ καθήμενος ἐκ δεξιῶν τοῦ θεοῦ πατρὸς, καὶ ἐρχόμενος κρῖναι ζῶντας καὶ νεκρούς. ὁ σωτὴρ καὶ λυτρωτὴς ἡμῶν κύριος ἰησοῦς χριστός. τὸ δὲ ἅγιον πνεῦμα ἐκπορευόμενον ἐκ τοῦ πατρὸς, κατὰ τὰς γραφάς. καὶ οὐδέν γ' ἧττον καὶ τοῦ υἱοῦ πνεῦμα ὄν. ὥστε τὴν τῆς ὁμολογήσεως ἀλήθειαν παρίστασθαι, τὸ ἅγιον πνεῦμα ἔκ τε τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὴν ὑπόστασιν ἔχον. οὐ γεννητὸν οὐδὲ ποιητὸν, ἢ κτιστὸν, ἀλλ' ἐκπορευόμενον ἐκ τοῦ θεοῦ. ἀφ' οὗ πᾶς ἁγιασμὸς παραγίνεται τῇ ἐκκλησίᾳ χριστοῦ. ΚΑΤΗΧ. πῶς δὲ

ἢ ποίῳ

ἢ ποίῳ τρόπῳ. ΠΑΙΣ. διὰ κηρύγματος τοῦ εὐαγγελίου, καὶ χαρισμάτων πνευματικῶν, ἐν ἀφέσει τῶν ἁμαρτιῶν καὶ ἀνακαινίσει νοὸς καὶ ἀποκαταστάσει ὁλοκλήρῳ μετὰ τὴν ἐνθάδε ζωὴν τῆς ἑκάστου κατ' ἰδίαν φύσεως, ἐν ἀναστάσει τῆς σαρκός. ΚΑΤΗΧ. τί καλεῖται ἐκκλησίαν χριστοῦ; ΠΑΙΣ. σύλλογον τῶν ὁμολογούντων τὴν εἰς χριστὸν πίστιν. οἳ ἐκκληθέντες καθολικῷ τῆς ἀληθείας καὶ τοῦ εὐαγγελίου κηρύγματι, ἐπ' ἀφέσει τῶν ἁμαρτιῶν, καὶ ἀνακαινώσει πνευματικῇ καὶ ἁγιασμῷ συναγείρονται, ἐν κοινωνίᾳ τῆς ὑγιοῦς τε διδαχῆς, καὶ πολιτείας ἐννόμου καὶ καθαρᾶς διαγωγῆς ἐν τῷ κόσμῳ. ΚΑΤΗΧ. πῶς ἁγία λέγεται ἡ καθολικὴ ἐκκλησία; ΠΑΙΣ. ὅτι μιᾶς οὔσης τῆς ἐκκλησίας χριστοῦ, ὅσοι ταύτης ἀληθινῶς, οἷον ἑνὸς σώματος μέλη εἰσὶν, ἐκείνους ἀνάγκη ἁγίους καὶ ἀθώους εἶναι ἐν πίστει ἰησοῦ χριστοῦ. ὃς καὶ κεφαλή ἐστι σώματος ἐκείνου. ΚΑΤΗΧ. τίνων δὲ κοινωνία ἐστὶ μεταξὺ τῶν ἁγίων; ΠΑΙΣ. πάντων ὅσα τε τῆς ἀδελφότητος χρεία ἀπαιτεῖ, καὶ μάλιστα τῶν πνευματικῶν. ἐν δὲ πρώτοις τῆς ἐπιγνώσεως τοῦ ἀληθοῦς, καὶ τῆς ὁσιότητος τοῦ πολιτεύματος.

ΚΑ-

ΚΑΤΗΧ. ἡ δὲ σαρκὸς ἀνάστασις πῶς πιστεύεται; ΠΑΙΣ. ὥστε μετὰ τὸν θάνατον, τὸ αὐτὸ σῶμα, ὅπερ οἰχομένης τῆς ψυχῆς νεκρὸν ἐλέλειπτο, ἀποκατασταθῆναι, καὶ ἀναβιῶναι αὖθις, καὶ ζωῆς παραγενέσθαι ἡμᾶς πρὸς κρίσιν, ἐν ἀτελευτήτῳ μετὰ ταῦτα ἤτοι χαρᾷ ἢ ὀδύνῃ διάξοντας. ΚΑΤΗΧ. ἔστι δ' ἔτι τί περὶ οὗ τ' ἐρρήθη, καὶ ὑμᾶς ἀποκρίνασθαι καλῶς ἂν ἔχοι ἐρωτωμένους; ΠΑΙΣ. τὸ περὶ μυστηρίων. ΚΑΤΗΧ. λέγε δή. τί καλεῖς μυστήριον ἐν τῷ παρόντι; ΠΑΙΣ. καλῶ δὴ ἔγωγε κατὰ τὰ λεχθέντα, μυστήριον, τελετὴν ἐν ἐκκλησίᾳ δρωμένης πράξεως θεωρίαν πνευματικὴν ἐχούσης, ἐκ διατάξεως ῥητῆς τοῦ κυρίου τελουμένην, καὶ ἐπισφραγίζουσαν τὴν τῆς σωτηρίας ἐπαγγελίαν. ΚΑΤΗΧ. εὖ τοῦτο δοκεῖς ἀποκρίνασθαι. πόσα δέ τινα ἐστὶ ταῦτα; ΠΑΙΣ. κυρίως μὲν λεγόμενα δύο, τὸ βάπτισμα καὶ δεῖπνον κυριακόν. προσθείη δ' ἂν τούτοις τις, οὐκ ἀπὸ σκοποῦ φράσας ἐπὶ τὴν κληδουχίαν, ὅσον τε πρὸς τὴν χειρεπιθεσίαν καὶ τὴν ἀπόλυσιν ἀνήκει τῶν μετανοούντων. ΚΑΤΗΧ. εἶεν. περὶ δὲ ἄλλων ἃ μυστηριωδῶς τελεῖσθαι ἀξιοῦσί τινες, τί ἂν εἴποιτε. ΠΑΙΣ.

οὐδὲν

ὀλίγον ὡς οἶμαι ἡμεῖς γε. ἀλλὰ τὴν τε σκέψιν τούτων πέρι, καὶ τὴν διάταξιν, λείποιμεν ἑτέροις. φυλαττόμενοι μή τι παρὰ τὰ πρόδηλα ὄντα καὶ γνώριμα ἐκ τοῦ θείου ῥήματος λαλήσωμεν ἢ διανοηθησόμεθα. ΚΑΤΗΧ. οὕτω ποιήσατε. νῦν δ' ἄρα τὰ
λοιπὰ διεξέλθωμεν, καὶ τὸν κο-
λοφῶνα πειρασώμεθα, ἐ-
πιθεῖναι τῇ κατηχου-
τικῇ πραγμα-
τείᾳ.





ΤΡΙΤΟΝ ΜΕΡΟΣ ΤΗΣ ΚΑΤΗ-ΧΗΣΕΩΣ, ΤΟ ΠΕΡΙ ΠΡΟΣΕΥ-ΧΗΣ. ΟΤΙ ΑΝΑΓΚΗ ΠΡΟ-ΣΕΥΧΕΣΘΑΙ ΤΟΥΣ ΕΥΣΕΒΕΙΣ.

ΠΕΡΙ προσευχῆς προὔκειτο ἐν τρίτῃ χώρᾳ εἰπεῖν τι κατὰ τὴν ἡμετέραν κατήχησιν ταύτην. ὅτι μὲν οὖν πᾶς τις, ὁ μὴ παντάπασιν ἐναντίως ταῖς φυσικαῖς ἐννοίαις διακείμενος, ὥσπερ πέπεισται εἶναι θεόν, οὕτω καὶ οἴεται εὔχεσθαι δεῖν ἐπικαλεσαμένους τὴν ἐπικουρίαν αὐτοῦ, δῆλον δ' ἐξ ὧν ἕκαστός τις, ὁ μὴ παραπαίων τῇ γνώμῃ, λογίζεταί τε καὶ φρονεῖ. οἱ δὲ τὴν τῆς ἀληθείας θεοδίδακτον εὐσέβειαν κατηχηθέντες, οἴδασιν, ὅτι τὸ προσεύχεσθαι τῷ θεῷ, ἐντολήν τε καὶ ἐπαγγελίαν ἔχει τοῦ θεοῦ καὶ ἐπιτηδευόμενον ὁσίως καὶ πιστῶς θρησκεία γίνεται ἐν ὑπακοῇ εὐάρεστος τῷ θεῷ, καὶ ἐπιτυγχάνει τῶν ἀγαθῶν, ἃ ὁ ἀψευδὴς θεός,

θεός, διὰ τοῦ ἑρμηνέως τῆς γνώμης αὐτοῦ ἐπηγγείλατο τοῖς προσκαρτεροῦσι τῇ προσευχῇ, καὶ χεῖρας αἴρουσι καθαρὰς πρὸς αὐτὸν ἀδιαλείπτως ἐν παντὶ τόπῳ. εἴρηται γὰρ σαφῶς τοῦτο ἐν ψαλμῷ μθ΄. θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. καὶ ὁ χριστός φησι πρὸς τοὺς μαθητὰς αὐτοῦ, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσ᾽ ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν. καὶ αὖθις ἐν ψαλμῷ. ρμδ΄. ἐγγὺς κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν. ὁ δὲ ἰωὴλ προφήτης λέγει, ὃ παρεξελέξατο ὁ ἅγιος πέτρος δημηγορῶν περὶ τῆς ἐν τῷ χριστῷ τελειωθείσης θείας ἐπαγγελίας, καὶ ἔσται πᾶς ὃς ἐὰν ἐπικαλέσηται τὸ ὄνομα κυρίου σωθήσεται. οὐ μόνον δὲ ἐκέλευσε προσεύχεσθαι τοὺς αὐτοῦ αἰτουμένους ὁ χριστὸς, ἀλλὰ καὶ παντοίως διὰ παραβολῶν καὶ διηγήσεων παραινετικῶν, σπουδὴν καὶ προσοχὴν ἐμποιῆσαι ἐκείνοις ἐμηχανήσατο, τοὺς ἀδιαπαύστως δεομένους ἐπικαλέσασθαι τὸν προστατήσοντα καὶ φυλακῆς αὐτῶν ἐπιμελησόμενον καὶ τἀναγκαῖα παρέξοντα αὐτοῖς θεόν.

Ὅτι ὠφέλιμος ἡ προσευχή.

Περὶ δὲ τῆς τῶν προσευχῶν ὠφελείας, μᾶλλον δὲ τῆς ἀναγκαίας χρείας, ἐνθυμηθήσεται καὶ ἕξει ἐπιμελῶς, φεύξεταί τε τὸ ἀψίκορον, καὶ μηδαμῶς καταφρονήσει τῆς ὠφελείας καὶ δοκούσης μικροπρεπείας τοῦ πράγματος, ὁ αἰσθόμενος τῆς τε ἀνθρωπίνης ἀσθενείας καὶ τοῦ τῶν περιστάσεων δεινοῦ, προορώμενός τε τοῦ ψυχολέθρου ἐχθροῦ, τοῦ διαβόλου φημί, φοβερὰν περιστοίχισιν, τοῦ ἐγχάσκοντος τῇ ἀφανίσει ἡμῶν, καὶ περὶ παντὸς ποιουμένου τὸ λυμήνασθαι ἀεί τι, περί τε σώματι καὶ τῇ οὐσίᾳ ἡμῶν, καὶ ἄλλοις ἅπασιν, οἷς στερισκόμενοι λυπούμεθα καὶ φέρομεν χαλεπῶς. πᾶσαν δὲ μηχανὴν παρασκευάζειν εἴωθε μάλιστα πρὸς τὸ ἀπολέσαι τὴν ψυχήν, ἥπερ ἐστὶν ἀπὸ τῆς ἀληθείας πρὸς τὸ ψεῦδος ἀπαγωγή· διότι οἱ εὐλαβεῖς καὶ φοβούμενοι τὸν θεόν, εὖ ἴσασιν ὅτι συνεχῶς πρὸς τὴν τοῦ διαβόλου ἔφοδον, προβλητέον τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ διὰ πάσης προσευχῆς καὶ δεήσεως, ἐν δεῖ προσεύχεσθαι ἐν παντὶ καιρῷ ἐν πνεύματι.

ὅτι πᾶσιν ἐνδιάθετον τὸ δεῖν προσεύχεσθαι. καὶ περὶ ὁσίου προσευχῆς, περί τε εὐχαριστίας καὶ ὕμνων.

ὅτι δ' ἀκόλουθον τῷ περὶ τοῦ εἶναι θεὸν, τὸ τῆς ἐπικλήσεως καὶ προσευχῆς δόγμα, διὰ τῶν φυσικῶν συλλογίσεων γίνεται φανερόν. εἰ γὰρ πέπεισαί τις εἶναι θεὸν, ἐκεῖνος οἶδε δὴ, ὅτι κατὰ τὸν ὅμηρον, πάντες γε θεῶν χατέουσ' ἄνθρωποι. ἡ τοίνυν χρεία οἷον ὠθοῦσα τοὺς ἐπικουρίας δεομένους, διὰ προσευχῆς ἐπικαλέσασθαι τὴν θείαν βοήθειαν παρασκευάζει, ἔν τε τοῖς ἀπογνωσθεῖσι παρ' ἀνθρώποις καὶ κατὰ τὰς ἀφανεῖς τῶν ξυντυχιῶν. καὶ ἅπαντες ὁπότ' ἂν περιστάῃ αὐτοῖς χαλεπόν τι, καὶ μάλιστα ἢν ἐξαίφνης θορυβηθῶσι ἀπορούμενοι ἐν ταλαιπωρίαις, τότε ἀδιδάκτως ὑπὸ φυσικῆς ἐφορμήσεως πρὸς τὸ ζητῆσαι διὰ τῶν εὐχῶν ἀγαθόν τι καὶ τὴν σωτηρίαν, ἐπιπέρχονται, οὐδὲν ἀμφιλογοῦντες περὶ τῆς προνοίας καὶ ἐπισκέψεως θείας. εἰ δέ τις καὶ τότε μηκέτι γνωσιμαχήσας ἀθεότητα ἀσκεῖ, οὗτος δῆλον ὅτι τῆς ἀνθρωπίνης φύσεως ἠλλοτριώ=

θη καὶ οὐκ ἔστιν ἄρτιος τὰς φρένας. οἷον λέγουσί τινα Διαγόραν ἢ Θεόδωρον, οἶμαι, σκώπτοντά ποτε τοὺς σιωπῶντας, ἀνθρώπους οὐ πάνυ χρηστοὺς εἶναι δοκοῦντας, καὶ οὐδὲν ἧττον τῆς νηὸς χειμαζομένης ἐπικαλουμένους τὸν θεόν, σιγᾶτε, φάναι, μὴ αἴσθοιτο ὑμᾶς ἐκεῖνο πλέοντας ἐνθάδε. παράγουσι τοῖς τε ποιηταῖς καὶ τοῖς ἄλλοις ξυγγραφεῦσιν, ἡ τῆς ἐπικλήσεως καὶ τῶν προσευχῶν ἠθολογία ἐν τοῖς πρώτοις ἐσπουδασμένη εὑρίσκεται. καὶ οὐχ ἥκιστα ἐνταῦθα ἡ τῆς ἀληθείας παραστροφή, καὶ ὁ τῆς δεισιδαιμονίας τῦφος ἐμφανίζεται. περὶ ὧν μακρὸς ἂν εἴη λόγος καὶ ἡμεῖς ἐφθάσαμεν προειρηκότες τινὰ ἤδη. τοσοῦτον δ' οὖν ἐν βραχεῖ νῦν λεχθὲν ἀρκείτω πρὸς κατηχητικὴν ὑποθήκην, ὅτι τὸ τῆς ἐπικλήσεως διὰ προσευχῆς δόγμα, παντάπασιν θεοποιόν ἐστι (ἐπεὶ ὁ προσευχῇ τι μώμενος, πάντως ᾔδει καὶ τεθέαται) προστίθησι γὰρ ἐκείνῳ ᾧ προσευχόμεθα ἀναντιρρήτως, τήν τε τοῦ ἐπακοῦσαι παραχρῆμα δύναμιν καὶ τὸ οἷόν τε εἶναι ῥύσασθαι. ἅπερ ἀμφότερα οὐδενός ἐστιν ἄλλου ὅτι μὴ θεοῦ. ὥσπερ ἄρα ἐνόρκως ἐπιμαρτύρεσθαι ἄλλον ἐκτὸς τοῦ θεοῦ τοὺς εὐσε-

βοῦν-

βοῶντάς ποτε τῶν ἰουδαίων οὐκ εἴασεν ὁ νόμος, ἀλλὰ τὸ παραστήσασθαι τὴν ὁρκωμοσίαν ἐξ ἀνάγκης ἔννοιαν παρουσίας θεοῦ, οὕτως οἰκτέον οὐδαμῶς ἐξεῖναι ἐπικαλεσάμενον προσεύχεσθαι ἑτέρῳ εἰμὴ θεῷ ἀληθινῷ. καὶ τὸν πράττοντα τοῦτο τῆς ἀληθείας ἁμαρτεῖν, καὶ εἶναι τὸ γινόμενον οὐ θεοσέβειαν ἀλλὰ εἰδωλολατρείαν. ἐπεὶ δὲ τὸ προσεύχεσθαι παρὰ θεῷ αἰτούμενον καὶ ἀντιβολοῦντα καὶ ἱκετεύοντα, πᾶσιν ἐνδιάθετον νόμῳ φύσεως ἐφάνη, τοῖς γε θεὸν εἶναι νομίζουσιν, ἕπεται δὴ καὶ τοῦτο, ὅτι ὡσαύτως καὶ οἱ ὕμνοι καὶ αἱ εὐχαριστήσεις οὐκ εἰσὶν ἀνθρώπινοί τινες θεσμοί, ἀλλὰ φυσικὰ νόμιμα καὶ αὐτά, καὶ παρὰ δευτέρῳ τῶν δέκα λόγῳ ἐμπεριλαμβάνονται. καθάπερ ἐπειρασάμεθα δεικνύναι καὶ πρότερον. τοῦτο μὲν γὰρ τὴν μεγαλειότητα καὶ δύναμιν καὶ δόξαν τοῦ νομιζομένου θείου, διὰ τῶν ὕμνων καὶ ᾠδῶν εὐφημίας κηρύττειν, τοῦτο δὲ μεμνῆσθαι τῶν εὐεργεσιῶν τοὺς σωθέντας, καὶ ἐν σκέπῃ τῶν δεινῶν γεγενημένους παρὰ φυλάξαντι καὶ ἐλευθερώσαντι χάριν ἔχειν, εἰκός. τούτων ἄρα τοῦτον τὸν τρόπον ἐχόντων, λείπεται τόδε μόνον σκοπεῖν πῶς ἂν ἡ προσευχὴ

μὴ ἀφαμαρτοῦσα τοῦ ὄντως θεοῦ εὐσεβὴς τε καὶ ἄμωμος καὶ σωτήριος γένοιτο τοῖς χρωμένοις. τοιαύτην δὲ οὐδεμίαν ἄλλην εἶναι νομιστέον ἢ τὴν τῶν χριστιανῶν. οὕτω γὰρ λέγει αὐτὸς ὁ χριστὸς τῇ σαμαρείτιδι, ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν ἰουδαίων ἐστίν. οἱ γὰρ ἰουδαῖοι ἔλαβον τὴν ἐπαγγελίαν περὶ τοῦ σωτηρίου αὐτῶν τε καὶ τοῦ κόσμου. οὐ γὰρ ἔμελλεν ὁ ἰησοῦς ὑπὲρ τοῦ ἰουδαϊκοῦ ἔθνους μόνον ἀποθνήσκειν, ἀλλ' ἵνα καὶ τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν. ὥσπερ οὖν ὁ λόγος τοῦ θεοῦ, ὅς ἐστιν ἰησοῦς χριστὸς, ὡς ἴσμεν πιστεύοντες τοῖς λογίοις, ἐξηγητὴς ἐγενήθη πάντων ὅσα γνῶναι χρεὼν τοὺς ἀνθρώπους περὶ θεοῦ, οὕτω μόνοι οἱ ἀγόμενοι ὑπὸ πνεύματι αὐτοῦ υἱοθετούμενοι χάριτι κράζουσιν, ἀββᾶ ὁ πατὴρ, καὶ οἰκοῦν ἐν τούτοις τὸ τοῦ χριστοῦ πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις αὐτῶν. τὸ γὰρ τί προσευξόμεθα, φησὶν ὁ παῦλος, καθ' ὃ δεῖ, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις. ἐν γὰρ χριστῷ, ὅς ἐστιν υἱὸς ἀληθινὸς τοῦ θεοῦ, εὐδό-

κησε

κησε πᾶν πλήρωμα κατοικῆσαι, καὶ δι' αὐ-
τοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν,
εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ
αὐτοῦ. τὴν μὲν οὖν προσευχὴν οὐκ ἐκ πί-
στεως ἀνηρτῆσθαι δεῖν, πῶς ἂν εἰπεῖν ἢ νοῆ-
σαι δύναιτό τις ἀρτίφρων, φασὶν, ἀνὴρ, οὐχ
ὁρῶ. παιδιὰ γὰρ ἂν ἦν αὕτη καὶ καταγέ-
λως, ἢ μᾶλλον φλυαρία μαινομένη, εὔχε-
σθαί τι μὴ ἐλπίσαντα ἢ πιστεύσαντα εἶναι τόν
τε ἀκούοντα καὶ προσδεχόμενον τὴν δέη-
σιν. ἴσμεν δὲ πρὸς τῶν ἁγίων γραφῶν δι-
δαχθέντες, ὅτι διὰ μόνης τῆς εἰς χριστὸν πί-
στεως προσαγωγὴν ἔχομεν πρὸς τὸν θεόν,
ἡ τοίνυν χριστιανικὴ πίστις μόνη, περὶ ἧς ἤδη
προείρηται, ἀντιποιεῖται τῶν προσευχῶν,
καὶ οὐδεμία ἄλλη τῶν θρησκειῶν ἐκτὸς ταύ-
της προσεύχεται τῷ θεῷ. εἴπερ τὸ προσεύ-
χεσθαι τῷ θεῷ δοξάζειν αὐτόν ἐστιν, ὥσπερ
ἐστίν. οὐδεὶς δὲ ἄπιστος ὢν δοξάζει τὸν θεὸν
(ὁ γὰρ υἱὸς ἀπαύγασμα δόξης θεοῦ ἐστι, καὶ
λέγεται ἐν τῇ πρὸς ἑβραίους) οὐδ' ὅλως δύ-
ναται κατιδεῖν, καίπερ γνοὺς τοῖς ποιήμασι
νοουμένην τὴν δύναμιν καὶ θεότητα αὐτοῦ.
θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε. ὁ μονο-
γενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς,

ἐκεῖνος ἐξηγήσατο. καὶ αὐτός φησιν ὁ χριστὸς, οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰμὴ διὶ ἐμοῦ. τῷ ἄρα τῷ χριστῷ πιστευόντων ἴδιον τὸ προσεύχεσθαι. ἐπεὶ πάντες οἱ εὐσεβεῖς, οἱ πρότερον διὰ χριστὸν εὐπρόσδεκτοι ἐγενήθησαν τῷ θεῷ, καὶ νῦν εἰσι, καὶ ἔσονται ἀεί. τούτων οὕτως ἐχόντων καὶ διασαφηθέντων, ἑξῆς αὖ λεκτέον ποίοις τε ῥήμασι χρώμενοι καὶ τίνα νοῦν ἔχοντες, ὀρθῶς καὶ δεόντως διὰ εὐχῆς ἐντευξαίμεθ' αὖ τῷ θεῷ, πρότερόν γε καθάπερ προσήκει τῇ κατηχητικῇ διδασκαλίᾳ διορισάμενοι τὰ σημαινόμενα τῆς λέξεων, μή τις περὶ ταύτας σφαλλόμενος τῆς ἀληθείας ἐκπίπτῃ.

Ἐξήγησις τῶν προσευχητικῶν λέξεων.

Πρῶτον οὖν ἰστέον ὅτι προσκύνησιν ὀνομάζοντες ἐνδεικνύμεθα σχῆμά τι ταπεινώσεως καὶ ὑποπτώσεως ἐν τῷ προσδραμεῖν ἑτέρῳ, καὶ τῷ δηλῶσαι ὅτι παραδίδομεν ἡμᾶς τῇ ἐξουσίᾳ ἐκείνου. ὅπερ γουνάζεσθαι οἱ πάλαι ἴωνες, ἤγουν ἅψασθαι τῶν γονάτων ἔφησαν, ὡς οἶμαι. ἐν γὰρ ταῖς λιτανεύσεσιν ἔθος εἶχον καὶ τῷ γενείῳ προσενεγκεῖν τὴν ἑτέραν τῆς χειρῶν. τὸ γοῦν προσκυνῆ-

ται ῥῆμα παρὰ τοὺς τῶν κοινῶν αἰκαλμοὺς ποιηθὲν, τὸ τῆς προσαπτώσεως καὶ ἀντιβολήσεως σχῆμα ἐμφαίνει. τὸ δὲ τῆς δεήσεως καὶ αἰτήσεως, λόγον σημαίνει δηλωτικὸν τῆς ἡμετέρας χρείας καὶ ἐνδείας. ἱκέτης δὲ κυρίως ἐστὶν, ὃς ἐφ᾽ ἕτερόν τινα ἀλλότριος αὐτὸς ὢν καταφεύγει, βοηθείας ἢ ἐπιστροφῆς χρήζων. ἡ δὲ ἔντευξις καὶ μεσιτεία γίνεται ὑπὲρ ἄλλου ταλαιπωροῦντος, πρός τινος οἰκείου ἢ φίλου ὄντος ἐκείνῳ παρ᾽ οὗ ἐπικούφισις ἢ χρηστόν τι προσδοκᾶται καὶ ἐλπίζεται. ὅταν οὖν πρὸς τὸν θεὸν βλέπωμεν παρ᾽ ἐκείνῳ ζητοῦντος ἀγαθόν τι ἢ ἐντυγχάνοντος ὑπὲρ ἐλέους, προσευχὴ αὕτη λέγεται. ἀνθρώπῳ δὲ οὐδεὶς προσεύξαιτ᾽ ἂν εὐσεβῶν οὐδενί. τὸ δ᾽ εὐλογεῖν εἴρηται οὐ μόνον περὶ αἰνέσεως καὶ εὐχαριστίας, ὡς τὸ, ἐὰν εὐλογήσῃς τῷ πνεύματι ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου πῶς ἐρεῖ τὸ ἀμὴν, ἐπὶ τῇ σῇ εὐχαριστίᾳ; καὶ τὸ, εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου, ἀλλὰ καὶ τὸ ἐπικαλεσάμενον τὸ ὄνομα κυρίου, προσθεῖναι χάριτος ἢ ἀγαθοσύνης οἷον προτέρημά τι τοῖς ἀξιωθεῖσιν. οἷον ὅταν εὐλογήσῃ ὁ ἰσα-

ἀκ τὸν ἰακὼβ ἀντὶ τοῦ ἡσαῦ. καὶ ὁ Βαλαὰμ κεκλημένος εἰς κατάρασιν τῶν ἰσραηλιτῶν εὐλόγησεν εὐλογίαις αὐτοὺς. καὶ ὁ κύριος αὐτὸς λέγεται εὐλογῆσαι τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ, ψαλμῷ κη. ὁμοίως εὐλογεῖν φαμὲν, ὅταν ἐπί τῳ προσευχόμενός τις ὡς λειτουργὸς, τὴν θείαν χάριν καὶ εὐεργεσίαν πρὸ ὀμμάτων ἔχων, οὕτως ἐν πληροφορίᾳ πνεύματος καὶ παρουσίας θεοῦ ἁγιάζοντός τε καὶ τελειοῦντος τὸ πραττόμενον, προσφέρει μετ' εὐχαριστίας τὸ δῶρον τῆς θείας χάριτος τοῖς μεταλαβεῖν ἐπιτηδείοις ὑπάρχουσιν. οὕτως ὁ παῦλος ἐν τῇ πρὸς κορινθίους προτέρᾳ ἐχρήσατο τῷ ὀνόματι. τὸ ποτήριόν, φησι, τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ χριστοῦ ἐστι. τοῦτο γὰρ λέγει, ὃ μετὰ χεῖρας ἔχοντες, εὐλογοῦμεν τὸν χαρισάμενον ἡμῖν τὸ αἷμα αὐτοῦ εὐχαριστοῦντες, καὶ προσφέρομεν μεταλαμβάνοντες καὶ μεταδιδόντες τὴν θείαν εὐλογίαν, ἐν ἐκκλησιαστικῇ κοινωνίᾳ. οἱ δὲ ὕμνοι δοξολογίαν καὶ ψαλμοὺς καὶ ᾠδὰς περιέχουσιν, ἐν τε τῷ αἰνεῖν τὸν θεὸν καὶ χάριν ἀποτίσαι ἀνθ' ὧν εὐεργετήθημεν ὑπ' αὐτοῦ, καὶ τοῦτό ἐστι τὸ ὁμολογεῖν ἐν

ταῖς

ταῖς γραφαῖς. ὡς ψαλμῷ λβ΄. ψάλατε τῷ κυρίῳ οἱ ὅσιοι αὐτοῦ καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. τὸ αὐτὸ ἐστὶ χαίρειν καὶ ἀγαλλιᾶσθαι δύναται, καὶ εὐφραίνεσθαι, καὶ καυχᾶσθαι, καὶ ἀναγγέλλειν τὰ θαυμάσια καὶ μεγαλεῖα τοῦ θεοῦ. τούτων οὖν φανερῶν γεγενημένων, λοιπὸν ἂν εἴη σκέψασθαι περὶ τινῶν ἐμπιπτουσῶν ἐνθάδε διαπορήσεων, τοιῶνδε. α΄. πῶς χρηστέον ταῖς προσευχαῖς. β΄. ποῖος καιρός ἐστι τόπος ἁρμόδιος εἰς τὸ προσεύχεσθαι. γ΄. ὑπὲρ καὶ περὶ τινῶν προσευκτέον. δ΄. εἰ προσευχὴν ἐξ ὑποθέσεως γενέσθαι ὅσιον.

Πῶς χρηστέον ταῖς προσευχαῖς;

Περὶ τούτου δή, οὐδεὶς ἂν ἔχοι λέγειν ἄλλο τι, ἢ πλὴν ὅτι δεῖ δυσφορουμένους ἡμᾶς καὶ κακουμένους καταφυγεῖν ἐπὶ τὴν τοῦ θεοῦ βοήθειαν. καὶ τοῦτο τὸ τέλος ἔσται πάντως τῶν μεριμνῶν παρὰ τοῖς χριστιανοῖς. οὐ γάρ τοι φροντίζειν τι ἡμᾶς τοῦ εὖ ἢ κακῶς πρᾶξαι αὐτούς τε καὶ τοὺς ἄλλους, ἀπάνθρωπον ἐστὶ σκαιόν ἂν εἴη. καὶ τὸ μὲν σωκρατικὸν φρόνημα πρὸς πάσας τυχηρὰς πορισάμενος ἴσον ἀεὶ καὶ ἀήττητον, ᾀδέτωσαν οἱ τοῦ ἀνθρω=

πέυ

πέου νοὸς δύναμίν τινα αὐτοκρατορικὴν κατασκευάζοντος, ἡμεῖς δὲ ὅτι τὸ χριστιανὸν ἀναίσθητόν τι χρῆμα εἶναι νοεῖσθαι βουλόμεθα, ὅτι ὑπὸ τοῖς αὐτοῦ τε καὶ τῶν ἄλλων συμπτώμασιν, ὅσα δεινὰ καὶ βλαβερὰ, ἀλγεῖν τινα καὶ ἀνιᾶσθαι, ἄτοπον εἶναι ἡγούμεθα. οὕτω γὰρ οὐκ ἀκόλουθον γίνεται τὸ μεριμνᾶν τοὺς εὐσεβεῖς, ὥστε δὲ μὴ ἐκδοῦναι αὐτοὺς αὐτοὺς τῇ τοῦ κόσμου λύπῃ, ἀλλ' ἵνα λυπηθέντες καὶ μεριμνῶντες καὶ ἐν φροντίσι γενόμενοι, ζητήσωσιν ἀνάπαυσιν ἁπάντων τούτων ἐν τῇ προσευχῇ. οὕτω γὰρ ὁ παῦλος γράφει τοῖς φιλιππησίοις, ὁ κύριος ἐγγὺς μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει, μετ' εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν θεὸν, καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν, ἐν χριστῷ ἰησοῦ. ἐξ ὧν δῆλον ὅτι ἐν τῇ προσευχῇ εὑρίσκεται εἰρήνη. ἡ δὲ προσευχὴ δεομένου τινός ἐστιν. οὐ δεῖται δέ τινος ὁ μηδενὸς λυπηροῦ αἴσθησιν λαβών. ἐπεὶ τοίνυν ὅτι μεριμνᾷ μὲν διὰ περιστάσεις ὀδυνηρὰς ὁ χριστιανὸς, ἕως ἂν τοῦ προσεύχεσθαι. καὶ ὅτι ὁ μὲν ἀμέριμνος ὢν

ἀεὶ,

ἀεὶ, οὐδ᾽ ἂν προσηύχετο, ὁ δὲ μὴ παυόμε-
νος μεριμνήσας, οὐδὲν ἂν προκόψειεν οὐδέ-
ποτε γ᾽ εἰρηνεύσας. φανερὸν δ᾽ ἔτι ἐκ τού-
των, ὅτι οὐδὲν γένοιτ᾽ ἂν προὔργου προσεύ-
χεσθαι οὐδενὶ, μὴ ἀντεχομένῳ πίστεως, τῆς
ἐπὶ τὸν μεσίτην ἕνα ὄντα θεοῦ καὶ ἀνθρώ-
που, ἄνθρωπον χριστὸν ἰησοῦν, τὸν δόντα ἑαυ-
τὸν ἀντίλυτρον ὑπὲρ πάντων. τούτου τοί-
νυν ὑπὲρ φύσεως ἀνθρωπίνης ἐνόχου γεγο-
νυίας ὥστε ἀπολέσθαι, δεδωκότος ἑαυτὸν,
καὶ ῥυσαμένου τὸ ἡμέτερον γένος ἐκ τοῦ πο-
νηροῦ, ποίοις ἂν ὀφθαλμοῖς βλέποι τις ἢ
ποίᾳ διανοίᾳ στραφείη πρὸς ἕτερόν τινα ἄν-
θρωπον γεγονότα, ἀποχωρῶν τοῦ ἑνὸς θε-
ανθρώπου χριστοῦ; ἀποχωρεῖ δὲ ἀναμφιλέ-
κτως, ὅστις προσέχεται διὰ πεποιθήσεως ἢ
ἐλπίδος ἑτέρῳ τῳ τινι οὖν ὡς ἔξων ἐκεῖνον
ἐντευκτὴν ἢ ἱκέτην ὑπὲρ ἑαυτοῦ παρὰ τῷ
θεῷ τῷ ζητοῦντι πάντως μεσίτην μετα-
ξὺ αὐτοῦ τε καὶ ἀνθρώπων. ὅτι τοίνυν παν-
τάπασιν ἐκδιωκτέα ἡ παρεισαγομένη τῇ ὀρ-
θοδοξίᾳ τοῦ χριστιανισμοῦ ἔντευξις καὶ με-
σιτεία ἀνθρώπων ἄλλων ἔξω ἑνὸς ἀνθρώ-
που ἀληθινοῦ καὶ θεοῦ ἀληθινοῦ τοῦ αὐτοῦ κυ-
ρίου ἡμῶν χριστοῦ ἰησοῦ, μάθοι τις ἂν σαφῶς

ἐκ

ἐκ τῶν εἰρημένων, ἄλλως τε καὶ τῶν καταλιπόντων διὰ διδαχῆς ὑπομνήματα τῶν ἐν ὁσίοις περιφανῶς πρεσβευσάντων τὸ δόγμα διὰ ἐπικλήσεως, καὶ ὅτι τὴν ὑπὲρ ἀνθρώπων ἔντευξιν καὶ ἱκετείαν προσαπτέον ἄλλῳ οὐδενὶ, ὅτι μὴ τῷ θεοῦ λόγῳ καὶ υἱῷ. ὥστε εὐλαβῶς ἀκροατέον τῶν μνειῶν ὅσαι περισχηματίζουσαι τοιοῦτό τι, προσετέθειντο ταῖς ἐν ἐκκλησίᾳ δημοσίοις προσευχαῖς, μηδαμῶς τούτων παραστῆσαι καὶ ἐνδείξασθαι βουλόμεναι, ὅπερ ὕστερον παραφυεῖσα κακοδοξία διεδέξατο. ἡ μὴ μόνον τῇ τῶν ἀγγέλων, ἀλλὰ καὶ ἀνθρώπων ποτὲ γεγονότων θρησκείᾳ ἐμβατεύουσα καὶ εἰκῆ φυσιουμένη, κατὰ τὰ γεγραμμένα πρὸς κολοσσαεῖς, ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς, καὶ μὴ κρατοῦσα τὴν κεφαλὴν, ὅς ἐστι χριστός. παρέδωκαν μὲν οὖν οἱ πάλαι γεγονέναι ποτέ τινας διδάσκοντας, ὅτι ὡς ἀναξίους τοῦ προσιέναι χριστῷ, δεῖ παρακαλεῖσθαι τοὺς ἀγγέλους. ἡμεῖς δὲ ἴσμεν ὅτι ἡ νεωτέρα πλάνη, τὴν τῶν ἀγγέλων ἔντευξιν, τῇ τῶν ἁγίων ἀνθρώπων ὥσπερ φάλαγγα κρατύνουσα, τὸ αὐτὸ τούτων ἠπολογήσατο. ὅτι δὲ οἱ ὀρθόδοξοι τῶν πατέρων, τὴν μόνην τοῦ χριστοῦ μεσιτείαν παρεδέξαντο

το ἀποστρεφόμενοι πάσας ἄλλας, οὐδ' ἐν ἂν ἔργον γένοιτο παραστήσασθαι καὶ διὰ πλειόνων, ἀρκοίη δ' ἂν ἡμῖν μία ἐν τῷ παρόντι ῥῆσις, ἣν ἐκ τῶν πρὸς ἰωάννην τὸν χρυσόστομον ἀναφερομένων ἐξεγράψαμεν ἤδη. ἀνθρώπων μὲν γὰρ δεόμενοι, καὶ δαπάνης χρημάτων δεόμεθα, καὶ κολακείας δουλοπρεποῦς, καὶ πολλῆς περιόδου καὶ πραγματείας. οὐ γὰρ ἔξεστιν εὐθέως αὐτοῖς τοῖς κυρίοις δοῦναι τὴν χάριν ἐντυχεῖν καὶ διαλεχθῆναι πολλάκις, ἀλλ' ἀνάγκη πρότερον διακόνους καὶ οἰκονόμους αὐτῶν καὶ ἐπιτρόπους, καὶ χρήμασι καὶ ῥήμασι καὶ παντὶ θεραπεῦσαι τρόπῳ, καὶ τότε δὴ ἐκείνων δυνηθῆναι τὴν αἴτησιν λαβεῖν, ἐπὶ δὲ τοῦ θεοῦ οὐκ ἔστιν οὕτως. οὐ γὰρ δεῖται μεσιτῶν ἐπὶ τῶν ἀξιούντων, οὐδ' οὕτως δὴ ἑτέρων παρακαλούμενος, ὡς δι' ἡμῶν αὐτῶν δεομένων ἐπινεύει τῇ χάριτι. ταῦτα μὲν ἡ τοῦ χρυσοστόμου ῥῆσις. ὅταν δὲ λέγῃ, ὅτι ὁ θεὸς οὐ δεῖται μεσιτῶν ἐπὶ τῶν ἀξιούντων, δῆλον ὅτι ἐκκλείσας τῶν πολλῶν μεσιτῶν περινόησιν, ἑνὸς καθίστησι τοῦ λόγου καὶ υἱοῦ θεοῦ μεσιτείαν, τὴν καταδικάζουσαν ἐπιφέρων τῇ κενοσπούδῳ ματαιολογίᾳ, τὸ μὴ ἑνὸς μόνην ἔντευξιν πρὸς

τὸν

τὸν θεὸν ἀλλὰ πλειόνων περισκοπούντων, ὅπως οὖν δὴ κοσμῆσαι καὶ οἷον καλλωπισμὸν ἂν περιθέσθαι ταῖς σοφιστικαῖς τῆς ψευδολογίας κατασκευαῖς ζητούντων. ὧν τινὲς καὶ προσεπιτερατεύονται τῇ ἀπάτῃ, πρὸς ὅ,τι ἕκαστόν τινα τῶν ἁγίων ἐπικαλεῖσθαι ὠφελήσειν ἄν. οἷον ὡς νίκης συμπράκτορα γεώργιον, ὡς λοιμοῦ ἀποτρόπαιον ῥοχάσιον, ὡς ἀκέστριαν ὀδονταλγίας ἀπολλωνίαν, ὡς σιάλων ἐπίτροπον ἀντώνιον. ἃ γελοῖα, οἶμαι, πάλαι δοκεῖ ἤδη, τοῖς καὶ πορισμὸν ταῦτα πεποιημένοις. ὅτι μὲν οὖν κοῦφοί τινες καὶ εὐκίνητοι ταῖς φαντασίαις εἶχον ἴσως ἀφορμὰς τῆς ἀνθρωποθρησκείας, τὰς θρυλλουμένας καὶ εἰκῆ πιστευομένας θεραπείας τε νόσων καὶ ἄλλας τινὰς εὐτυχίας βίου, οὐκ ἀπίθανον, ἐκ δὲ τῆς πηγῆς ταύτης τῆς δεισιδαιμονίας φημί, μὴ κατ' ἀρχὴν ἀνακοπτομένης, ἀλλ' εἰς ἐπίδοσιν προϊούσης, ἔρρευσέ τε καὶ ῥεῦσαι ἀείποτε πολλὴ καὶ ἀνόητος πλάνη. ἥπερ τὸ νῦν εἶναι, ὀψὲ μὲν, ὅμως δ' οὖν διελήλεγκται τοῖς ἰδίοις συνεκρεύσασα μύθοις. οὕτως ἄρα προδήλου ὑπάρχοντος τοῦ ψεύδους ὥστε καὶ ἀλαὸς διακρίνεσθαι ἐκεῖνο, ἀμφαφόων, κατὰ τὸν

τὸ ὅμηρον, ἐρευνάτω δὴ ἔτι, εἴτῳ δοκεῖ περὶ αὐτοῦ φιλονεικῶν πρὸς τὰ ὡμολογημένα παρὰ τοῖς ὀρθοδόξοις. ἀλλ' ἡμεῖς γε τοιαύτην συνήθειαν οὐκ ἔχομεν. οὐδ' ἔχοιμεν δὴ, ὦ φίλε χριστὲ, ὃς ἀλήθεια χρηματίζειν τῇ ἰδίᾳ φωνῇ ἐβουλήθης, οὐδὲ γὰρ ἡ σὴ ἐκκλησία. ἀλλ', οὐ γὰρ ἐφαρμόζει ἴσως ἐνθάδε οὗτος ὁ λόγος, καὶ ἡμεῖς περὶ τούτων τυγχάνομεν εἰρηκότες τι καὶ πρότερον, πρὸς τἆλλα ἐνθένδε χωρῶμεν τῶν προκειμένων.

Ποῖος καιρὸς καὶ τόπος ἁρμόδιος εἰς τὸ προσεύχεσθαι.

Περὶ τοῦ καιροῦ δὲ, ὃν μάλιστ' ἄν τις ἐπιτήδειον εἶναι φαίη ταῖς προσευχαῖς, διορίσασθαι ῥᾴδιον, ἐν θυμηθέντας περὶ τῶν ὑπὸ τοῦ μακαρίου παύλου γραφέντων πρὸς κολοσσαεῖς, ἐν οἷς κελεύει προσκαρτερεῖν τῇ προσευχῇ γρηγοροῦντας ἐν αὐτῇ ἐν εὐχαριστίᾳ. ὁ αὐτὸς, γράφων θεσσαλονικεῦσί, φησιν, ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε. περὶ δὲ τόπου, λέγει ἐν τῇ πρὸς τιμόθεον, βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίας χεῖρας, χωρὶς ὀργῆς καὶ διαλογισμοῦ.

ὥσπερ γὰρ ἡ τῆς πίστεως χρεία ἀπερίγρα-
πτος καιροῖς καὶ τόποις ὑπάρχουσα, παν-
ταχοῦ καὶ πάντοτε ὑπόστασιν τὴν τῆς σωτη-
ρίας ἀσφάλειαν παρέχεται τοῖς χριστιανοῖς,
οὕτω καὶ ἡ προσευχὴ βάσιν ἔχουσα καὶ στή-
ριγμα τὴν πίστιν ἀνειμένως ἀπὸ τῶν εὐσεβῶν
φοιτᾷ πρὸς τὸν θεόν, ἀκατάκλειστός τε καὶ
ἀπρόσδετος οὖσα καιρῷ καὶ τόπῳ. κατὰ δὲ
τὰς ἐκκλησιαστικὰς συνόδους, καὶ ἐν τοῖς
πρὸς ταύτην παρασκευασθεῖσιν οἴκοις, οἳ
καὶ εὐκτήριοι διὰ τοῦτο ἐπωνομάσθησαν, δη-
μοσίας ἀποτελεῖσθαι εὐχάς, ψαλμούς τε καὶ
ὕμνους ᾄδεσθαι εὔλογον. καὶ δὴ πρὸς ταύ-
την τὴν πρᾶξιν καὶ ῥητὸν ἐκ συμφώνου
καιρὸν προαγορευθῆναι οὐκ ἔστιν ἀπεικός.
ἀλλὰ μὴν τῇ προσευχῇ ἰδίᾳ τε καὶ δημοσί-
ως γιγνομένῃ οἰκείως ἔχει τὸ ὀρθρινόν. περὶ δὲ
διατάξεως ἁπάντων τούτων, διασκέψεται
ἑκάστοτε ἡ τῶν προεστώτων εὐσεβὴς γνώμη,
ἵνα πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γένη-
ται. καὶ διακοσμηθέντος τοῦ τοιούτου πράγμα-
τος, εἴτινες δὲ ἑτέρως φρονήσουσι καὶ τοῦτο
θεὸς ἀποκαλύψει. πλὴν περὶ τῶν ἀναγκαίων
τηρηθήτω τὸ παρηγγελμένον ἐν τῇ πρὸς Φι-
λιππησίους, τὸ, τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ
αὐτὸ φρονεῖν.

ὑπὲρ

Ὑπὲρ καὶ περὶ τίνων προσευκτέον καὶ εἰ ὅσιον ἐξ ὑποθέσεως προσεύχεσθαι.

Ὑπὲρ δὲ τίνων καὶ περὶ τίνων θεῷ ἀρεσκόντως προσευξαίμεθ' ἄν, ἐδίδαξεν ὁ ἀπόστολος γράφων Τιμοθέῳ, οὕτω. παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας, ὑπὲρ πάντων ἀνθρώπων, ὑπὲρ βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. καὶ οἴδαμεν ὅτι τοῦ κυρίου ἐστὶν ἐντολή, προσεύχεσθαι ὑπὲρ τῶν ἐπηρεαζόντων. ἀλλὰ πῶς φησὶν ὁ δαβίδης; ψαλμῷ. να. ὁ θεὸς καθελοῖ σε εἰς τέλος ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. καὶ ὁ παῦλος, ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο, ἀποδώη ὁ κύριος κατὰ τὰ ἔργα αὐτοῦ. λέγομεν δὴ ὅτι ἡ λύσις αὐτόθεν ἂν ληφθείη, προηγουμένης τε περὶ αἰτίας, ὅτι ὁ δυνατὸς ἐγκαυχᾶ-

ται ἐν κακίᾳ, καὶ ἐπομένης περὶ τοῦ ἐκδικηθῆναι τὰς τῶν ὑπερηφανούντων καὶ ὑψηλοκαρδίων ἀνόμους ἀσελγείας, πρὸς παράδειγμα τῆς δικαιοκρισίας τοῦ θεοῦ, καὶ ἵνα βεβαιωθῇ ἡ τῶν φοβουμένων τὸν θεὸν ὑπόληψις περί τε ἐπισκοπῆς εὐκαίρου, καὶ ἐπιμελείας συνεχοῦς αὐτοῦ. τὰ δὴ τοιαῦτα τῶν ῥητῶν πάντα κατὰ τὴν διαστολὴν τὴν παρ' ἰωάννῃ ἐκδεξόμεθα, φησὶ γὰρ ἐκεῖνος. ἔστιν ἁμαρτία πρὸς θάνατον οὐ περὶ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ. πᾶσα τοίνυν ἀνάγκη τὸν περὶ σωτηρίας τοῦ πλησίον προσευχόμενον συνεμπεριλαβεῖν δέησιν κατὰ βίας καὶ προπηλακισμοῦ καὶ ὕβρεως τῶν ἐν ἀσεβείᾳ ἀνίατον νόσον νοσούντων, καὶ διατελούντων λακτίζειν πρὸς τὰ κέντρα τῷ θνητοὺς ὄντας τῷ θεῷ ἐναντιοῦσθαι ἀποτόμως καὶ θρασέως. πρῶτον ἄρα τότε προσευχόμενοι τῷ θεῷ αἰτούμεθα μὴ ἀντιπαραταχθῆναι αὐτὸν κατὰ τῶν πολεμίων, καὶ μὴ περιϊδεῖν πατούμενον τὸ ἅγιον ὄνομα αὐτοῦ, ἔπειτα δὲ ἱκετεύοντες τὸν θεὸν ὑπὲρ τῆς ἰδίας ἢ καὶ τῶν ἄλλων σωτηρίας, καὶ περὶ τοῦ ῥυσθῆναι ἀπὸ τοῦ πονηροῦ, κατὰ τὸ ἀκόλουθον δὴ καὶ ἀνακλασθῆναι τὴν τῶν βιαστῶν ὁρμὴν δεόμεθα,

μεθα, ὥστε τότε τὴν προσευχὴν ἐξανάγκης γίνεσθαι καὶ κατά τινων. ἔτι δὲ γινώσκομεν ὅτι τῷ χριστῷ τῷ ἐληλυθότι ἵνα λύσῃ ἔργα τοῦ διαβόλου, ἀέπτου προσευκτέον περὶ τοῦ ἀποτρέψασθαι τὰς διαβολικὰς ἐφόδους καὶ τελέως αὐτὸν τὸν διάβολον καταγωνίσασθαι καὶ συντρίψαι ὑπὸ τῶν ποδῶν ἡμῶν ἐν τάχει, αὐτὸς δὲ ἐχθρὸς ὢν ὁ διάβολος τῆς ἐκκλησίας ἄσπονδος πᾶσαν τε λίθον, φασί, κινεῖ, καὶ καθοπλίζει τῶν πειθομένων αὐτῷ χεῖρας καὶ βούλησιν κατ' αὐτῆς. χρωμένου τοίνυν ἐκείνου κατὰ τῶν εὐσεβῶν ὥσπερ ὀργάνῳ τῇ τε κακονοίᾳ καὶ δυνάμει βλαπτικῇ τῆς ἀπιστίας, ἡμέτερον δῆτα καὶ αὐτοὺς ἐκείνους τῇ τῆς προσευχῆς μαχαίρᾳ κοπτομένους πειρᾶσθαι τρέψασθαι καὶ ἀμύνασθαι. ὅτι μὲν οὖν προσευκτέον ὑπὲρ πάντων, οὔσης δ' ἀνάγκης ὅμως καὶ κατά τινων χρῆσθαι τῇ προσευχῇ, δῆλον ὅτι τῶν ὑπερηφανούντων καὶ ὑπεροπτικῶς παρανομούντων, ἵνα μὴ συνευδοκοῦντες ταῖς ἀδικίαις εὑρισκώμεθα, μετρίως δεδεῖχθαι ἐλπίς. περὶ τίνων γὰρ προσευξαίμεθ' ἂν εὐαρεστοῦντες τῷ θεῷ αὐτὸς ὁ κύριος φανερῶς ἐδήλωσε, τὰ τῆς χριστιανικῆς προσευ-

χῆς κεφάλαια ἐκθέμενος ἅπαντα, ὥστε μή
τε τι τῶν ἀναγκαίων καταλιπεῖν, μήτε συ
νείροντα τὰ φαῦλα τὴν ἄλλως ἐνοχλῆσαί
τινα τῷ θεῷ, καὶ μηκέτι τόπον εἶναι τῇ ζη-
τήσει, τί ἂν αἰτοίη τις, ἐσόμενον τῷ θεῷ θ'
ἅμα βουλομένῳ καὶ χρήσιμον ἑαυτῷ. ἥπερ
ἐρεσχελῶν μετὰ τοῦ ἀλκιβιάδου ἐνδιέτρι-
ψεν ἤτοι πλάτων ἢ ξενοφῶν. ἀμφίβολος
γὰρ ὁ διάλογος. εὑρίσκεται δὲ κατὰ τάδε καὶ
ἡ θαυμαστὴ τῶν λακεδαιμονίων προσευχή,
ματαιολογία οὖσα, ἡ αἰτουμένη, δοῦναι τὸν
θεὸν καλὰ ἐπὶ τοῖς ἀγαθοῖς. ὥσπερ καὶ τὸ
ποιητικὸν ἐκεῖνο λῆρον ἡγήσασθαι ἂν ἄξιον,
τὸ κελεῦον τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις καὶ
ἀνεύκτοις διδόναι τὸν θεόν, τὰ δὲ δεινὰ καὶ
εὐχομένοις ἀπαλέξειν. παιδιὰ μὲν γὰρ ἂν
εἴη τοῦτο, ἢ οὐκ οἶδ' ὅτι γε καὶ φαίη τις. ἡμῖν
δὲ καὶ ἐντολὴ σαφὴς πρόκειται ἡ διαῤῥήδην
κελεύει προσεύχεσθαι, καὶ τὰ αἰτήματα
ἡμῶν γνωρίζεσθαι πρὸς τὸν θεὸν ἐπιταττ-
τόμεθα. οὕτω γὰρ οὐκ ἐπιπόλαιος ἔσται ἡ
δέησις ἐν τῷ στόματι φυομένη, ἀλλ' ἔνδο-
θεν ἀπὸ τῆς καρδίας προβήσεται. οὐ μέντοι πε
πεισμένη καὶ στηριζομένη τῇ οἰκείᾳ δικαιο-
σύνῃ, ἀλλ' ἀποσκυβαλίζουσα ταύτην, καὶ
ἀντι-

ἀντιλαμβανομένη μόνης τῆς τοῦ χριστοῦ δικαιοσύνης, καὶ ἐρειδομένη τῷ ἐλέει τῶν οἰκτιρμῶν τοῦ εὐσπλάγχνου θεοῦ, ἵνα μήτις, ὥσπερ ὁ χρυσαῖος ἢ θηβαῖος ἀργυτὴς, καταλέγῃ προσευχόμενος, ὅσα τὸν θεὸν εὐεργέτησεν θύων ἢ οἰκοδομῶν, ἀλλ' ἐν μετανοίᾳ τῶν προγεγονότων ἁμαρτιῶν καὶ συνειδήσει καθαρᾷ ἐν τῷ παρόντι καιρῷ τε καὶ πράγματι, οὕτω δὴ χρηστὴν ἔχῃ ἐλπίδα τοῦ εὐαρεστήσειν τε τὴν προσευχὴν τῷ θεῷ καὶ λήψεσθαι αὐτὸν τὰ αἰτηθέντα. καὶ οὐκ οἰητέον ἀλλότριον εἶναι τῆς θεοσεβείας καὶ μνείαν ἐνίοτε περὶ αὐτῷ τε καὶ τοῖς ἄλλοις ποιεῖσθαι ἐκείνων, ὧν ἂν ἡ ψυχὴ ἐνθυμουμένη ἀπερισπαστότερον ἂν προσέχοι τῇ προσευχῇ. οἷα περ ἂν εἴη καὶ τὰ τῆς εὐσεβείας ἔργα καλὰ κατὰ τὰς θείας ἐντολὰς, ἄλλωστε καὶ πιεζομένων ποτὲ ἡμῶν ἀδίκως. καθάπερ που καὶ ὁ δαβίδης ἀξιοῖ τὸν θεὸν κρῖναι αὐτῷ κατὰ τὴν δικαιοσύνην αὐτοῦ. μὴ μέντοι γένοιτο τοῖον δέ τι ὥσπερ ὀνειδίζοντος ἢ ἐπιδεικνυμένου τὰς ἰδίας τινὸς ἀρετὰς καὶ ἐπαινετὰς τῶν πράξεων, ἀλλ' ἁπλῷ τρόπῳ αὐτόν τε καὶ τοὺς ἄλλους πείθειν περιφερωμένου, ὅτι ὑπακούει τε τῷ θείῳ λόγῳ καὶ εὐ-

λαβεῖται τοῦ ἐξαμαρτεῖν ἑκὼν ἢ ποιῆσαί τι ἀποθύμιον τῷ θεῷ γενησόμενον, καὶ ἐν ᾧ κατηγορήσῃ ἂν ἡ συνείδησις αὐτοῦ αὐτοῦ. καὶ οὕτω δὴ προσευχόμενοι, οὐδέ ποτε περὶ τὸ θεῖον θέλημα ἀστοχήσομεν, οὐδὲ κινδυνεύσομεν αἰτήσασθαι τοιάδε τινὰ αἰτήματα, ἃ καὶ μετ' οὐ πολὺ μεταμεληθέντες ἀνευξαίμεθ' ἂν, καὶ εὐσεβοῦντες ἐν τῷ θῦσαι τὴν λογικὴν τῶν χριστιανῶν θυσίαν ἐνδελεχῶς διατελέσομεν. λοιπὸν ἐστὶ περὶ προσευχῶν ὑποθετικῶν ἢ ὑπὸ αἵρεσιν οὐσῶν λέγειν τι. τετάρτη γὰρ τῶν προκειμένων διαπορήσεων ἥδε.

Περὶ τοῦ εἰ ὅσιον, ἐξ ὑποθέσεως γενέσθαι τὴν προσευχήν.

Φαίνεται μὲν οὖν οὕτω ποιῆσαι ὁ παρὰ ματθαίῳ λεπρὸς, λέγων, κύριε ἐὰν θέλῃς δύνασαί με καθαρίσαι. ὃς καὶ ἐκαθαρίσθη. μὴ ἄρα θεάρεστος ὁ δισταγμὸς, καὶ τοιοῦτό τι ἐστὶ, τὸ ὑπὸ δαβίδου λεγόμενον, ἐὰν εὕρω χάριν ἐν ὀφθαλμοῖς κυρίου καὶ ἐπιστρέψει με; ἀλλ' ἐστὶ τοῦτο ἐναντίον τῷ τῆς πίστεως κηρύγματι, καὶ οἷς εἴπομεν περὶ τοῦ ἀδιάκριτον δεῖν εἶναι τὴν χριστιανικὴν πίστιν. καὶ

γελοῖον

γελοῖον ἂν ἦν διδάσκειν προσεύχεσθαι μετ' ἀπιστίας, ἄλλως τε καὶ τοῦ ῥητοῦ κελεύοντος αἰτήσασθαι ἐν πίστει μηδὲν διακρινόμενον. ὁ γὰρ διακρινόμενός φησιν, ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ. φατέον δὲ, ὅτι ἡ ἀνθρωπίνη ἀσθένεια, καὶ ὁ τῶν φροντίδων περισπασμὸς, ἐργάζεται μὲν δισταγμὸν ἐν τῷ ἀμφιβάλλειν τινὰ περὶ τοῦ ἐκβησομένου, τοῦτο δὲ οὐκ ἔστι κάκωσις τῆς πίστεως ἐκταράσσουσα ἐνίοτε καὶ τὰς τῶν ἁγίων καρδίας, πρὸς ἣν ἄπαυστος πόλεμος καὶ μάχη ἀγύνατος τοῖς εὐσεβεῖν καὶ σώζεσθαι προῃρημένοις. νικηθείσης γὰρ τῆς ἀπιστίας παντελῶς, οὐδεὶς λείπεται ἔτι ἀγὼν πρὸς τὴν ἁμαρτίαν. Ἔτι εἰσὶ μὲν ταῦτα τοῖς ἀπείροις ἄγνωστα, ὅτι δ' οὐκ ἔστι τόδε τῆς προδήλου ἀπιστίας θανατηφόρον νόσημα, ἀλλ' ἰάσιμον ἔτι τῶν εὐλαβῶν ἀῤῥώστημα, κἀκ τούτου γνοίη τις, ὅτι οἱ τούτῳ κατεχόμενοι κἂν ἀποτυχεῖν δοκῶσιν, οὐκ ἀφίστανται ὅμως τῆς προσευχῆς, οὐδ' ἧττον τῇ διηνεκεῖ δεήσει προσεδρεύουσιν, ἀντιτάξαντες τὴν οἵαν δήποτε πίστιν καὶ ἐλπίδα, πᾶσιν ὅσα τὴν ὀλιγοψυχίαν καθοπλίζουσιν, ὥστε τὸ πτοιηθέντας αὐτοὺς φόβῳ τῆς ἀποτυχίας

ποιῆσαι τοῦ δεηθῆναι τελέως ἀμελεῖν. ὁ δὲ υἱὸς θεοῦ, σωτὴρ ἰησοῦς χριστὸς, οἰκτίρμων τε ὢν καὶ πολυέλεος καὶ εἰδὼς συμπάσχειν ταῖς ἀσθενείαις ἡμῶν, κάλαμον συντεθλασμένον οὐ μὴ συντρίψει, καὶ λίνον καπνιζόμενον οὐ μὴ σβέσειν. ὁ δὲ δαβίδης καὶ προσέτι ταπεινῶν αὐτὸν ὑπὸ κραταιὰν χεῖρα τοῦ θεοῦ, οὐκ αὐτός γε δισαγμοῖς τῆς ἀπιστίας ταραττόμενος προάγεται, ἀλλὰ παράδειγμα πᾶσιν ἀδιακρίτου ὑπακοῆς πρόκειται. εἰ δέ τις οἴοιτο καὶ περὶ τῶν κυρίως λεγομένων εὐχῶν ποιεῖσθαι μνείαν δεῖν ἐνταυθοῖ, ἐκεῖνος ἴσω, ὅτι ἔχουσιν αὗται ἀξίωσιν ἀεί τινα μετὰ προαιρετικῆς εὐχῆς, καὶ ὁμολογίαν οἷον συνθήκης ἐννόμου, ὥστε οὐκ εἶεν ἀνυποθέτους αὐτὰς, ἑτέραν μέντοι ὑπόθεσιν, καὶ οὐχ οἵαν ἡμεῖς ἀποστρεφόμεθα, τῆς ἀμφιβολίας ἐκ τῶν διαλογισμῶν. ὡς ὁ ἰακὼβ ηὔξατο ἐν τῇ τῆς γενέσεως. κη. κεφαλαίῳ. τούτων δὲ πέρι καὶ εἴρηται τι ἔμπροσθεν ἤδη, καὶ νυνὶ πλέω ἕτερα παρεμπλέκειν τῇ πραγματείᾳ ἀνεπιτήδειον.

Περὶ τοῦ εἰσακούεσθαι τὰς προσευχὰς ἢ μή.

Περὶ

περὶ μὲν οὖν τοῦ εὐάρεστον καὶ εὐπρόσδεκτον εἶναι τῷ θεῷ τὴν διὰ πίστεως προσευχήν, διὰ τὸ αὐτοῦ ἐντολῆς καὶ ἡμετέρας ὑπακοῆς γίνεσθαι, εἴρηται. οὐδὲ χώραν λείπει τῆς διστάσει καὶ ἀμφιγνοίᾳ ἐνταυθοῖ οὐδεμίαν. περὶ δὲ ἐκείνων ὅσα αἰτούμεθα κατὰ τὴν περίστασιν, ἄριστον ἂν εἴη, τοῦ ἐκβαίνοντος μὲν τὸ κῦρος ἀναρτῆσαι εἰς τὸν θεόν, οὐδὲν δ' ἧττον ἀντέχεσθαι διὰ πεποιθήσεως ὅτι ἐξακουόμεθα, κἂν μὴ αἰσθώμεθα παραυτίκα τῆς ἐπινεύσεως. σφάλλεσθαι γάρ τι ἡμᾶς ποτε τῇ γνώμῃ ἐν τῷ αἰτήσασθαι, θαῦμα οὐδέν, ὅπου κατὰ τὸν Βασίλειον καὶ ὁ χριστὸς ἀδημονῶν, ᾔτησε παρελθεῖν τὸ ποτήριον, καὶ εὐθὺς διωρθώσατο τὴν δέησιν ἐπάγων, πλὴν μὴ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ σὸν γενέσθω. καὶ τὸ τῶν τοῦ ζεβεδαίου αἴτημα ἐγκαλεῖται ὡς ἀνοητότερον αἰτηθέν. καὶ αὐτὸς ὁ Βασίλειος διεσήλαβε ταῦτα οὕτω πως. ὅτι οὐκ ἀκούονται ἐνίοτε αἱ εὐχαί, ἢ αἰτουμένων ἡμῶν μὴ σύμφωνόν τι τῷ θείῳ θελήματι. ἢ ὅτι χρεία ἐπιμονῆς καὶ ἐντονίας. ἢ ὅτι διόρθωσις καὶ ἐπιμέλεια ζητεῖται. οὐκ ἀλλὰ πρότου μὲν, ὡς οἶμαι, καταλέγων τάδε. τὴν δὲ μεγίστην τοῦ μὴ ἐξακουσθῆναι αἰτίαν τίθεμεν.

τὴν

νων ἐξακούεται ἡ δέησις, δῆλόν ἐστι καὶ ἐξ ὧν φησὶν ὁ κύριος, τοῦ μωσέως φθεγγομένου μηδὲν, ἀλλὰ στεναγμοῖς ἐγκαρδίοις ἐντυγχάνοντος αὐτῷ, τί βοᾷς πρός με; καὶ τῆς ἄννης εὐχομένης περὶ υἱοῦ, ἐκινεῖτο μὲν τὰ χείλη, οὐκ ἐξηκούετο δὲ ἡ φωνὴ λαλούσης ἐν τῇ καρδίᾳ αὐτῆς καὶ εἰσήκουσεν αὐτῆς κύριος. τὴν γὰρ βαττολογίαν ὡς ἐθνικὴν οὖσαν, οὐ προσίεται ὁ χριστός. οὐδὲν γε μὴν ἧττον ἐθιστέον καὶ χειραγωγητέον τοὺς κατηχουμένους τὴν εὐσέβειαν, πρὸς τὸ ἐκφωνῆσαι τὰς τῶν προσευχῶν ῥήσεις, καὶ γνωρίσαι διὰ λόγου προφορικοῦ τὰ αἰτήματα αὐτῶν πρὸς τὸν θεόν. ἅμα μὲν ἵνα καὶ διανοούμενοι ἃ λαλοῦσι, προσέχωσιν ἐκτενέστερον τοῖς πραττομένοις, ἅμα δὲ ἵνα δηλωθήτω διὰ τοῦ λόγου, ὅτι ἐπίστανται ἃ τῇ ἐνθυμήσει μόνῃ καλῶς προσεύχεσθαι. ἡ γὰρ σιωπῶσα προσευχὴ οὐκ ἔστι τῶν πολλῶν ἀλλὰ καὶ πάνυ ὀλίγων. οὐδὲ πίπτει ὑπὸ παραγγελίαν τῆς διδαχῆς, ἀλλ' ἐξαίρετόν ἐστι χρῆμα, καὶ ἐν δυνάμει πνεύματος ἁγίου αὐτοκίνητον δὴ καὶ θαυματουργόν. περὶ δὲ τῶν ἐξ ἔθους τινος οἵου δήποτε, ἢ διατάξεως γενομένων προσευχῶν ἢ ᾀδομένων ὕμνων, μηδὲν

ἐπαι-

ἐπαϊόντων μηδὲ συνιόντων μὲν ὅσοι ἐκφω-
νοῦσιν ὧν λέγουσι, τῶν δ' ἀκροωμένων καὶ
παντάπασιν ἐνίοτε τῆς γλώσσης δι' ἧς ἤτοι
προσευχὴ ἀναπέμπεται ἢ ὕμνος μελῳδεῖ=
ται ἀπείρων ὄντων, οὐ χρείαν ἔχομεν διαπο-
ρῆσαι νυνί. διαχειριζομένων σχεδὸν ἁπάν=
των τούτων, οὔτε θεῷ κεχαρισμένως, οὔτε
πρὸς ὠφέλειαν τῶν ἀνθρώπων, οὔτε ὡς πρέ=
πει γίνεσθαι ἐν ἐκκλησίᾳ χριστοῦ. καὶ ὑπαρ=
χούσης μᾶλλον τῆς πράξεως οἵας καὶ ἀπειρη=
κέναι τὸν ἅγιον παῦλον, ἐν οἷς περὶ γλωσ=
σῶν χαρίσματος γράφων κορινθίοις, κε=
λεύει διερμηνευθῆναι τὸ λαλούμενον γλώσ=
σῃ, ἢ τὸν λαλοῦντα σιγᾶν ἐν ἐκκλησίᾳ. καὶ
ποιεῖται μὲν τὸν λόγον ἐκεῖνος περὶ θείας
δωρεᾶς τοῦ ἁγίου πνεύματος, οὐκ ἐῶν πλεο=
νάσαι καὶ περιττεῦσαι ἐν ἐκκλησίᾳ τὸ χά=
ρισμα, ἀλλὰ τὸ ἧττον ὠφελεῖσθαι ἐκείνην δι'
αὐτοῦ, ἡμεῖς δὲ ἴσμεν, ὅτι τὰ νῦν ἐπιτηδευ-
όμενα, διατάξεων ἀνθρωπίνων ὄντα λείψα=
να, ὡς πορρωτάτω τῆς τοῦ πνεύματος ἁγίου
ἐπιπνοίας χωριζόμενα, ἀγνώστως τε καὶ
ἀνοικοδομήτως, ἔσθ' ὅπου καὶ αἰσχρῶς ἅμα
καὶ ἀσεβῶς τελούμενα ἀλλὰ βοῶν τε καὶ τε=
ρετισμάτων ἀνθρωπίνων, καὶ ἤχων τε καὶ

φθόγ=

φθόγγων ὀργανικῶν, παρά τε τὰς ἀποστολι-
κὰς διατάξεις, καὶ τὴν τῆς ὑγιοῦς διδαχῆς
ἀναλογίαν. ἀλλὰ περὶ τούτων δὴ διαλα-
βεῖν οὐ κατηχητικὸν ἂν εἴη. ὥστε σκοπείτω-
σαν περὶ τῶνδε θ' ἅμα καὶ τῶν ὁμοίως ἐν
ἐκκλησίᾳ φανερῶς πλημμελουμένων καὶ
βεβήλως τολμωμένων, οἷς προσήκει, ἄλλως-
τε καὶ θρησκείας νομιζομένης τῆς ἀλογίας
ταύτης, μή πως ἐπ' αὐτοὺς ἡ θεία ὀργὴ ἀ-
μετανοήτως ἐρεθιζομένη φθάνῃ εἰς τέλος.
ἡμεῖς δὲ περὶ τῶν εὐχῶν, ὅτι ὁ προσευχόμε-
νος γλώσσῃ μὴ συνιόντων ἑτέρων, ἔχει τὸν
νοῦν ἄκαρπον, ἐμάθομεν ἐκ τῶν πρὸς κο-
ρινθίους γεγραμμένων, ἐὰν ᾖ μὴ ἐπίστηται καὶ
αὐτὸς τὸ λαλούμενον, θαυμάσαι μ' ἂν πῶς
εἴπῃ τις προσεύχεσθαι τοῦτον, εἰ δὴ ἡ προ-
σευχὴ λόγος ἐστὶ γνωρίζων τῷ θεῷ τὰ τῶν
δεομένων αἰτήματα ἐν ὑπακοῇ καὶ πίστει
κυρίου ἰησοῦ. ποῖα δ' ἂν γένοιτ' αἰτήματα
ἀνεννόητα καὶ ἀσύνετα; καὶ ταῦτα τῶν οὐκ
ὄντων οἷα καὶ ἀμφισβήτησίν τινα προσίεσθαι;
ἀλλ' ὡς λύμη τε τῆς προσευχητικῆς ἐνεργεί-
ας παραιτητέα, καὶ ὡς λοιμὸς τῆς εὐσεβείας
φευκτέα ἐστὶ τοῖς εὐλαβουμένοις, οὐχ ἧττον
ἤπερ αἱ τῶν βαρβαρικῶν ἀγνώστων καὶ

ἀνδρ-

ἀνερμηνεύτων ῥημάτων, ὡς ὄντων δυνατωτέρων, παραχρῆσθαι. οὐ γὰρ ἔτι προσήκει κοῦ λόγου τάδε, ἀλλὰ μαγικῆς γοητείας οἰκεῖα. περὶ δὲ τῶν ὕμνων ἔγραψεν ὁ παῦλος τοῖς κολασσαεῦσι τάδε. εὐχάριστοι γίνεσθε. ὁ λόγος τοῦ χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως ἐν πάσῃ σοφίᾳ. διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ἐν χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ κυρίῳ. ἐξ ὧν φανερὸν, ὅτι καὶ τὰς ὑμνῳδίας καὶ γλώσσῃ εὐξυνέτῳ, καὶ γνώμῃ τοῖς ᾀδομένοις συνηρμοσμένῃ τελεῖσθαι δεῖ ἐν συνόδοις ἐκκλησιαστικαῖς. ἀλλὰ περὶ τούτων τέως διαλεχθέντες, τὸ λοιπὸν τὰ τῆς κυριακῆς προσαγορεύσεως κεφάλαια διελευσόμεθα ἐροῦντες ὅσα ὁ κύριος παράσχῃ περὶ αὐτῶν. καταλεγέτω τοίνυν τις ἐκεῖνα.

Παῖς.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. ἁγιασθήτω τὸ ὄνομά σου. ἐλθέτω ἡ βασιλεία σου. γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον, δὸς ἢ δίδου ἡμῖν σήμερον. καὶ ἄφες ἡμῖν

τὰ ὀφειλήματα, ἢ τὰς ἁμαρτίας ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. ἢ, καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν. καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

Κατηχητής.

Αὕτη ἐστὶν ἄρα ἣν ἐδιδάχθημεν ὑπὸ κυρίου ἰησοῦ, καὶ διὰ τοῦτο κυριακὴ ὀνομαζομένη προσευχή, περιέχουσα κεφάλαια αἰτημάτων ἓξ ἢ ἑπτὰ μάλιστα. τὸ δὲ προσκείμενον ἀκροτελεύτιον, οὐκ ἐστὶν τῆς κυριακῆς φωνῆς διάταξιν ἀλλὰ προσθήκην πρεσβυτέρων, τῶν ἐν ταῖς λειτουργίαις καὶ δημοσίαις ἐκφωνήσεσιν οὕτω περαινόντων τὴν εὐχήν, παραδεδομένον ἔγνωμεν. ἔχει μέντοι τοῦτο εὐσεβῆ τε τὴν γνώμην καὶ ῥῆμασιν ὅτι κάλλιστα διεφράσθη. ὥστ᾽ εὖ ποιησαίμεθ᾽ ἂν μηδαμῶς ἀποκάμνοντες ἐν τῷ ἐπιθεῖναι καὶ ταύτην οἷον κορωνίδα τῆς ὑμνήσεως τῇ τῆς προσευχῆς ῥήσει. ἀναλαβόντες δὲ τὰ πρῶτα φαμέν, ὅτι οὐ μόνον περὶ ὧν δεόμεθα ἐν τῷ προσεύχεσθαι ἐνθυμητέον, ἀλλ᾽ ὅτι προσευχό-

σευχόμενοι τῷ θεῷ ἅμα νουθετούμεθα περὶ ἅτε σπουδαστέον καὶ ὅσα φυλακτέον ἡμῖν, ἵνα διατελῶμεν, εὐσεβῆσαι τε πρὸς τὸν θεὸν ἀεὶ, καὶ καλοποιοῦντες μὴ ἐκκακῆσαι ἐπιμελούμενοι. ὡς ὅταν λέγωμεν, ἁγιασθήτω τὸ ὄνομά σου, γινῶσαι ἅμα ὀφείλομεν, πῶς βούλεται ἁγιασθῆναι ὁ θεὸς τοὔνομα αὐτοῦ καὶ ἐν οἷς μὴ ἁγιάζεται, ἵνα τραπώμεθ' ὥσπερ σπουδὴν τοῦ ἁγιάζειν ἐκεῖνο, καὶ φεύγωμεν τοὺς μολυσμούς. ὡσαύτως δὲ καὶ περὶ τὰς ἄλλας αἰτήσεις, νοήσωμεν καὶ τὸ δεόμενον καὶ τὸ ἑκάστοτε ὑποβαλλόμενον, ὥσπερ εἴρηται.

Περὶ τῆς διὰ προσευχῆς προσφωνήσεως.

Νυνὶ δὲ καιρὸς μετὰ τὰ περὶ τῆς καθόλου προσευχῆς λεχθέντα, σκέπτεσθαί τι καὶ καθέκαστα περὶ τῶν τῆς κυριακῆς προσευχῆς κεφαλαίων, τὴν ἀρχὴν πρότερον ἀκριβώσαντες πῶς εἴρηται. λεγέτω δέ τις αὐτὴν ἀποστοματίσας. ΠΑΙΣ. Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. ΚΑΤΗΧΗΤ. εἰ μὲν οὖν ἅπαντα, ὅσα αἰτήσασθαι δεῖν τοὺς πιστοὺς προεῖπεν ὁ κύριος, ἀναγκαίως κατὰ τὰς ἡμετέρας χρείας, καὶ ἀξίως τῆς βασιλείας τῶν οὐρανῶν, ἐν ᾗ πολιτεύονται οἱ χριστιανοί, τοῖς

κεφαλαίοις τούτοις ἐμπεριείληπται, ὥσπερ πεπείσμεθα καὶ ἔστιν ἀληθές, ἡμᾶς δὲ προσεύχεσθαι δεῖ νουνεχόντως καὶ οὐκ ἀργοὺς ὄντας τὴν διάνοιαν, δῆλον δὴ γίνεται ἐντεῦθεν, ὅτι ἐπὶ τῶν εὐσεβῶν μελέτης ἔργον ἂν εἴη, ἐφαρμόζεσθαι τούτοις τάς θ' ὑπὸ τῶν πρότερον ἐγγράφως παραδοθείσας εὐχάς, καὶ τὰς εἴτε ἡμῶν εἴτε ἑτέρων εὐλαβεῖς ὑπομνηματισμοὺς τῶν προσευκτικῶν τρόπων. κατὰ δὲ τὴν ἀρχὴν προσεπινοήσωμεν πάντως περὶ ἐκείνου πρὸς ὃν φθεγγόμεθα τίς τ' ἐστὶ, καὶ πῶς διάκειται πρὸς ἡμᾶς. ὅτι μὲν οὖν καὶ πρὸ τοῦ ἐπικαλεῖσθαι ἡμᾶς τὸν θεὸν, ἔχομεν εὔνουν τε καὶ γλιχόμενον αὐτὸν τοῦ βοηθῆσαι καὶ εὐεργετῆσαι τι ἡμᾶς, παρίστησιν ὁ χριστὸς διδάσκων τοὺς μαθητὰς αὐτοῦ, ὅτι ὁ πατὴρ οἶδεν ὧν χρείαν ἔχουσι πρὸ τοῦ αἰτῆσαι. τὸ δὲ γνῶναι τὸν θεὸν ὧν χρείαν ἔχουσιν οἱ πιστεύοντες, καὶ τὸ βούλεσθαι ἐπινεῦσαι ταῖς δεήσεσι κατεγγυᾶται, διὰ τῆς τοῦ πατρὸς, ἐπιταχθείσης προσαγορεύσεως. τίς γάρ ἐστιν ἄνθρωπος, φησὶν ὁ κύριος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον μὴ λίθον ἐπιδώσει αὐτῷ; καὶ εἴρηται σαφέστατα ὅτι τοῖς αἰτοῦσι δοθήσεται, καὶ οἱ ζη-

τοῦσιν-

τούτου εὑρήσουσι, καὶ τοῖς κρούουσιν ἀνοι-
γήσεται. ἐνταυθοῖ τοίνυν πρῶτον συναθροι-
στέον πάσας τὰς περὶ οἰκτιρμῶν καὶ ἐλέους
θεοῦ ὑποθήκας τῶν ἁγίων γραφῶν, οἷαι
πλεῖσταί τε ὅσαι ἄλλαι καὶ ἐν ταῖς ὅτι μάλι-
στα εἰσὶν αἱ τοῦ ρκθ΄. ψαλμοῦ παρακλήσεις,
ἄλλως τε καὶ ἐν αἰσθήσει τινὸς ὄντος τοῦ τῶν
ἁμαρτιῶν βάρους. ἐκεῖ γὰρ πρῶτον ὁ προ-
φήτης πληροφορεῖται περὶ τοῦ ἐλέους καὶ
χρηστότητος τοῦ θεοῦ, ἐπιρρώσας τὴν πίστιν
καὶ ἐγείρας τὴν ἐλπίδα, ὥστε προσεύχεσθαι
θαρσαλέως ἤδη τῷ θεῷ ἵλεῳ τε ὄντι καὶ
οὐκέτι ἀποστρεφομένῳ τὰς τῶν ἁμαρτωλῶν
αἰτήσεις, ὅσοι φοβούμενοι καὶ μετανοοῦντες,
ἐπικαλοῦνται αὐτόν. οὐ γὰρ πρότερον ἔκρα-
ξα, φησίν, ἀδημονῶν καὶ ἀκηδιῶν καὶ ἐτόλ-
μησα ἐπικαλέσασθαί σε, καὶ δεηθῆναι τοῦ
εἰσακούεσθαι, πρὶν γνῶναι ὅτι οἰκτίρμων τε
εἶ καὶ συγγνώμην νέμεις τοῖς παραπτώμα-
σιν οὐ λογιζόμενος τοῖς ἀθλίοις ἡμῖν ἐκεῖνα
διὰ τὸ ἔλεός σου. καὶ νῦν ἐνώπιόν σου φαί-
νεσθαι καὶ στῆναι οἷός εἰμι, πεποιθὼς ταῖς
ἐπαγγελίαις σου, καὶ τῷ λόγῳ προσαγόμε-
νός τε καὶ στηριζόμενος. καὶ διαπαντὸς ἀγα-
θὴν ἐλπίδα ἔχω, ἐπιστάμενος ὅτι οἰκεῖόν

σοι τὸ ἔλεος, καὶ λύτρωσις πλεονάζει παρὰ σοὶ περιουσιάζουσα, καὶ ὅτι λυτρώσῃ τὸν λαόν σου ἀπαλείφων τὰς ἁμαρτίας αὐτῶν. τοιαῦτα πολλὰ ἕτερα ἐν τοῖς προφητικοῖς λόγοις μάλιστα εὑρήσουσιν οἱ ζητήσαντες, καὶ ἕξουσιν ὕλην λαμπρὰν μελέτης ἧς λέγομεν χρησιμωτάτης τε καὶ θεοσεβεστάτης. ἵνα δὲ μὴ σφαλῶμεν οὐ μόνον περὶ γνώμης καὶ διαθέσεως τοῦ θεοῦ πρὸς ἡμᾶς, ἀλλὰ καὶ αὐτοῦ τοῦ θεοῦ ἁμαρτόντες, ἀναμνησθησόμεθα, ἔκ τε τῶν προειρημένων καὶ ὅθεν οὖν ἄλλοθεν ἐκδεξάμενοι, τῶν περιεχόντων τὴν τοῦ ἀληθινοῦ θεοῦ γνῶσιν. ὅνπερ ἐδιδάχθημεν τοῖς ῥήμασι αὐτοῦ, ἕνα θεὸν εἶναι ἐν τρισὶ προσώποις ἢ ὑποστάσεσι θεωρούμενον καὶ σεβόμενον καὶ δοξαζόμενον καὶ προσκυνούμενον. ἐνταῦθα τοίνυν οὐ μόνον οἷόν τινα, ἀλλὰ πάντως ὃν τῇ οὐσίᾳ τὸν θεὸν προσφωνοῦμεν, δι' ἐπιμελείας καὶ φροντίδος ἕξομεν, τῇ διανοίᾳ τε καὶ φράσει διωρισμένως καὶ ἀκραιφνῶς καὶ τρανῶς ὑποτυπῶσαι καὶ περιγράψαι, προσαγορεύοντες οὕτω πως.

Παντόκρατορ, ἀθάνατε, ἀΐδιε θεὸς ζῶν καὶ βασιλεύων ἀνάρχως καὶ ἀτελευτήτως, ὁ πατὴρ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ. ὁ ἐμφήνας

νας σεαυτὸν ἡμῖν χρηστότητι ἀμέτρητῳ, καὶ φθεγξάμενος περὶ τοῦ υἱοῦ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, αὐτοῦ ἀκούετε, ποιητὴς καὶ κτίστης ἁπάντων, σωτήρ τε καὶ προστάτης ἅμα τῷ συναϊδίῳ κυρίῳ ἡμῶν ἰησοῦ χριστῷ. ὃς ἀνελήφθη γνωρισθεὶς ἐν ἱεροσολύμοις, καὶ συμβασιλεύει σοὶ ἀεί, μετὰ πνεύματος ἁγίου ἐκκεχυμένου ἐπὶ τοὺς ἀποστόλους, σοφὸς, ἀγαθὸς, ἐλεήμων, ἐλεύθερος, δίκαιος, ἰσχυρὸς, ἅγιος, ὁ εἰπών, ζῶ ἐγώ, ἐγὼ ἀδωναΐ κύριος, οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, καὶ ζῆν αὐτόν. καὶ αὖθις, οὐ θέλω τὸν θάνατον τοῦ ἀνόμου, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἐκ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. καὶ αὖθις, ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε καὶ δοξάσεις με. δέομαί σου, ὁ εἷς, μόνος, ἀληθὴς θεὸς, ἐλέησόν με, ἵλεως γενόμενος διὰ τὸν υἱόν σου κύριον ἰησοῦν χριστόν, ὃν ἐνδέδωκας θεῖναι σφάγιον καὶ θῦμα ὑπὲρ ἁμαρτιῶν, καὶ μεσίτην καὶ ἱκέτην μόνον: ἁγίαζε, κυβέρνα, χειραγώγει, διόρθου πάσας δυνάμεις ψυχικὰς καὶ φώτιζε τὴν καρδίαν ἐμοῦ, ἐναύσας ἐν αὐτῇ πῦρ

νοερὸν διὰ πνεύματος ἁγίου σου, ἵνα διαλάμψῃ ἐν ἐμοὶ γνῶσις ἀληθὴς περί σου, καὶ πεποίθησις ἐπί σε, μετὰ ἐπικλήσεως διηνεκοῦς καὶ πίστεως ἀθραύστου, καὶ ἐντόνου εὐχαριστίας, ἐν ὑπακοῇ ἀδιακρίτῳ καὶ ταπεινώσει ἀνυποκρίτῳ. πρόστηθι σκεπάζων καὶ τὴν κραταιὰν χεῖρά σου ὑπερέχων ἀεὶ τῆς ἐκκλησίας σου, κατὰ τὴν ἐπαγγελίαν ἣν εἶπας. αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, τὸ πνεῦμα τὸ ἐμὸν ὅ ἐστιν ἐπί σοι, καὶ τὰ ῥήματα ἃ ἔδωκα εἰς τὸ στόμα σου, οὐ μὴ ἐκλίπῃ ἐκ τοῦ στόματός σου, καὶ ἐκ τοῦ στόματος τοῦ σπέρματός σου. ποίησον φαίνειν ἀεὶ τὸ φῶς τοῦ εὐαγγελίου ἐν ἡμῖν. ἐνδυνάμωσον ἐν ἀληθείᾳ ἡμᾶς διδάσκων καὶ φυλάττων ἀκέραιον τόν τε νοῦν ἡμῶν καὶ τὴν ψυχὴν ὅλην, τοῦ μήποτε ἐκβραβεύσαι ἡμᾶς οἷον εἰς σύρτεις τινὰς ἀνοίας ἐπικουρείου, ἢ ἄλλας ἅστινας οὖν μανιώδεις δόξας καὶ ἀτόπους φλυαρείας. τὴν δὲ διδασκαλίαν κοινὴν ἐν ἐκκλησίᾳ τήρησον καθαρὰν καὶ ἀλώβητον, καὶ ὑποβάσταζε τῶν πολιτειῶν, ὅσαι προξενοὺς παρέχουσιν αὐτὰς ἐν τῇ γῇ τοῖς ἐκκλησιαστικοῖς συλλόγοις. ἀντίστηθι ἀεὶ ὑπὲρ ταλαιπώρων ἡμῶν τῶν σῶν προβατίων, μαχόμε-

χόμενος λύκοις καὶ λέουσι τοῖς ἐνεδρεύουσι τῇ σωτηρίᾳ ἡμῶν. τρέψαι καὶ ἀποδίωξον πᾶν πνεῦμα ἀκάθαρτον, ψεύδες, ἀνθρωποκτόνον, ἀσεβὲς, ἀντίχριστον καὶ θεοέχθρον, καὶ οὐ μὴ περιίδῃς ποτὲ ἡμᾶς ἁρπαζομένους ἐκ τῶν χειρῶν τοῦ χριστοῦ σου.

Ω χριστὲ ἰησοῦ, υἱὲ θεοῦ ζῶντος, θεὸς ἀληθινὸς, λόγος καὶ εἰκὼν τοῦ ἀϊδίου πατρὸς καὶ ἀπαύγασμα δόξης αὐτοῦ, ὁ ἐνανθρωπήσας ὑπὲρ ἡμῶν, καὶ παθὼν τῇ σαρκὶ, σταυρωθεὶς, καὶ ζωοποιηθεὶς πνεύματι, ἀναστὰς καὶ ἀναληφθεὶς, συμβασιλεύων σὺν τῷ πατρὶ παντοδυνάμῳ, καθήμενος ἐκ δεξιῶν αὐτοῦ, ὥστε δοῦναι δόματα τοῖς ἀνθρώποις, ἱκετεύσῃς δὴ ὑπὲρ ἡμῶν καὶ μεσιτεύσῃς ἀεὶ πρὸς τὸν πατέρα, ὁ εἰπὼν, δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς. καὶ ἐντυγχάνῃς ὑπὲρ ἐμοῦ πρὸς τὸν πατέρα, καὶ ἁγιάζῃς ἐμὲ πνεύματι σῷ ἁγίῳ, ὃν ἔπεμψας ὥσπερ ἐπηγγείλω παράκλητον καὶ ἐπίτροπον αὐτὸς οὐχ ἧττον συμπαρὼν καὶ φυλάττων σοὺς ἑαυτοῦ, κατὰ τὸ εἰρημένον, οὐκ ἀφήσω ὑμᾶς ὀρφανοὺς. ἐλέησον ἐμὲ γενόμενος ἀεὶ ἱκέτης ὑπὲρ ἐμοῦ. εὔθυνον ἐμὲ ὁδηγή-

σας καὶ καθαρτικὰς τῷ ἁγίῳ πνεύματί σου, καὶ ἀπάλεξον πᾶσαν ἔφοδον διαβολικὴν, τὴν ἐφορμῶσαν διά τε ψευδολογίας ἀσεβοῦς καὶ ματαιόφρονος ἀδολεσχίας, τοῦ προσαρραχθῆναι ἡμᾶς τῇ τε ἀκαθαρσίᾳ καὶ μολυσμοῖς αἵματος, καὶ ἀλλοτριωθῆναι παρατραπέντας τοῦ μόνου σωτηρίου ἀληθείας σου. πνευμάτων γὰρ ἔργα ἐστὶ τάδε φιλοψευδῶν τε καὶ δολίων, καὶ ἀσελγῶν καὶ φονικῶν, σκότους τε καὶ ζόφου ἐνοίκων, σὺ δὲ, ὦ χριστὲ υἱὲ θεοῦ, ἦλθες ἵνα λύσῃς τὰ ἔργα αὐτῶν.

Ω παράκλητε πνεῦμα ἅγιον θεὸς, ὃν πιστεύομεν ἐπὶ τοὺς ἀποστόλους θεόθεν ἐκκεχῦσθαι ὀφθαλμοφανῶς, καὶ ὑπισχνημένον ἴσμεν τῇ ἐκκλησίᾳ ὑπὸ χριστοῦ σωτῆρος υἱοῦ θεοῦ, πρὸς τὸ ἐναφθῆναι ἐν αὐτῇ διάπυρον ἐπίκλησιν τοῦ ὄντως ὄντος θεοῦ, καὶ τηλαυγῆ γνῶσιν ἀληθείας, κατὰ τὸ γεγραμμένον, ἐκχεῶ ἐπὶ τὸν οἶκον δαβὶδ πνεῦμα χάριτος καὶ οἰκτιρμῶν, καὶ κατὰ τὴν ἐπιμαρτυρίαν τοῦ μακαρίου παύλου, ὅτι ὁ θεὸς ἐξέχεεν τὸ ἅγιον πνεῦμα ἐφ᾽ ἡμᾶς πλουσίως διὰ ἰησοῦ χριστοῦ τοῦ σωτῆρος ἡμῶν. ἔγγραφον δὴ ἐν ταῖς καρδίαις ἡμῶν πίστιν βεβαίαν

καὶ

καὶ ἐνεργόν, καὶ αἴσθησιν ἀκριβῆ ἐλέους, οὗ ἡμῖν θεὸς πατὴρ ἀΐδιος ἐπηγγείλατο διὰ τοῦ αὐτοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ. γίνου δὲ ἡμῖν παράκλητος καὶ συνήγορος ἀγαθὸς ἐν πάσαις ἐνθυμήσεσί τε καὶ πράξεσι, βοηθῶν ἡμῖν καὶ ῥυόμενος ἡμᾶς ἐκ κινδύνων οἷς περιπίπτομεν ἑκάστοτε ἐν τῷ κόσμῳ. κίνησον καὶ τὰς φρένας ἡμῶν διὰ τῆς χάριτός σου, ἵνα τῇ διὰ ὀφειλομένης ὑπακοῆς σπουδῇ τόν τε ἀΐδιον πατέρα καὶ υἱὸν σωτῆρα, καὶ σὲ ἅγιον πνεῦμα παράκλητον σέβωμεν, θρησκεύοντες καὶ ὑμνοῦντες ἀεὶ, ἕνα, μόνον, πάνσεπτον καὶ προσκυνητὸν θεὸν ἀμήν.

Τοιαῦτά τινα προοιμιαζόμενοι ἐννοήσαντές τε ἅμα καὶ εἰπόντες, οὕτω δὴ καὶ καθεκάστα τῇ δεήσει χρησόμεθα, ὥσπερ αἱ περιστάσεις ὑποθήσονται, κατὰ τὴν τῶν κεφαλαίων διάληψιν, ἃ λοιπὸν ἂν εἴη δῆτα διεξέρχεσθαι νῦν ἀφωρισμένως, καὶ ἀναθεωρεῖσθαι ἓν καθ' ἕν. εἰπὲ σὺ τοίνυν ὁ πρῶτος τὴν πρώτην ἐκφωνῶν τῶν δεήσεων. ΠΑΙΣ. ἁγιασθήτω τὸ ὄνομά σου. ΚΑΤΗΧΗΤ. πῶς δεόμεθα νυνὶ δὴ γενέσθαι τοῦτο, ὅπερ ἀεὶ γίνεται καὶ πάντως; ἅγιος γὰρ ὁ

θεὸς,

θεὸς, ὁ χθὲς καὶ πρώην, φασὶν, ἀλλὰ πρὸ αἰώνων τε ἦν καὶ εἰς αἰῶνας τῶν αἰώνων ἔσται, ὁμοίως καὶ τὸ ὄνομα αὐτοῦ. ΠΑΙΣ. τὸ σὸν μὲν ἐξηγεῖσθαι ἡμῖν τάδε κατηχοῦντά σε, ἡμέτερον δὲ προσθέντας τῷ λόγῳ τὴν ἀκοὴν γενέσθαι μαθητὰς ἐπιμελεῖς τῆς σῆς διδασκαλίας. ΚΑΤΗΧ. ἴστε δὲ τοίνυν ὅτι οὐδὲν μὲν εὐχόμεθα ὑπὲρ θεοῦ ὡς χρήζοντος τοιᾶσδέ τινος ὑπεραγωνίσεως. πῶς γάρ; γελοῖόν γε εἴη. πάντων δὲ ὡς ἡμῖν συνοισόντων δεόμεθα. καὶ νῦν ἐν ἡμῖν περίβλεπτον γενέσθαι τὸ τοῦ θεοῦ ὀνόματος ἁγιασμὸν αἰτούμεθα. ἵνα ἐπιγνῶμεν θεὸν ἀληθινὸν, καὶ γεγονότα γνώριμον σέβωμεν, λατρεύοντες αὐτῷ κατὰ τὸν λόγον αὐτοῦ, ἐπικαλούμενοι καὶ προσκυνοῦντες καὶ θρησκεύοντες αὐτὸν μόνον ἐν ἀληθείᾳ. ἐπί τε τῷ κηρυχθῆναι τὸ εὐαγγέλιον, καὶ τηρηθῆναι καθαρὸν τὸ ῥῆμα τοῦ θεοῦ καὶ ὑγιῆ τὴν διδαχὴν ἐν ἐκκλησίᾳ, πάντα τε λέγεσθαι καὶ πράττεσθαι οὕτως, ὥστε δι' αὐτῶν δοξασθῆναι τὸν θεὸν, καὶ γενέσθαι θεοπρεπῆ καὶ οἷον τιμὴν καὶ ἔπαινον προσθεῖναι τῷ χριστιανισμῷ πάντα τὸν παρ' ἡμῖν τοῦ βίου τε καὶ τῆς διδασκαλίας τρόπον. τὸ δὲ σημαινόμενον

νόμενον τοῦ ὀνόματος τοῦ θεοῦ ἐνταυθοῖ, μα
θητέον δὲ ὧν περὶ τῆς πρώτης καὶ δευτέρας
τῶν ἐντολῶν εἴρηται. δεόμεθα δὲ θεόθεν ἅμα
πάντα τὰ ἐναντιούμενα τῷ ἁγιασμῷ, παυ
θῆναι ἤτοι μεταθέσει ἢ ἀποσκευῇ τῶν βια=
ζομένων ἢ σοφιζομένων τι κατὰ τοῦ ἁγίου
ὀνόματος τοῦ ἀϊδίου θεοῦ. οἷά ἐστι τὰ τυραν
νικὰ τολμήματα τοῦ κοσμικοῦ κράτους, καὶ
δόλια τῆς πανουργίας ἐπιχειρήματα, καὶ πᾶ
σα πλάνη εἰδωλολατρική, καθ' ὁποῖον οὖν
τρόπον ἢ σχῆμα, ἐπισκωμάζουσα τῇ ἐκκλη=
σίᾳ, καὶ πρόβλημα τιθεῖσα τῆς μοχθηρᾶς δια=
τριβῆς ἢ καὶ ψευδολογιῶν ἀσεβῶν, τὸ ἅ=
γιον καὶ θεῖον ὄνομα. γίνονται δὲ εὔκαιροι
ἐνταῦθα πρὸς τῶν εὐχομένων περιεμπλοκαί,
τῶν τε ψαλμῶν καὶ ἄλλων προφητικῶν προσ
ευχῶν ὑπὲρ εὐσεβείας καὶ θρησκείας ἀλη
θινῆς, καὶ κατὰ τῆς θεομάχου ἀσεβείας ἀνα=
πεμφθεισῶν πρὸς τὸν θεόν. ὥσπερ καὶ κα=
τὰ τὰ ἄλλα τῶν ἑκάστοτε κεφαλαίων τῶν ἐπ'
ἐκεῖνα ἀνηκουσῶν. ἅπερ ἅπαντα τῇ τῶν εὐ=
λαβῶν, ὡς εἰκός, μελέτῃ καταλιπόντες,
χωρήσωμεν ἤδη τὰ ἑξῆς. καὶ ἀποστοματισά=
τω δὴ ὁ δεύτερος τὴν δευτέραν δέησιν.
ΠΑΙΣ. ἐλθέτω ἡ βασιλεία σου. ΚΑΤΗΧ.

ὅτε προσεύχεσθαι ἐδίδαξεν ὁ χριστὸς τοὺς μαθητὰς, ἡ βασιλεία τοῦ θεοῦ ἤρξατο ἤδη καὶ ἐπὶ γῆς γνωρίζεσθαι. ἐκέλευσε τοίνυν δεῖσθαι αὐτοὺς τοῦ ἐλθεῖν ἐνδόξως καὶ τελέως ἐκείνην. νοεῖται δὲ ἡ βασιλεία τοῦ θεοῦ καὶ ἐνταυθοῖ ἐν τοῖς πιστεύουσι, καὶ ἐν οὐρανοῖς διὰ ἀποκαλύψεως ἰησοῦ χριστοῦ. εὐχόμεθα τοίνυν κατ' ἀμφότερα, τὴν πίστιν καὶ τὸ κήρυγμα καὶ τὴν εὐαγγελικὴν πολιτείαν καθ' ἡμᾶς τε μένειν ἀσάλευτον καὶ αὐξηθῆναι, καὶ φοιτᾶν κἀπὶ τοὺς ἄλλους, ἵνα μείζων ἀεὶ γίνοιτο ἀριθμὸς καὶ ὄχλος πλείων τῶν υἱῶν τῆς βασιλείας. καὶ ὡσαύτως στενάζομεν ἡμεῖς ἐν ἑαυτοῖς υἱοθεσίαν ἀπεκδεχόμενοι τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. ἐπικαλούμεθα δὲ ταῦτα προσευχόμενοι, τὸν θεὸν βοηθὸν γίνεσθαι καὶ σωτῆρα καὶ ποιμένα τῆς ἐκκλησίας, καὶ ἀντιτάξαι τὴν αὐτοῦ θείαν καὶ ἀνίκητον δύναμιν, πρὸς τὰς διαβολικὰς ἐφόδους τε καὶ ἐνεδρεύσεις διά τε τῶν ἐχθρῶν τοῦ σταυροῦ καὶ τῆς τυραννίδος τοῦ κόσμου, πρός τε τὰς ἐφορμὰς ἐπ' ἀθείαν καὶ δεισιδαιμονίαν, καὶ πάντα ὅσα αἰσχρά τε καὶ ἄνομά ἐστιν, οἷον αἱ πολυψεδεῖς μάλιστα εἰδωλολατρεῖαι καὶ ἡ ὑπερηφα-

νία,

νία, αἵ τε μιαιφονίαι καὶ ἀσέλγειαι τῆς αἰσχρουργίας, καὶ συνελόν τι εἰπεῖν, τὸ φιλοψευδὲς καὶ ῥᾳδιουργόν. αὕτη γὰρ πάσης κακίας ῥίζα. ὦ ἅγιε πάτερ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, καὶ διὰ ἐκεῖνον καὶ ἡμέτερε πάτερ, παμβασιλεῦ, γενοῦ δὴ ἀλεξίκακος τῶν δεινῶν τούτων, καὶ κατεύθυνε κυβερνῶν τὰς φρένας ἡμῶν τῷ ἁγίῳ πνεύματί σου, ἵνα μὴ ἐκπεσόντες τῆς βασιλείας σοῦ, ὡς ἀποστάται τῆς ἀληθείας, καὶ αὐτόμολοι προσχωρήσωμεν τοῖς πολεμίοις, καὶ στρατευσώμεθα μετ' αὐτῶν ἐν τῷ προσνεῖμαι ἑαυτοὺς τῷ ψεύδει. ἐπεὶ δὲ κἀνταῦθα ἡ τῆς βασιλείας τοῦ θεοῦ ἰσχὺς ἀμαυροτέρα καταφαίνεται καιροῖς τε ἐνίοις καὶ τόποις, καὶ ἡ τοῦ υἱοῦ θεοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἐπὶ συντελείᾳ τοῦ αἰῶνος προσέλευσις, βραδύνειν δοκεῖ πως τοῖς ἁγίοις, ὁρῶσί τε τὴν τοῦ κόσμου ἀντίχριστον μανίαν, καὶ δυσφορουμένοις ταῖς ἀνοίαις τῶν ἀνθρώπων, καὶ θλιβομένοις πρὸς τῶν ὑπηρετῶν τῆς διαβολικῆς αἰκίσεως καὶ βασανίσεως, καὶ στενοχωρουμένοις ἐν τῇ καρδίᾳ αὐτῶν τῷ αἰσθάνεσθαι τοῦ βάρους τῆς ἁμαρτωλοῦ σαρκός, καὶ τῆς ἀγνωμοσύνης τοῦ ψυχικοῦ ἀνθρώπου:

δίον)

δέονται οὖν οἱ τῆς βασιλείας κληρονόμοι,
ἐν τῇ γῇ τὴν τοῦ θεοῦ βασιλείαν εὐοδωθῆ-
ναι πολυανθρωπήσασαν, καὶ αὐτὸν ταῖς
ἀνιάτοις ἐναντιώσεσιν ἀντιτάξαι τέλος
ἑαυτόν. καὶ μὴ ἐᾶσαι εὐημερεῖν διαπαντὸς
τὴν τυραννίδα τῶν ἐναντίων καὶ πολεμίων
ὄντων τῇ βασιλείᾳ αὐτοῦ. καὶ οὕτω περὶ τῆς
δευτέρας αἰτήσεως διανοηθέντες τε καὶ
εἰρηκότες, ἴδωμεν δὴ τί αὖ περὶ τὴν τρί-
την μελετώη τις ἄν. ὑπαγορευθήτω δὲ
κἀκείνη. ΠΑΙΣ. γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. ΚΑΤΗΧ. τὸ τοῦ
θεοῦ θέλημα διττόν ἐστι. τὸ μὲν τοῦ κράτους,
πανδυνάμόν τε ὑπάρχον καὶ ἀκατάσχε-
τον πάντη. κατὰ τὸ τῆς ψαλμῳδίας, ὁ θε-
ὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ πάντα
ὅσα ἠθέλησεν ἐποίησε. καὶ τούτου πέρι, χρεί-
αν οὐκ ἔχομεν αἰτῆσαί τι. τὸ δὲ τῆς εὐδοκίας
θεοῦ θέλημα ἀποτρόπαιόν τε τοῦ θανάτου, ὡς
εἴρηται, καὶ ζωοποιόν ἐστι, καὶ περὶ τούτου πα-
ρεδόθη ἡ δέησις. τοῦτο γὰρ ἐστὶ θέλημα τοῦ
πέμψαντός με, φησὶν ὁ χριστὸς, ἵνα πᾶς ὁ
θεωρῶν τὸν υἱὸν, καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ
ζωὴν αἰώνιον. καὶ ἐν τῇ ἐπιστολῇ γράφει ἰω-
άννης, αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πι-

στεύω-

στεύωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ ἰησοῦ χρι-
στοῦ καὶ ἀγαπῶμεν ἀλλήλους. καὶ ὁ παῦλος
γράφει τοῖς θεσσαλονικεῦσι, τοῦτό ἐστι τὸ θέ-
λημα τοῦ θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν. εὐδοκίας
ἄρα τοῦ θεοῦ θέλημά ἐστι, πρῶτον μὲν ἡ γνῶ-
σις τῆς ἀληθείας. τοδεύτερον δὲ, ἡ ἁγία ἀνα-
στροφὴ καὶ καλὴ καὶ ἀγαθὴ ἐν χριστῷ, ἐν τῷ
ἀπέχεσθαι σαρκικῶν ἐπιθυμιῶν καὶ πάντα
ὅσα πράττεται παρανόμως καὶ ἀθέσμως ἐν
τῷ κόσμῳ. ἀντίκειται γὰρ τῷ θείῳ θελή-
ματι τὸ τῆς σαρκὸς καὶ διανοιῶν, ἐν τοῖς μὴ
πειθομένοις τῇ ἀληθείᾳ καὶ ἀναστρεφομένοις
ἐν ματαιότητι, καὶ τὸ αὐτὸ, τὸ τῶν ἐθνῶν θέ-
λημά ἐστι παρὰ τῷ πέτρῳ, ἐν οἷς φησὶν, ἀρ-
κετὸς ἡμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ βίου,
τὸ θέλημα τῶν ἐθνῶν κατεργάσασθαι πο-
ρευομένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνο-
φλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις
εἰδωλολατρείαις. τὸ δὲ θέλημα τοῦ θεοῦ, οἱ μὲν
ἅγιοι ἄγγελοι ἐν οὐρανῷ προθυμότατα ποι-
οῦσιν ἀεὶ, οὐδεπώποτε ἐναντιούμενοι οἷς παρήγ-
γειλεν ὁ θεὸς καὶ ἃ ἔδοξεν αὐτῷ ἐν δὲ τῇ γῇ
τὸ τῶν ἀνθρώπων φῦλον, πλειστάκις τε ἀπει-
θεῖ τῷ θεῷ, καὶ ὑπακούει νωθρότατα. ὥσπερ
καὶ προείρηται ἤδη καὶ νῦν διὰ τὸ ἐν θά-

δὲ τοῦ χριστοῦ ὑποθήκης διδασκόμεθα, ὅτι βούλεται σοῦ αὐτοῦ αἰτῆσαι, τὸ γενέσθαι καὶ τῇ γῇ τὸ θέλημα θεοῦ καθάπερ ἐν οὐρανῷ τελεῖται. ὡς ὄντος μὲν ἀναγκαίου τούτου τοῖς σωθησομένοις, μὴ ῥᾳδίως δὲ πληρουμένου, ἀλλὰ χρήζοντος τῆς θείας ἐπικουρίας καὶ εὐσεβοῦς σπουδῆς τῶν φοβουμένων τὸν θεὸν καὶ περιπατεῖν ζητούντων ἐν ὁδοῖς κυρίου. εὑρίσκεται δὴ τὸ πρᾶγμα περὶ οὗ λέγομεν νῦν, οὐδαμῶς φαῦλον ὂν ἢ εὐχερὲς, ἀλλὰ καὶ τῶν πάνυ μεγάλων καὶ χαλεπῶν. ὥσπερ γὰρ τὸ τοῦ θεοῦ θέλημα πνευματικόν ἐστιν οὕτω καὶ ἡμῖν ἡ πάλη οὐ πρὸς αἷμα καὶ σάρκα, φησὶν ὁ ἀπόστολος, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς οὐρανίοις. ἡμεῖς δὲ σάρκα τε περιβεβλήμεθα, καὶ ψυχὴν κεκτήμεθα ἀνθρωπίνην, χρῆμα ἀσθενὲς ἀμφότερον καὶ εὐανάτρεπτον. διὸ γρηγορῆσαι καιρὸς, ἵνα προσέχωμεν τῷ θεῷ, καὶ σωφρονήσαντες νήψωμεν εἰς τὰς προσευχὰς, κατὰ τὸ τοῦ ἁγίου πέτρου παράγγελμα.

Καὶ ταῦτα δὴ τὰ τρία αἰτήματα πρῶτά

τά ἐστι τῇ τε τάξει καὶ τῇ ἀξίᾳ. οὐ γὰρ δεόμεθα ἐν τούτοις περὶ μικρῶν τινῶν ἢ τυχηρῶν καὶ προσκαίρων πραγμάτων, ἀλλὰ μέγιστά τε ἐστὶ ταῦτα καὶ ἀξιολογώτατα καὶ ἀΐδια. πρῶτον μὲν ἡ τοῦ ἀληθινοῦ θεοῦ ἐπίγνωσις, ἐπιστήμη οὖσα καὶ σοφία μόνη θεοσεβὴς καὶ σωτήριος, καὶ οὐδέποτε καταργουμένη. ἔπειτα δὲ τὸ δεύτερον, τὸ ἔργον καὶ ἀποτέλεσμα ταύτης, ὅπερ ἐστὶν ἁγίου πνεύματος κυβέρνημα, τοῦ διδάσκοντός τε ἅμα πάντα καὶ κινοῦντος ἡμᾶς πρὸς ἃ καλῶς ἔχει ἐνθυμεῖσθαί τε καὶ πράττειν τοὺς πιστοὺς καὶ θεοφιλεῖς. τὸ τρίτον δὲ, ὃ παρεπομένου τόπον ἐπέχει, τὸ ὑπηκόους καὶ εὐπειθεῖς γίνεσθαι πάντας καὶ ἑτοίμους πρὸς τὸ ὑπηρετεῖν σπουδαίως τῷ θείῳ θελήματι, ὥστε κἀνταῦθα πολιτεύεσθαι πολίτευμα, ἐν τῷ ἕκαστόν τινα κατὰ τὸ ἐπιβάλλον αὐτὸ, πιστὸν εἶναι καὶ ἐπιμελῆ, καὶ ἡσυχάζειν πράττοντα τὰ ἴδια, πρὸς ὠφέλειαν κοινὴν, καὶ περιπατεῖν ἀξίως τῆς κλήσεως καὶ εὐσχημόνως πρὸς τοὺς ἔξω. ἐπεὶ δὲ πρὸς τὸν ἐνθάδε βίοτον ἀναγκαία ἡ διατροφὴ καὶ ὅσα πρὸς αὐτὴν ἀναφέρεται, παρέχειν βούλεται καὶ ταῦτα ὁ φιλάνθρωπος θεὸς, καὶ φιλόστορ-

γος πατὴρ, τοῖς αἰτοῦσιν, ἣν δὴ πρότερον ζητήσωσι βασιλείαν καὶ δικαιοσύνην αὐτοῦ, ἀλλὰ πῶς παρήγγειλεν ὁ κύριος προσεύχεσθαι περὶ τούτων; λέγε σὺ ὁ τέταρτος. ΠΑΙΣ. τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. ΚΑΤΗΧ. κελευόμεθα τοίνυν προσεύχεσθαι νῦν περὶ τῶν πολιτικῶν καὶ οἰκονομικῶν. τούτων γὰρ εὖ καὶ ἀμέμπτως ἐχόντων, καὶ ἡ τροφὴ παραγίνεται ἄφθονος. συγχεομένων δὲ ἢ λωβηθέντων, εὐθὺ παρὰ πόδας, ἔνδειά τ' ἐπηκολούθησε καὶ σπάνις, ἁπάντων ὅσα ἀναγκαῖα πρὸς τὴν τοῦ τῆδε βίου διαγωγήν. ταράττει δὲ τάδε τοὺς πολλοὺς μάλιστα. καὶ εἰσὶ δεινότατοι τῶν περιστάσεων τρεῖς αἵδε. πόλεμος. λοιμικὴ νόσος. καὶ τροφῆς ἀπορία ἤγουν λιμός. καὶ δι' αὐτῶν τὰ σωματικὰ καὶ βιωτικὰ λυμαίνεται ὁ κακοῦργος καὶ μισάνθρωπος δαίμων, συγχωροῦντος τὴν ἐκδίκησιν γενέσθαι τῶν ἀνθρωπίνων πλημμελήσεων, τοῦ δικαίου θεοῦ. διὰ τοῦτο ἡ ἐκκλησία πρὸς τὸ ἔλεος τοῦ θεοῦ καταφεύγουσα, αἰτεῖ τὰ ἀναγκαῖα πορισθῆναι αὐτῇ, καὶ ἀποτραπῆναι τὰ βλάπτοντα τὸν ἐνθάδε βίον. νόσους φημὶ καὶ ψυχῆς ἅμα καὶ σώματος καὶ χρημάτων

κακώσεις, αἷς περιπίπτομεν ἔκ τε τοῦ τοῦ ἀέρος μοχθηρᾶς καταστάσεως καὶ χειμώνων καὶ αὐχμῶν, ἔκ τε τῆς ἀνθρωπίνης πονηρίας, χειρῶν τε ἀδίκων καὶ κακοβουλίας, καὶ δὴ καὶ ἀπὸ θηρίων τῶν δηλεῖσθαι πεφυκότων τά σώματά τε καὶ κτήματα τῶν ἀνθρώπων. αἰτούμεθά τε παρέχειν τὸν θεὸν ἡμῖν, διατροφὴν, εἰρήνην, ἄρχοντας ἀγαθοὺς, ὑγείαν, εὐημερίαν, ἡσυχίαν, εὐτεκνίαν καὶ παιδαγωγίαν, καὶ ὅσοις ἄλλοις ἀνθεῖ τε καὶ εὐθηνεῖ τά τε πολιτικὰ δημοσίως καὶ τὰ οἰκονομικὰ ἰδίως. εἶεν δή. ἀλλὰ τί φήσομεν σημαίνεσθαι παρὰ τοῦ ἐπιουσίου ὀνόματι; ἢ μηδὲν ἄλλο εἶναι ἢ τὸν καθ' ἡμέραν ἐπιτήδειον τροφήν. ἄρτον γὰρ ἴσμεν βρῶμα ἰδίως ἀνθρώπινον νομίζεσθαι. τὸ δ' ἐπιὸν, συνέχειάν τινα δηλοῖ. οὕτω καὶ εὐάγριος ἐξηγήσατο ὁ σεβαστηνὸς, εἰ ὅστις ἄλλος τὰ πρὸς Βασίλειον ἀναφερόμενα ἀσκητικὰ συνεγράψατο, τὸν ἐπιούσιον ἄρτον, τουτέστι τὸν πρὸς τὴν ἐφήμερον ζωὴν τῇ οὐσίᾳ ἡμῶν χρησιμεύοντα, οὐχ ἑαυτῷ ἐῶν ἐπιζητεῖν τινὰ, ἀλλὰ παρὰ θεῷ ἐντυγχάνειν βουλόμενος περὶ τούτου, κατὰ τὴν κυριακὴν διαταγήν. οὐ γὰρ ἡμέτερος ὁ πορισμὸς κἂν ἐργαζώμεθα, ἀλλὰ

θεοῦ τὸ δῶρον. οὔτε γὰρ ὁ φυτεύων ἐστί τι οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων θεός. μετὰ δὲ ταῦτα καὶ ὧδε τὰ λοιπὰ ἔτι ἔλθωμεν. καὶ εἰπὲ σὺ πέμπτον τί ἐστι; ΠΑΙΣ. καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα, ἢ τὰς ἁμαρτίας ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. ἢ, καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν. ΚΑΤΗΧ. λεκτέον τι κἀνταῦθα περὶ τοῦ τῶν ὀνομάτων σημασίας. κέχρηνται γὰρ ἐνθάδε οἱ τῶν εὐαγγελικῶν διηγήσεων συγγραφεῖς, τρισὶν ὀνόμασιν, ἁμαρτίας, ὀφειλήματος καὶ παραπτώματος. ἐὰν γὰρ, φησὶν ὁ χριστὸς παρὰ ματθαίῳ, ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. ἔστι τοίνυν ἁμαρτία στέρησις τῆς ὀρθότητος, ἤγουν τοῦ εὖ ἔχοντος ἢ δέοντος ἀποτυχία, καὶ αὕτη εἴη ἂν ἐκτροπὴ τοῦ καλοῦ. εἴρηται δὲ, ἤτοι παρὰ τὰς ἀρτάνας ἅμα σφιγγομένας (οὐδεὶς γὰρ ἢ ταύτης ἰσχυρότερος δεσμὸς τῆς ψυχῆς) ἢ παρ' ὅτι γε ἄλλο, οὐδὲν γὰρ διαφέρει. ὀφείλημα δὲ νοεῖται, τὸ ἐνεχόμενον πρὸς τὸ ποιῆσαι ἢ ἀποτῖσαι τινά. παράπτωμα δ' ἂν εἴη σφάλμα ἢ πταῖσμα καὶ ὡς ἐκ τοῦ αὐτομάτου γεγονὸς πρόσκομμα.

κομμα. ὅτι μὲν οὖν διὰ τὴν δωρεὰν διδο-
μένης χάριτος μεσιτεύοντος μόνου χριστοῦ
ἰησοῦ, ἀφέσεώς τε τῶν ἁμαρτιῶν τυγχάνου-
σιν οἱ σωζόμενοι, καὶ ἀποκαταλλαγέντες
τῷ θεῷ ἐν αἵματι τοῦ υἱοῦ αὐτοῦ εἰρήνην τὸ
ἀπὸ τούτου ἔχουσι πρὸς αὐτὸν δικαιωθέν-
τες, ἤδη δέδεικται: ἀνάγκη δὲ ἐστι πᾶσαν
τὸ τῆς δικαιοσύνης δῶρον προσοικειῶσαι
ἕκαστον ἑαυτῷ τῇ πίστει, ἄλλως τε καὶ μηδε-
νὸς ὄντος ἀναμαρτήτου παντελῶς, τοῦ ἔτι
ἐν σαρκὶ σκηνοῦντος. λέγει γὰρ ὁ ἀπόστο-
λος, οἶδα ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ τουτέστιν ἐν
τῇ σαρκί μου ἀγαθόν. καὶ ὁ ἰωάννης, ἐὰν εἴπω
μεν ὅτι οὐχ ἡμαρτήκαμεν ψεύστην ποιοῦμεν
αὐτόν. οὐκ ἔστιν δὲ ψιλὴν καὶ ὑποκριτικὴν
μνείαν τῆς ἀφέσεως, ἢ σχῆμα ἄλλως προσευ-
κτικῆς ταπεινώσεως, ἀλλὰ ταράττεσθαι τὴν
καρδίαν σφοδρῶς ἐνταῦθα, ἐνοχλεῖν τε καὶ
τοῖς ἁγίοις τὴν φροντίδα τήνδε, ἴσασιν
οἱ πειραθέντες, καὶ ἐνδείκνυσιν ἐν πλείστοις
ὁ δαβίδης. ὡς ὅταν λέγῃ ἐγὼ δὲ εἶπα ἐν
ἐκστάσει μου, ἀπέῤῥιμμαι ἀπὸ προσώπου τῶν
ὀφθαλμῶν σου. διὰ τοῦτο εἰσήκουσας φωνῆς τῆς
δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς
σέ. καὶ αὖθις. τὴν ἀνομίαν μου ἐγνώρισα, καὶ

τὴν ἀνομίαν μου οὐκ ἐκάλυψα. καὶ αὖθις ἱλάσθητι τῇ ἁμαρτίᾳ μου, πολλὴ γάρ ἐστιν. ἀλλὰ ταῦτα συλλέξουσί τε καὶ νοήσουσιν, οἱ μὴ ἐντρυφῶντες τοῖς ἰδίοις λογισμοῖς, καὶ οἷς ἐπιμελὲς μελετᾶν ἐν νόμῳ κυρίου ἡμέρας καὶ νύκτας. ὥστε δ' ἡμᾶς διὰ βραχέων καὶ κατηχητικῶς εἰπεῖν, ἐπεὶ δὴ κελευόμεθα προσεύχεσθαι ὑπὲρ ἁμαρτιῶν δύο παρίστασθαι ἐνταῦθα μαθησόμεθα. ἓν μὲν τὸ εἶναι ἁμαρτωλοὺς τοὺς προσευχομένους. οὐ γὰρ παίζειν γ' ἐπιτασσόμεθα, ἀλλὰ προσαιτῆσαι ὅπερ δῆλον ὅτι τῶν σπουδαζόντων ἐστιν, ἄλλως τε καὶ ἐπικαλουμένων τινῶν τὸν θεόν, τὸ δ' ἕτερον ὅτι εἰσακουσθησόμεθα αἰτήσαντες κατὰ τὸ θέλημα αὐτοῦ.

Προσήκει δὲ ἔτι ἐνταῦθα ἢ συνθήκη τις ἢ ἀπολογία, ἢ καὶ ὑπὸ αἵρεσιν αἴτησις. ἤτοι γὰρ ὁμολογοῦμεν καὶ αὐτοὶ ἀφιέναι τὰ ὀφειλήματα τοῖς πλησίον, ἢ λέγομεν ὅτι ἀφιέντες ἐκεῖνα δίκαιοι ἐσμὲν τυγχάνειν ἀφέσεως καὶ αὐτοί, ἢ οὕτω δὴ τῆς ἀφέσεως ἀξιοῦμεν μεμοιρᾶσθαι, ἣν καὶ αὐτοὶ φιλανθρωπευσάμενοι πρὸς τοὺς πέλας, μὴ λογιζόμεθα τὰ παραπτώματα αὐτῶν αὐτοῖς, καὶ οὐ παρεμβέβληται ταῦτα πρὸς τὸ πορισθῆ-

σαι

σαί τινα πόρον τοῦ ἐγκρατῆ γίνεσθαι τῆς ἀφέσεως διὶ οἰκείων ἔργων ἢ δικαιοσύνης ἰδίας. πεφανέρωται γὰρ διὰ εὐαγγελίου βουλὴ θεοῦ ἀΐδιος καὶ ἀμετάθετος, περὶ τῆς καταλλαγῆς καὶ εἰρηνοποιήσεως καὶ ἱλασμοῦ. ὅτι δι' αἵματος χριστοῦ ἰησοῦ μόνου ἐπελέσθη πάντα, κατὰ δύναμιν θεοῦ τοῦ σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, φησὶν ὁ μακάριος παῦλος, ἀλλὰ κατὰ τὴν ἰδίαν πρόθεσιν καὶ χάριν, τὴν δοθεῖσαν ἡμῖν ἐν χριστῷ ἰησοῦ, πρὸ χρόνων αἰωνίων, φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ. οἱ δὲ τῇ πίστει λαβόντες τὸ δῶρον θείας χάριτος, ὀφειλέται εἰσὶν ἤδη οὐκέτι τῇ σαρκὶ ἀλλὰ τῷ πνεύματι. νόμος δὲ πνευματικὸς μάλιστα ὁ τῆς ἀγάπης, ὃν καὶ χριστοῦ νόμον ὀνομάζει ὁ παῦλος. τὸ γὰρ τέλος, φησὶν ὁ αὐτὸς τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου. θεωρεῖται δὲ ἐναργέστατα ἡ τοῦ χριστιανίσαι σπουδὴ καὶ φιλοπονία ἐν τῷ ἀγαπᾶν τὸν πλησίον καὶ μηδενὶ ἐπιβαρῆσαι μᾶλλον ἢ εὐεργετῆσαι καὶ ἐπικουφίσαι κατὰ δύναμιν καὶ τὸ ἑαυτοῦ μέ-

ρος ἅπαντας, ἐν πάσῃ πραότητι καὶ εὐμενείᾳ καὶ χρηστότητι καὶ ἐπιεικείᾳ πρὸς τοὺς ὁμοφύλους, ἢ ἀληθέστερον εἰπεῖν, ὁμοδούλους ἐν ὑπηρεσίᾳ κοινῆς πίστεως. καὶ τὸ γινόμενον ἐνταῦθα σαφῶς δείκνυσιν ἡ παραβολή, τοῦ τῶν μυρίων ταλάντων ὀφειλέτου, ὅπερ κεφάλαιον μέγιστόν τε ἐστὶ καὶ ὑπό γε δούλου ἀκατάβλητον, εἴη δὲ κατὰ τοῦ νυνὶ νομίσματος ὡσεὶ ἑξακόσιαι μυριάδες χρυσῶν. καὶ τυγχάνει μὲν ἀφέσεως τοῦ διανείου ἐλεηθεὶς ἐκεῖνος, ἀνακαλεῖται δὲ μετ' ὀλίγον πρὸς τιμωρίαν, οὐ προσενεχθεὶς ὁμοίως τῷ συνδούλῳ. εἰ δέ τις φρονῶν ὑψηλὰ καὶ οὐχ οἷα δεῖ, περιεργάζεται ἐν τοῖς θείοις λόγοις τε καὶ πράγμασι, δέον μετὰ φόβου καὶ τρόμου κατεργάζεσθαι αὐτὸν τὴν σωτηρίαν, καὶ μὴ μετεωρίζεσθαι λογισμοῖς ἀλλὰ δουλεύειν τῷ θεῷ ἐν ἁπλότητι νοός, ἐκεῖνος βλεπέτω μὴ καταβληθῇ ἐν τῷ ἐπαρθῆναι, ὑψωθεὶς γὰρ ἐταπεινώθην, φησὶν ὁ Δαβίδ, καὶ ἐξηπορήθην. στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν, κατὰ τὸν Σολομῶντα. ἀλλ' ἡμεῖς ἐπεὶ δὴ ἴσμεν οὖσαν ἀναγκαίαν, ὡς προαγορευθεῖσαν ὑπὸ κυρίου αἴτησιν διὰ τῶν ἁμαρτιῶν ἀφέσεως, οὐ φήσομέν ποτε περὶ τούτου ἀγιωσύ-

γνωσύνης ἐλαύνειν τινὰ δύνασθαι, ὥστε μηκέτι δεῖσθαι τῆς ἀφέσεως. γέγραπται γὰρ καὶ ἐν ψαλμῷ, ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος. ὁ τοίνυν μὴ προσευχόμενος ὑπὲρ ἁμαρτίας, ἀνόσιος ἂν λογισθείη. τοῖς χριστιανοῖς ἄρα πᾶσα ἀεὶ ἐλπὶς σωτηρίας, ἐν τῷ αἵματι καὶ τῷ σταυρῷ χριστοῦ ἰησοῦ, καὶ πάνυ τοι δικαιωθεῖσι. μᾶλλον δὲ ἐν τούτοις πᾶσα ἡ τῆς δικαιοσύνης ὑπόληψις καὶ πίστις τῇ τῆς δι' αἵματος χριστοῦ ἀφέσεως συγκαταθέσει καὶ πληροφορίᾳ ἐπαναπαύεται. ἔτι δὲ, εἰ οἰκεῖ ἐν τοῖς πιστοῖς τὸ τοῦ χριστοῦ πνεῦμα διδάσκον πᾶσαν ἀλήθειαν, κατὰ τὰ λόγια, ἐπίστανται ἄρα οἱ πιστοὶ θεοδίδακτοι γενόμενοι, ὅτι ὁ χριστὸς ἀπέθανε διὰ τὰς ἁμαρτίας, καὶ ἀνέστη διὰ δικαιοσύνην αὐτῶν, ὥστε ὁ μὴ συνιῶν μήτε κεκτημένος δικαιοσύνην, τὴν διὰ θάνατον καὶ ἀνάστασιν τοῦ χριστοῦ πορισθεῖσαν, σχολῇ γ' ἂν μετέχοι τοῦ πνεύματος χριστοῦ. διά τε τοῦτο, καὶ ὁ δαβίδης, ὡς ἔοικεν, οὐχ ἥκιστα, ἀεὶ σχεδὸν ἐπιμνησθεὶς τῆς ἀληθείας τοῦ θεοῦ, προστίθησι καὶ τὸ ἔλεος. ἀλλ' ἅλις γὰρ τούτων, ἴδωμεν ἤδη καὶ τὰ λοιπὰ τῆς προσευχῆς. καὶ εἰπὲ σὺ ὁ ἕκτος, τὰ μετὰ τὰ

εἰρη-

εἰρημένα. ΠΑΙΣ. καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ΚΑΤΗΧ. οὐδὲν μὲν οἷον διαιρουμένους ταῦτα, διαλήψασθαι ὡς περὶ δυοῖν αἰτήσεων. εἴη δὲ καὶ συνάπτοντας αὐτὰ ὁμοῦ προσενέγκειν, ὥστε ἀριθμηθῆναι αἰτήσεις ἑπτά. δεόμεθα δ' ἄρα περὶ τοῦ ἐνδυναμωθῆναι καὶ κραταιωθῆναι ἡμᾶς κατὰ πάσας περιστάσεις τῶν συμπτωμάτων, παρὰ τὸν ἡμετέρας ἐνθάδε παροικίας χρόνον. ὅτι γὰρ πειρασθῆναι τοὺς χριστιανοὺς ἐνταῦθα συμβαίνει, οὐκ ἔστι τῶν ἀμφισβητησίμων. καὶ προεῖπε δὴ καὶ ὁ χριστὸς τοῖς αὐτοῦ, λέγων, ὅτι ὁ κόσμος αὐτοὺς μισεῖ. καὶ, εἰ ἐμέ, φησιν, ἐδίωξαν, καὶ ὑμᾶς διώξουσι. καὶ ὁ παῦλος, πάντες οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν χριστῷ ἰησοῦ, διωχθήσονται. διωγμὸν δὲ λέγει ὁ ἀπόστολος, οὐ μόνον τῶν εἰδωλολατρῶν, ἀλλὰ καὶ τὰς θλίψεις καὶ τοὺς πειρασμούς. οὐκ ἔνι γὰρ πολεμοῦντα καὶ κινδυνεύοντα ἐν ἀνέσει ζῆν. πολεμητέον δὲ ἐνταυθοῖ διηνεκῶς φρονήματί τε καὶ λογισμοῖς καὶ ἐπιθυμίαις σαρκίναις. καὶ ἡ πάλη ἡμῖν πρὸς πνευματικὰς πονηρίας. καὶ φοβεραὶ αἱ διαβολικαὶ ἐνέδραι. ὥστε στενοχωρίαν εἶναι πάν-

τοθεν,

τοθε, καὶ ἐπικρεμᾶσθαι κινδύνους μεγάλους, καὶ δὴ καὶ φανερὸν καὶ προὖπτον τὸν ὄλεθρον, ἵν' μήτις ἐπικουρίαν εὕρῃ βοηθείας ἀπὸ θεοῦ, ἀντιλήπτορος τυχὼν αὐτοῦ. ὠσθεὶς, γάρ φησιν, ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ κύριος ἀντελάβετό μου. καὶ αὖθις, εἰ ἔλεγον, σεσάλευται ὁ πούς μου, τὸ ἔλεός σου κύριε ἐβοήθει μοι. κατὰ τὸ πλῆθος ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου. καὶ ὁ χριστὸς αὐτὸς ἀποφαίνεται μακαρίους τοὺς πενθοῦντας ὅτι αὐτοὶ παρακληθήσονται. ἐκ δὲ ὧν δῆλον δὴ, ὅτι ἀνάγκη τοὺς φοβουμένους θεὸν, ἐπαισθάνεσθαι προσβολῶν πολλῶν καὶ δεινῶν. ἵνα ἐν κινδύνοις ὄντες, ἐπικαλεσάμενοι τὸν θεὸν βοηθείας τυχῶσιν. εἰ γὰρ αὐτοὺς παρακληθῆναι δεῖ, δεῖ ἄρα καὶ λυπηθῆναι. γίνονται δὲ ἀμφοτέρωθεν αἱ προσβολαί. ἔνθεν μὲν τῶν ὀδυνηρῶν, ἔνθεν δὲ τῶν ἡδέων καὶ προσηνῶν, ὅσα κνησμοῖς τισι καὶ γαργαλισμοῖς περιέπουσι τὸ σάρκινον ἡμῶν σκῆνος. διὸ καὶ ὁ παῦλος παραινεῖ τοῖς κορινθίοις, μηδενὶ δοῦναι προσκοπὴν, φυλαττομένους αὐτοὺς ἐν δυνάμει θεοῦ, διὰ τῶν ὅπλων τῶν δεξιῶν καὶ ἀριστερῶν. οὐ γὰρ ἐλπὶς ἀντιστῆναι τῷ διαβόλῳ ἵνα

φυ-

φθέγξηται ἀφ' ἡμῶν, καὶ τῇ πονηρᾷ ἡμέρᾳ, ἵνα δυνηθῶμεν ἅπαντα κατεργασάμενοι στῆναι, οὐδὲ τὰ βέλη τὰ πεπυρωμένα τοῦ πονηροῦ σβέσαι, εἰ μὴ παραταχθείημεν ἀναλαβόντες τὴν τοῦ θεοῦ πανοπλίαν τὴν παρὰ τοῦ μακαρίου παύλου, μεθ' ἧς πρόκειται τὸ ἀμυντικὸν ὅπλον ἡ μάχαιρα τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ διὰ πάσης προσευχῆς καὶ δεήσεως. ὥσπερ δὲ οὐκ ἐσμὲν κύριοι τοῦ μὴ προσβάλλεσθαι ἡμῖν ἐναντίαν καὶ μυσαράν τινα ἤτοι ἐνθύμησιν ἢ πρᾶξιν, οὕτω μετὰ θείας ἀντιλήψεως, ἰσχύομεν ἐν τῷ ἐνδυναμοῦντι ἡμᾶς χριστῷ (ἐν ἡμῖν γὰρ ἀμύθητος ἀσθένεια καὶ δεινὴ κατὰ πάντα) προσευχόμενοι μένειν ἄτρεπτοι καὶ διὰ προσευχῆς ἀποκρούσασθαι τὴν ἐπιδρομήν, οὔτε προσιέμενοι τὰ προσγελῶντα τῶν τερπνῶν οὔτε εἴκοντες τοῖς στυγεροῖς τῶν δεινῶν. μνημονεύεται δὲ καὶ τῶν πάλαι ἀναχωρητῶν τινὸς λόγος, ὅτι καθάπερ τὰ ὑπὲρ κεφαλῆς πετόμενα ὀρνίθια, οὐδεὶς δύναιτ' ἂν κωλῦσαι τῆς μετεώρου φορᾶς, δύναιτο μέντοι μηδαμῶς ἐᾶσαι ἐφιζάνειν ἑαυτῷ ἐκεῖνα, οὕτω καὶ τὰς πειραστικὰς προσβολάς, οὐδένα μὲν οἷόν τε εἶναι ποιῆσαι μὴ ἐφορμῆ-

σαι

σαι αὐτῷ, ἵνα δὲ μὴ ληφθῇ τις μηδ' ἀνάξια περὶ τῇ ἐφόδῳ, τοῦ παρ' ἑαυτὸν ἤδη τῶν πιστῶν τοῦ ἔργου, ἀλλὰ διὰ προσευχῆς ἀμυνομένων τοὺς πολεμικοὺς βιασμοὺς καὶ τὰς θεοέχθρους ἐπιθέσεις ἀπελαυνόντων, καὶ φῶς θεμένων, ὥσπερ λέγεται, αὐτοῖς τε καὶ τοῖς ἄλλοις. μικρὸν δὲ ἐπιστητέον ὧδε τῷ ῥήματι, μὴ εἰσενέγκῃς. σημαίνεται γὰρ τούτῳ οὐ δὴ τοῦ θεοῦ οἱονεὶ ὠθισμός τις ἐπὶ τὰ δεινά. ὅτι καὶ κακοῦ ἐκεῖνος αἴτιος οὐδενὶ οὐδενός. ἀλλ' ὅτι αἰτοῦμεν μὴ περιορᾶν ἐκεῖνον ἡμᾶς κινδυνεύοντας ἐμβληθῆναί που τοῖς δεινοῖς. ἃ περιεστᾶσι μὲν πανταχόθεν ἡμᾶς, τῶν θηρευτικῶν σκανδαλήθρων δίκην, οὐκ ἔστι δὲ οἷά τε καὶ περικλεῖσαι καὶ συνέχειν καὶ βλάπτειν μὴ ἐμβαλόντος καὶ προωθουμένου τινός. οὗτος δέ ἐστιν ὁ διάβολος, ὁ πονηρὸς καὶ ἀντίχριστος καὶ θεόεχθρος καὶ μισάνθρωπος καὶ αἰσχρουργὸς δαίμων, προσχρησάμενος τῇ διεφθαρμένῃ ἑκάστοτε σαρκί, καὶ ψυχῇ οὐκέτι ἀκεραίᾳ ἐν τοῖς ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ προσέχουσι δὲ τῷ ψεύδει. καὶ ὅταν αἰτησώμεθα ῥυσθῆναι ἀπὸ τοῦ πονηροῦ, πρωτοτύπως μὲν τὴν φοβερωτάτην τοῦ σατανᾶ, ὅς ἐστι διάβολος, πονηρίαν μὴ ἰσχῦ-

ἰσχῦσαί τι καθ' ἡμῶν αἰτούμεθα. μετὰ δὲ τόδε, πάσας ἅμα βλάβας σωματικάς τε καὶ ψυχικάς, ὧν αἴτιος καὶ συσκευαστὴς ἐκεῖνος, ἢ παντελῶς ἀποτραπῆναι ἀφ' ἡμῶν, ἢ ἧττόν γε χαλεπῶς προσενεχθῆναι ἡμῖν. πιστὸς δὲ ὁ θεός, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν. ὅτι δὲ τὸ ῥητόν, μὴ ἀντιστῆναι τῷ πονηρῷ, οὐχ ἵσταται ἐμπόδιον τῇ προσευχῇ, ἤδη προείρηται. εὔξαιτ' ἄρα ἄν τις κατὰ τοῦτο τὸ μέρος ὧδέ πως. ὦ χριστὲ ἰησοῦ σωτὴρ ἀνθρωπίνου γένους, πρόστηθι ἡμῶν φυλάττων καὶ προνοούμενος, μή ποτ' ἀφελκυσθῶμεν ἀπό σου ἀναρπαζόμενοι ὑπὸ διαβόλου, καὶ κατενεχθῶμεν εἰς ἄβυσσον ἀσεβείας, προσέχοντες ψευδολογίαις, ἢ μιαινόμενοι αἱρέσεσιν ὁμοῦ παρανομίαις καὶ ἀθεμιτουργίαις. φώτισον τὰς καρδίας ἡμῶν καὶ κατεύθυνον τὰς φρένας, μήπως ἀνατραπῶμεν ἤτοι σφαλέντος δοκήσει, ἢ πταίσαντος ἀσθενείᾳ. σὺ οἶσθα ὅση ἀῤῥωστία τῆς φύσεως ἡμετέρας ἐστί. γενοῦ δὴ ἱκέτης ὑπὲρ ἡμῶν πρὸς τὸν ἀΐδιον θεὸν πατέρα, ἐξιλασάμενος αὐτὸν τῇ ἐντεύξει σου,

τοῦ κυβερνηθῆναι θεόθεν τόν τε νοῦν καὶ
πάσας δυνάμεις ψυχικὰς ἡμῶν, ἵνα εὐ-
γνωμονοῦντες ὀρθῶς βουλευσώμεθα τὰ λυ-
σιτελούντως περὶ πάντων κοινῇ τε καὶ ἰ-
δίᾳ. καὶ πρόσθες ἰσχὺν ταῖς καρδίαις ἡ-
μῶν, τοῦ δύνασθαι ἕπεσθαι ταῖς ἁγίαις ἐντο-
λαῖς, καὶ πείθεσθαι τῷ σωτηρίῳ λόγῳ σου,
ἵνα διατελῶμεν ὑπάρχοντες οὐκ ὀργῆς ἀλ
λὰ ἐλέους σκεύη, πρὸς δόξαν θεοῦ καὶ ὠφέ-
λειαν τῆς ἐκκλησίας σου. ῥῦσαι ἡμᾶς, ἀπὸ τῆς
διαβολικῆς τυραννίδος, ἔκ τε τῆς τῶν ἁμαρ
τιῶν αἰχμαλωσίας, ἔκ τε πάντων κακῶν
καὶ ταλαιπωριῶν, καὶ ὅσα αἴτια μεριμνῶν
βιωτικῶν, ἔκ τε σκανδάλων δημοσίως τε
καὶ ἰδίᾳ ἐρχομένων, ἵνα ἐλευθερωθέντες
τῆς τῆσδε ἀθλίας καὶ μοχθηρᾶς διαγωγῆς,
καταληψώμεθα τὸ τῆς χάριτός σου θεῖον
δῶρον, σοφίαν καὶ δικαιοσύνην καὶ ἁγιασ-
μὸν καὶ τέλος κληρονομήσωμεν κληρονο-
μίαν μακαρίαν ζωῆς εὐδαίμονος, ἀναληφ
θέντες εἰς τὰς οὐρανίας μονὰς πρὸς σέ, ζῆ-
σοντες ἀεὶ ἐν χαρᾷ ὑπερβαλλούσῃ πᾶσαν
αἴσθησιν τῶν τῆσδε ἀνθρώπων, μετὰ πάν-
των ἁγίων, παρὰ τῷ ἀϊδίῳ πατρί, καὶ σοὶ
συναϊδίῳ υἱῷ κυρίῳ ἡμῶν, καὶ τῷ ἁγίῳ

πνεύματι, ῷ ἑνὶ μόνῳ, ἀϊδίῳ ἀθανάτῳ, ἰσχυρῷ, εὐσπλάγχνῳ θεῷ, τιμή, δόξα, δύναμις, κράτος εἰς αἰῶνα τῶν αἰώνων ἀμήν.

Περὶ εὐχαριστίας.

Η εὐχαριστία παρ' ἑβραίοις ἐξομολόγησις ὠνομάσθη. ὅτι τὰ ἀγαθὰ καὶ ὅσα εὖ συνήνεγκεν, οὐκ ἰδιοποιεῖ, ἀλλὰ προτίθησι φανερῶς ἐξειποῦσα τὸ γεγονὸς πᾶσι, πρὸς τὸ δοξασθῆναι τὸν θεόν, τὸν βοηθὸν καὶ λυτρωτὴν καὶ ἀγαθοποιὸν αὐτὸν παρεσχηκότα τοῖς ἐπικαλουμένοις. εἰ δέ τις οὐκ ἂν οἴοιτο δεῖν λόγον ποιῆσαι τοῦ θεοῦ μετὰ τὰς εὐεργεσίας, ἤτοι ἀπολαύσας ἀγαθοῦ τινὸς ἢ ῥυσθεὶς ἐκ κακοῦ, τοῦτον ἤδη καὶ τῶν ἀλόγων ἀλογώτερον εἶναι νομιοῦμεν. οἱ πολλοὶ τοίνυν οὐ θείας εἶναι ἀλλ' αὐτομάτως πῶς ἡγούμενοι συμβαίνειν ὧν καθημέραν χρείαν ἔχομεν καὶ ὅσα παρέχει ὠφέλειαν τινα πρὸς τὴν τοῦ βίου φαιδροτέραν διαγωγήν, ὅτι βλέπουσι τὸν ἥλιον, ὅτι ὑγιαίνουσιν, ὅτι διατρέφονται, ὅτι πολιτεύεσθαι ἐν εἰρήνῃ, ὅτι περὶ τέχνας καὶ μάλιστα τὰς τῶν λόγων σπουδάζειν ἔξεστιν, ὅτι περιβαλλομένοις ἱμάτια ἕτοιμα, τοῦτο πρὸς ἀνάγκην ἐπιτήδειον καὶ τὸ εὐσχήμον

περι-

περιστολῆς γένεκα, περὶ τούτων ἄρα καὶ τῶν ὁμοίων, οἱ χυδαῖοι τῶν ἀνθρώπων διανοούμενοι ὡς νόμῳ φυσικῆς τινὸς ἀκολουθίας παραγγνομένων ἑκάστοτε, ἢ καὶ οὐδὲ τοῦτο, ἀλλὰ παντάπασιν ἀλογίστως διακείμενοι, χάριν ὑπὲρ αὐτῶν ἀποδιδόασιν ὁμολογοῦντες τῷ θεῷ οὐδεμίαν. γέγραπται δ' ὅμως, ὅτι οὐθ' ὁ ἥλιος δικαίως λαμπρύνει τὸ πρόσωπον τῆς γῆς, οὔτε πίπτει ὁ ὑετὸς ὀρανόθεν, ὡς ἔτυχεν, ἀλλ' ὁ οὐράνιος πατὴρ τὸν ἥλιον αὐτοῦ ἀνατέλλει, καὶ βρέχει ἐπὶ πάντας ὁμοῦ τοὺς ἐνοικοῦντας τὴν γῆν. ἀλλὰ τοῦτο μὲν τὸ μορφῇ τε καὶ σχήματι μόνον διαφέρον τῶν θηρίων γένος ἀνθρώπων, ἐῶμεν, τῶν δ' ἐπιεικέστεροι εἶναι δοκεῖν ἐθελόντων, πόσους ἂν εὕροι τις τοὺς ἐπιγνόντας τε τὰς θείας εὐεργεσίας καὶ ὑπὲρ τούτων εὐχαριστοῦντας τῷ θεῷ, ἀπὸ καρδίας, ἔστι δὲ ἀναμφιλέκτως μεγίστη καὶ ἐπιφανεστάτη τούτων ἡ προαγόρευσις καὶ ἐκφώνησις ῥήματος θεοῦ, διδάσκουσα ἡμᾶς πᾶσαν ἀλήθειαν καὶ παρέχουσα γνῶσιν σωτήριον τοῦ θεοῦ, δι' ἣν μήτε περὶ τῆς οὐσίας αὐτοῦ μύθους πλάττοντες σφαλησώμεθα, μήτ' ἀστοχήσωμεν τῆς βουλήσεως: αὕτη δὴ ἡ τοῦ εὐαγγελίου

λὶυ ἐκήρυξις, ἥκιστα τυγχάνει τοσαύτης καὶ τηλικαύτης εὐχαριστίας ὅσης ἂν ἄξιον ἦν τὸ μέγεθος καὶ κάλλος τῶν δώρων. μᾶλλον δὲ παρὰ τοῖς πολλοῖς τῶν χρόνῳ ἔσθ' ὅτε βραχεῖ, καὶ λίαν ἐκφαυλοῦται. γίνεται μὲν, ὡς μὴ ὤφελεν, οὕτως. οὐκ δὲ αὕτη τῶν βαρυτάτων τιμωριῶν αἰτία ἥντε καὶ ἔσται ἀεὶ τῷ ἀνθρωπίνῳ γένει, ἡ τῆς θείας ἐπισκοπῆς καὶ χάριτος καὶ τῶν οὐρανίων διανομῆς ἀξιωυεσία καὶ καταφρόνησις, καὶ τὸ ἀμελῆσαι τῆς ὑπὲρ τούτων εὐχαριστίας καὶ δοξολογίας ἤτ' οὖν ἐξομολογήσεως. μετὰ δὴ τὴν στέρησιν δάκρυα παρὰ θρηνοῖ, εἰκότως. ἐπεὶ δὴ γάρ φησιν ὁ Βασίλειος, παρακειμένων τῶν ἐκ θεοῦ ἀγαθῶν οὐκ εὐχαριστοῦμεν, ἀναγκαία ἡμῖν ἡ ἀφαίρεσις διὰ τὴν αἴσθησιν γίνεται. ὅτι γὰρ οὖν παρὰ πᾶσιν ἀνθρώποις τὸ μὴ γινώσκειν χάριν τοῖς εὐεργέταις, τῶν αἰσχίστων νομίζεται, ἀγνοεῖ σχεδὸν οὐδεὶς, εἰ δὲ οἱ πρὸς τοὺς ὁμογενεῖς ἀχαριστοῦντες δοκοῦσιν εἶναι κακοὶ, πόσῳ μᾶλλον οἱ τῶν θείων ἀγαθοποιῶν ἐπιλαθομένους μέμψαιτό τις ἄν; οὐδὲν ἄρα ταύτης τῆς ἀγνωμοσύνης καὶ ἀνοίας δεινότερον. ἣν φυλαξόμεθα, ὦ φίλοι παῖδες, μή ποτε περιπεσόν-
τες

τὸ χαλεπώτατά τι ἁμάρτωμεν, καὶ τῆς σωτηριώδους ἐλπίδος παντάπασι στερηθῶμεν. ἀνήκει δὲ πρὸς τὴν εὐχαριστίαν καὶ ἡ δοξολογία καὶ ὑμνῳδία ἧς οἱ δαβιδικοὶ ψαλμοὶ ἄφθονον ἂν ὕλην δύναιντο παρασχεῖν, ὅλοι τέ τινες ἐν τῷ εἴδει τούτῳ συγκείμενοι καὶ ἀνὰ μέρος ἐμπεπλεγμένον ἔχοντες ἐκεῖνο. ὥσπερ δῆλον τοῖς περὶ ταῦτα σπουδάζουσι. ἔστι πρὸς ὑμῶν δὴ μάλιστα τῶν ἐν λόγοις καὶ γράμμασιν ἀναστρεφομένων, ταῖς τε μεταφράσεσι καὶ μιμήσεσιν ἐκείνων, ἀσκῆσαι τὴν εὐσεβῆ μοῦσαν, ἐν τῷ συνθεῖναι ἀεί τι τοιοῦτο οἷον αἶνόν τινα τοῦ θεοῦ καὶ κλέος καταγγέλλειν. ὑμεῖς δή, ὦ φίλτατα τέκνα, οὐ μὴ παυθῆτε εὐχαριστοῦντες καὶ δοξολογίαν τελοῦντες τῷ θεῷ κατὰ πάντα καιρόν, τὸν ὀρθρινὸν μετὰ διυπνισθέντες, τὸν μεσημβρινὸν δὲ τροφῆς μεταληψόμενοι. καὶ αὖθις ἑσπέρας κοιμηθησόμενοι. καὶ αὖθις αὖ ἄλλοθι, κατὰ τὸ ἐψαλμένον, ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε, χρωμένης δὴ τῆς γραφῆς, ὡς ἔθος αὐτῇ, τῷ ἀριθμῷ ἀορίστως. μάλιστα δ' ἀποδοτέον τὴν εὐχαριστίαν ὁπότε τις εὐεργεσίας ἐξαιρέτου τινὸς τύχοι, ῥυσθεὶς ἐκ κακῶν ἢ βοηθηθεὶς ἐν

 δεινοῖς,

δεινοῖς, ἢ αὐξηθεὶς τῇ τοῦ βίου εὐροίᾳ, τοῦ μὴ μόνον τὴν εὐδοκιμοῦσαν καὶ μόνην ἀξίαν λόγου παρὰ θεῷ λατρείαν λογικὴν καὶ θυσίαν εὐάρεστον ἀποτίσαι, ὥσπερ πρέπει τοὺς χριστιανοὺς εἶναί τε καὶ προσαγορεύεσθαι βουλομένους, ἀλλ' ἵνα καὶ ἕτεροι τῷ παραδείγματι πρὸς τὸ αὐτὸ διεγερθῶσι. πρὸς τοῦτο γὰρ τὸ ἔργον καὶ περιηγγέλθησαν ἀεὶ αἱ συνάξεις ἐκκλησιαστικαί, καὶ δὴ καὶ νῦν οὕτω γενέσθαι ἐχρῆν. καὶ ἡ τὰ πρωτεῖα φέρουσα πρᾶξις ἐν αὐταῖς, τὸ τῆς εὐχαριστίας εἴληχεν ὄνομα. καὶ ὁ θεοφόρος παῦλος γράφων κορινθίοις συνυπουργῆσαι βούλεται αὐτοὺς ὑπὲρ ἑαυτοῦ τῇ δεήσει, ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς αὐτὸν χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ αὐτοῦ. καὶ αὖθις φησι, τὰ γὰρ πάντα δι' ὑμᾶς ἵνα ἡ χάρις πλεονάσασα διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν περισσεύσῃ εἰς δόξαν τοῦ θεοῦ. καὶ αὖθις, ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶν ἀναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ θεῷ, διὰ τῆς δοκιμῆς διακονίας ταύτης. καὶ οἴδαμεν ὅτι ἡ τῶν χριστιανῶν θυσία μία καὶ μόνη αὕτη. εἰ γὰρ τοὺς

θυσια-

θυσιάζοντας ἀποδιδόναι τι ἀφ' ἑαυτῶν χρὴ τῷ θεῷ, ἤτοι ἀπολαύσαντας πρότερον ἀγαθοῦ τινὸς ἢ καὶ εἰς ὕστερον τυχεῖν ζητοῦντας, ἔχουσι δὴ μόνην τὴν εὐχαριστίαν οἱ χριστιανοί, δι' ἧς πνευματικὴν θύσαντες θυσίαν ἀντίμισθον ἔργον τελεῖν ἀντὶ τῶν θείων μεγαλοδωρεῶν, οὐκ ἐπινενοημένον ἀφ' ἑαυτῶν, ἀλλὰ κελευσθὲν διὰ ῥήματος θεοῦ ὥστε ἱερουργεῖσθαι ἐν ἐκκλησίᾳ αὐτοῦ. περὶ οὗ καὶ ὁ Δαβίδης. τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι. ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι. τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. ἔνθα δὴ ὁ Βασίλειος ἀναθεωρησάμενος τὸ γεγραμμένον κατὰ τὸν εἰς τὴν μάρτυρα Ἰουλίτταν λόγον, ἀγχινούστατα τὸ τῆς ἀνταποδόσεως ῥῆμα ἐπεσημήνατο, ὅτι οὐκ εἴρηται δεδωκέναι ἀλλ' ἀντιδεδωκέναι ὁ μεγαλόδωρος, ὡς οὐχὶ κατάρχων χάριτος ἀλλ' ἀμειβόμενος τοὺς ὑπάρξαντας. τὸ γὰρ τῶν λαμβανόντων εὐχάριστον εἰς εὐεργεσίαν καταλογίζεται. καὶ τούτου ἕνεκεν, ὡς οἶμαι, συνερχομένων πάλαι ποτὲ τῶν χριστιανῶν πρὸς τὸ ἐκκλησιάζειν, προσφορὰς

ἐγίνοντο τῶν ἐλεημοσυνῶν. τὰ γὰρ τῆς ἀγάπης ἔργα, δηλῶσιν ψυχῆς εὐχαρίστου οὐ λόγῳ ἀλλὰ τῷ ὄντι παρέχεται. διὰ ταῦτα τῷ προφήτῃ ἅμα καὶ τῷ ἀποστόλῳ ἐρωτήσαντι, τίς προέδωκεν αὐτῷ καὶ ἀνταποδοθήσεται αὐτῷ; μετὰ θεοσεβοῦς εὐλαβείας ἀποκριθείη τις ἄν, τὸ δηλαδὴ ὑφ' ἀμφοτέρων νοούμενον, ὅτι ὁ ἐν ὑπακοῇ ταπεινώσας ὑπὸ τὴν κραταιὰν θεοῦ χεῖρα ἑαυτὸν καὶ εὐχαριστήσας. οὐ μέντοι ὡς αὐτὸς ἀρξάμενος τοῦ προσκομίσαι τι τῷ θεῷ ἄξιον ἀμοιβῆς ἐσόμενον, ἀλλὰ πιστεύσας δὴ καὶ οὕτω λαλήσας κατὰ τὸν Δαβίδην, καὶ διηγησάμενος τὰ θαυμάσια τοῦ κυρίου. καὶ τοῦτό ἐστι δῶρον ὃ προσφέρει ἡ τῶν χριστιανῶν εὐσέβεια τῷ θεῷ, προσδεκτὸν ἀεί, καὶ οὐδέποτε ἀπόβλητον, ἀλλὰ τοιοῦτον, ὥστε καὶ προσίεσθαι αὐτὸν ἀσμένως, καὶ διὰ πολλῶν ἀγαθῶν ἀνταπληρῶσαι τὴν χάριν. κἀνταῦθα δὴ τέλος ἐπιθήσομεν κατακλείσαντες τὸν κατηχητικὸν λόγον εὐξάμενοι τῷ θεῷ ἐκβαίνειν πρὸς ἀγαθόν τι τὴν ἡμετέραν σπουδήν, καὶ αὐτῷ κεχαρισμένον γενέσθαι τὸν οἷον οὖν πόνον τῆς συγγραφῆς, μάλιστα δὲ ὠφελεῖσθαι τὴν παιδικὴν τῶν ἐν εὐσεβεῖ τρεφομένων ἀγω-

γῆ ἡλικίαν. πρὸς δὲ καὶ προηγουμένως ἐπι=
τηδεύθη τάδε, ἐμοῦ δὴ καθίζοντος ἐμὲ με
ταξὺ ἐκείνων, καὶ ἀναμιμνήσκοντος τὰ τῆς
χριστιανικῆς ὀρθοδοξίας καὶ τῆς ἐν ἐκκλησίᾳ
μόνης σωτηρίου ἀληθείας κατασκευαζομέ=
νης διὰ καθολικὴν συμφωνίαν τῶν ἐκ τοῦ ῥή=
ματος θεοῦ ὑγιοῦς διδαχῆς καὶ ἀναλογού=
σης θεωρίας. καὶ ἕξομεν δὴ πρόχειρον τῆς
εὐχαριστήσεως τύπον τινὰ τοιόνδε. ὦ παν
τοκράτορ, ἀΐδιε, πανένδοξε θεέ, πάτερ
κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, ὃς ἅπαντα ἐποίη=
σας κτίσας τε ἀπ' ἀρχῆς καὶ κτισθέντα δια
σώζων, μετὰ τοῦ συναϊδίου υἱοῦ σου κυ=
ρίου ἡμῶν ἰησοῦ χριστοῦ, τοῦ κατὰ τὴν ἔνσαρ=
κον οἰκονομίαν αὐτοῦ ἐν ἱεροσολύμοις φα=
νερωθέντος, καὶ μετὰ πνεύματος ἁγίου,
τοῦ ἐκκεχυμένου ἐπὶ τοὺς ἀποστόλους, δοξά=
ζω εὐλογῶν σε, καὶ εὐχαριστῶ σοι, ὅτι ἐγνώ
ρισας ἡμῖν σεαυτὸν ἀμετρήτῳ χρηστότητι,
εὐαγγελισάμενος ἡμῖν διὰ ἀϊδίου λόγου καὶ
υἱοῦ σου εἰρήνην, καὶ πίστιν τοῦ εὐαγγελίου
παρασχὼν διὰ ἄλλων τε μαρτυρίων λαμ=
πρῶν καὶ δὴ καὶ δι' ἀναστάσεως τῶν νε=
κρῶν, ὅτι τε ἐξαίρετόν σοι λαὸν περιεποιή=
σω τὴν ἐκκλησίαν υἱοῦ σου κυρίου ἡμῶν ἰη=

σοῦ χριστοῦ. ὃν εὐδόκησας θεῖναι σφάγιον καὶ θῦμα ὑπὲρ ἡμῶν. καὶ ὅτι ἐδωρήσω ἡμῖν ἐλπίδα σωτηρίας, καὶ παράκλησιν πνεύματος ἁγίου, ἐν ἀφέσει τῶν ἁμαρτιῶν, καὶ λυτρώσει ἀπὸ διαβολικῆς ἐξουσίας, καὶ ἐλευθερώσει θανάτου αἰωνίου, καὶ ἐπηγγείλω τὴν αἰώνιον ζωὴν τοῖς φυλάττουσι τὴν πίστιν καὶ ἀγαπῶσί σε. ἐν δὲ τῷ παρόντι βίῳ πολλὰς καὶ μεγάλας εὐεργεσίας παρέχεις ἡμῖν. πρῶτον μὲν εἰς τὸ φῶς προαγαγὼν ἡμᾶς, ἔπειτα δὲ δοὺς γαλήνην σύνοικον ταῖς χώραις αἷς ἐπεδημήσαμεν, καὶ τροφῶν ἀφθονίαν ποιήσας, καὶ τὰς σκυθρωποτέρας τῶν συμφορῶν, τιμωρίας τε ἀναρίθμους τῶν ὀφειλομένων ταῖς πλημμελείαις ἡμῶν κολάσεων, ἢ παντελῶς ἀποστρέψας ἢ ἠπίως καταπραΰνας.

Εὐλογῶ σε ὦ χριστὲ ἰησοῦ υἱὲ θεοῦ ζῶντος κύριε καὶ σωτήρ, ὁ δι' ἡμᾶς θεὸς μεθ' ἡμῶν, διὰ τὴν ἡμετέραν καταφθαρεῖσαν σάρκα σὰρξ γενόμενος καὶ σκηνώσας ἐν ἡμῖν. ὁ σταυρωθεὶς καὶ παθὼν καὶ θανὼν ὑπὲρ τῶν ἁμαρτιῶν, καὶ ἀνεγερθεὶς διὰ τὴν δικαιοσύνην ἡμῶν. ὁ ἐλευθερώσας τοὺς αἰχμαλώτους καὶ ἐξαγαγὼν εἰς τὸ φῶς τοὺς καθημένους

ἐν

ἐν σκότει καὶ σκιᾷ θανάτου, ἐπιφανὴς λυτρωτὴς καὶ ἥλιος δικαιοσύνης. καὶ ἀεὶ παρὼν ἀλήκτως ὑπερασπίζεις τῆς ἐκκλησίας σου, ἀντιταττόμενος πρὸς τοὺς ἐχθροὺς σου, τοὺς διαβόλους καὶ τὸ ὑπουργικὸν αὐτῶν, οὐδ' ἐᾷς ἀποσβεσθῆναι τὸ τῆς ἀληθείας φῶς ἐν ἐκείνῃ, οὐδὲ παύῃ θεραπεύων καὶ ἰώμενος τοὺς μώλωπας καὶ τὰ τραύματα αὐτῆς, καὶ ἀποκαθιστάνων τὸ πεπτωκὸς, διὰ ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ ἐπενδύσεως τῆς ἀθανασίας, ὤν τε καὶ διαμένεις εἰς αἰῶνα μεσίτης καὶ ἱκέτης καὶ ἐντευκτὴς ὑπὲρ τῶν ἀθλίων ἡμῶν πρὸς τὸν ἀΐδιον πατέρα, καὶ προθύμως ἔχεις ἀεὶ τοῦ βοηθῆσαι ἡμῖν, καὶ μὴ περιορᾷς ὑποσκελιζομένους καὶ ἀπαγχομένους ἡμᾶς ὑπὸ ὧν τινῶν οὖν τῶν ὀλεθρίων περιστάσεων.

Εὐλογῶ σε εὐχαριστήσας ὦ παράκλητε, πνεῦμα ἅγιον, πνεῦμα τῆς ἀληθείας, ὃ ἐπικαθεσθεὶς ὠθῖ τῶν ἀποστόλων, ὅτι οὐ λήγεις ἐξάπτων ἐν ταῖς καρδίαις ἡμῶν τὸ τῆς θεογνωσίας φῶς ἱερὸν, ὃς ἐμὲ, ὦ χαριτοδότα, τὸν πλάνον κατευθύνας ἐν ὁδῷ θεοσεβείας, διδάσκων, συνετίζων, νουθετῶν, ὑποθέμενος ἀεὶ χρηστόν τι, καὶ διορθωσάμενος

τὰ

τὴν ἐπικρατουμένην ἀγνωμοσύνην τῆς ἀπιστίας, καὶ τὸ ἄψυχον τῆς ὀλιγοπιστίας. ὃς ἁγιάζεις ἡμᾶς πρὸς καραδοκίαν τῆς τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ παρουσίας, καὶ πρὸς κληρονομίαν τῆς βασιλείας τοῦ θεοῦ ἐν ζωῇ αἰωνίῳ.

Η τοίνυν κατήχησις τῆς ἀληθείας καὶ γνώσεως οὐρανίου λόγου, ὡς ἐκάλεσαν οἱ παλαιότεροι, τοῦτο νυνὶ τὸ τέλος ἐχέτω. καὶ τοῦ οὐρανίου τοῦ πρὸς σωτηρίαν τῶν ἀνθρώπων προσενεχθέντος λόγου, τὸ μὲν πρῶτον μέρος, κατὰ τοὺς αὐτοὺς παλαιοὺς, προτρεπτικοῦ ἔστω τε καὶ λεγέσθω, τοῦ προσκαλοῦντος τοὺς ἀγνοοῦντας, ἵνα κατὰ τὸν Σολομῶντα δῷ ἀκάκοις πανουργίαν, παιδὶ δὲ νέῳ αἴσθησιν. οὗτος ἐστὶν ὁ λόγος ὁ κράξας, ἐάν τις διψᾷ ἐρχέσθω πρός με καὶ πινέτω. καὶ αὖθις, ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν. τὸ δεύτερον δὲ πάντως ἔσται τῆς γνώσεως, περὶ ἧς ἤδη κατηχητικῷ προσηκόντως λόγῳ εἴρηται. καὶ οὕτω δὴ τὸ τρίτον κατὰ τάξιν ἕποιτ' ἂν ὀρθῶς τὸ πρακτικὸν, ἵνα εἴη πίστις ἀνυπόκριτος, ἐνεργουμένη δι' ἀγάπης, προσδοκώντων ἡμῶν ἄπαι-

λοι καὶ ἀμώμη τοι εὑρεθῆναι παρὰ κυρίῳ ἐν εἰρήνῃ. ὥσπερ γὰρ οὐκ ἡγούμεθα ματαίως τὶ ἢ ἀνυποθέτως ἔξω τῆς τοῦ ῥήματος θεοῦ προὐφηγήσεως καὶ ὁδηγίας, ἢ περινοῆσαι ἢ ἀσκῆσαι δεῖν τοὺς εὐσεβῆσαι περὶ τὰ θεῖα καὶ σωθῆναι προῃρημένους, ἤτοι ἀλληγορείαις ἀτόποις τῆς διανοίας ἀναγομένης, ἢ πράγμασιν αὐταρέσκοις ἐμπλεκομένης τῆς δόξης, οὕτω δὴ οὐκ ἀργὸν οὐδ᾽ ἄπρακτον καὶ παρειμένον τὸ γνωστικὸν πρεσβεύομεν, οὐδαμῶς σύμψηφοι τοῖς τῇ ὑγιεῖ διδαχῇ περὶ δικαιοσύνης καὶ ἁγιασμοῦ διὰ τὴν τῆς ἀναστροφῆς ματαιότητα βλασφημίαν προστριψαμένοις. ὧν ἔνιοι, τὸ βλαβερώτατον, ἀναπαυόμενοι ὥσπερ τῇ τὴν τῶν τὰ ἴδια ἔργα πεποίθησιν ἀθετούσῃ διδαχῇ, ἐν συνόψει τῆς ἀῤῥώστου καὶ διεφθαρμένης φύσεως καὶ τῆς θείας δικαιοσύνης προτιμήσει, πρόσχημα ποιοῦσι τοῦτο, οὐ μόνον τῆς ἀργίας ἀλλὰ καὶ τῆς ἤδη κακουργίας. οὐ γὰρ δὴ τὸ περὶ τῆς ἀσθενείας ἡμῶν καὶ ἀδυναμίας καὶ τοῦ οἱονεὶ δορυαλώτου τῆς φύσεως, καὶ ὅσα τοῦτον τὸν τρόπον, ἀληθῶς καὶ ἀναγκαίως λέγεται, πρὸς τὸ ἐλέγχεσθαι τοὺς ψεύσας (οἷοί εἰσιν ἄνθρωποι ἀπαξάπαντες) καὶ

ποιῆ=

ποιῆσαι μετανοοῦντας τοὺς ἁμαρτωλοὺς ἀναβλέψαι πρὸς τὸ ἐν τῷ σκότει φαῖνον φῶς, καὶ ἔχειν ἵλεω τὸν θεὸν, δικαιοθέντας πίστει ἐν ἀφέσει τῶν ἁμαρτιῶν δι' αἵματος τοῦ σταυροῦ ἰησοῦ χριστοῦ κυρίου ἡμῶν: ἐκεῖνα τοίνυν ἐνταυθοῖ ἀνάλογον προτιθέμενα, οὐκ ἂν ἁρμόζοι τῇ τῶν πολλῶν ἀμετανοησίᾳ καὶ προπετείᾳ, οὐδὲ γένοιτ' ἂν οἷα καὶ τὸ τῶν λογισμῶν ἄτονον εἰκότως προφασίζεσθαι, πρόφασιν δὴ ἐν ἁμαρτίαις, πρὸς τὸ συνέροντά τινα τάδε, οὐκ εὐτρεπίσαι αὐτῷ ἀπολογίαν τῶν ἁμαρτημάτων, ἢ καὶ τοῦ ὀκνηροῦ ἐν τῷ ὑπακοῦσαι ταῖς θείαις ἐντολαῖς, τὴν τῶν διατεταγμένων, ὡς ἀδυνάτων ὄντων, παραγραφήν. γέγραπται γὰρ, ὅτ' ἂν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε, δοῦλοι ἀχρεῖοι ἐσμὲν, ὅτι τὸ ὀφειλόμενον ποιῆσαι πεποιήκαμεν. πῶς ἄρα τὸ ἀχρεῖον ἔσεταί τις, μὴ πᾶσαν πρότερον σπουδὴν εἰσενέγκας τοῦ ποιῆσαι ἅπαντα; ἐπεὶ δὲ δένδρον καλὸν ποιεῖ καρποὺς καλοὺς, καὶ σαπρὸν σαπροὺς, ἕπεται δὴ ἄνευ πάσης διαπορείας, ὅτι οἱ μὴ ποιοῦντες τὸ καλὸν, οὐκ εἰσὶ δένδρον καλόν. καὶ οἱ σαπρουργοὶ ὡσαύτως ὅτι εἰσὶ φυτὸν σαπρόν.

σαπρόν. περὶ μὲν οὖν τούτων καὶ ἐν τοῖς ἄνω εἴρηται, ἴδια δὲ μὴ, ἢ μᾶλλον προγινώσκω τεκμηράμενος ἐκ τῶν ὁμοίων, ὅτι τὸ ἀφρόντιστον καὶ ἡ παρακοὴ τοῦ κόσμου ἐνταῦθα, προκαλέσεται ὅσον οὐκ ἤδη τὴν ἀξίαν τιμωρίαν, ἣν ὑφέξει τέλος μακρὰν ὥστε καὶ παραφρονοῦσα τῇ δικαιοκρισίᾳ τοῦ θεοῦ. ἅλις γὰρ πάντοι ἅλις τῆς προγεγονυίας ἀνομίας καὶ τῶν περωχημένων πλημμελειῶν, καὶ οὐκ ἂν εἴη συγγνωστὸν προσεπιθεῖναι ἔτι καινὰς ἁμαρτήσεις. ἀλλὰ περὶ τούτων εἰδικώτερόν πως εἰρήσεταί ποτε, τοῦ θεοῦ θέλοντος, πρὸς ἡμῶν τὴν τοῦ κλήμεντος παιδαγωγικὴν πραγματείαν ἐπιτιμούντων καὶ πρὸς ἀνάγνωσιν χρησιμωτέραν διασκευασόντων. νυνὶ δὲ ἐνθάδε τὸ παρὸν βιβλίον τέλος ἐχέτω, σὺν τῷ χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν, υἱῷ θεοῦ πατρὸς ἀϊδίου, σὺν ᾧ βασιλεύει μετὰ τοῦ ἁγίου πνεύματος, εἷς, μόνος, ἀΐδιος παντοκράτωρ, ἀνίκητος, ἅγιος, ἀθάνατος, ἰσχυρὸς, ἐλεήμων καὶ φιλάνθρωπος θεὸς εἰς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Κεφάλαια



ΚΕΦΑΛΑΙΑ ΧΡΙΣΤΙΑΝΙΣΜΟΥ ΠΡΟΣΦΩΝΗΘΕΝΤΑ ΤΟΙΣ ΠΑΙΔΙΟΙΣ.

Δεῦτε φίλοι παῖδες θείων ἀδαήμονες ἔργων,
Ὧν τε κακαῖς ἀπάταις κόσμου φρένες ἠερέθονται,
Αἰεὶ γὰρ θνητοῖς θυμῷ φίλον ἄσυλα ῥέζειν, (θων
Τῶν δ' ἀπ' ἐπουρανίων μάθετ' ἄσματα θέσκελα μύ-
Ὕμμε γὰρ ὄντι μάλιστα δέον ταῦτ' εἰδέν' ἅπαντα
Πρωθήβους θ' ἁπαλούς θ' οὓς οὔπω ὀνείδε' ὄνοσσαν,
Οὕς τε θεὸς φιλέει, καὶ κήδεται ἔξοχα ἄλλων,
Τοῖσι δ' ἐνὶ ζωὴν εὑρήσεται ἄφθιτον αἰεί,
Ἄφθιτον ἀθάνατον μεγάλου δώρημα θεοῖο.
Τόνδ' ἄρ ἀμειβόμενοι σφετέρῳ τάδε θέσθ' ἐνὶ θυμῷ.
Πάζος ἐφημοσιύνῃ θείας γνωρίσματα βουλῆς.
Ἧστε ἀπ' ἐκγεγάασθ' ὑμέων φίλα τέκνα γονήων
Ἧστε ἀπ' ἐν ζωοῖσιν ἀρούρης καρπὸν ἔδεσθε.
Πρῶτον δὴ γαῖάν τε καὶ οὐρανὸν εὐρὺν ὕπερθεν,
Τούς τε καταιβομένους ποταμούς, καὶ κῦμα θαλάσσης,
Ἀνθρώπων τε γένος, καὶ θηρεία γαῖαν ἔχοντα,
Αἰθέρος οἰωνούς τε καὶ ὕδατος ἰχθύας ἐντός,

Ὧ ἔπε

Ὢ ἔπε ἀϊδίῳ θεὸς ἐστὶν ὁ πάντα τελέσας.
Καὶ νῦν ποιηθέντα μόνος τάδε πάντα διοικεῖ,
Οὐδ' αὕτως τε ἐᾷ χωρεῖν εἰκῆτε φέρεσθαι
Ἢ ἄλλους τινὰς ἰθύνειν, νηῦ ὡς ἐνὶ πόντῳ
Μαψιδίως ἐφορῶν ἀπὸ βηλοῦ θεσπεσίοιο,
Αὐτὸς δ' αἰεὶ ἐφεστήκει, αὐτόσε κυβερνᾷ
Χερσὶν ἔχων οἴακ', οὐδὲ γλυκὺν ὄμμασιν ὕπνον
Δεξάμενός ποτ' ἀπειρηκώς. δύναται γὰρ ἅπαντα.
Οὐδ' ἄρα χαλκείου πτύχες οὐρανοῦ ἐννέα πᾶσαι
Ἦν ὁδὸν ἀστάνυον προκυλινδόμεναι ἔνθα καὶ ἔνθα
Εἰ μὴ ὁ τοῦτε νόος καὶ χεὶρ κρατερὴ ἦγε ποιητοῦ.
Οὐδ' ἐνὶ γῆς ἐρατοῖς ἄνθη καὶ λήϊα κόλποις
Θῆλεν ἂν ἐμμαπέως, εἰ μὴ θεὸς ἦν ὁ φυτεύσας.
Ἀλλ' ὅδε πάντα κρατῶν θεὸς ἄμβροτα μήδεα εἰδὼς
Οὐ δηλήμων ἐστὶ, φίλον τέκος, ἀλλ' ἐλεήμων,
Οὐχ ὀλετὴρ οὐκ ὠμηστὴς, πιστὸς δὲ καὶ ἐσθλός.
Ὃς γένος ἀνθρώπων ὅμιλος ψευδέεσσι πεποιθὸς
Ῥήμασι, καὶ σφετέρῃσιν ἀτασθαλίῃσιν ὀλωλὸς
Εἰς βίον ἐξ ὀλέθροιο κατ' αὖθ' ὤρθωσ' ἐλεηθείς,
Οὐδ' ἠνέσχετ' ἰδὼν ἐφθαρμένον ἔργον ἑαυτοῦ
Πλάσματος ἀγχιθέοιο, τὸ κείνου χεῖρες ἔκαμνον
Ἔμμεναι ἀθανάτου θεοῦ εἰκόνα, καὶ νόμον ἄλλον
Μηδέν' ἔχειν ἢ ῥήμαθ' ἑοῦ κτίστεω ὑπακούειν,
Ὥστε μόν' αὐτ' ἔρδειν καὶ μήδεσθαι φρεσὶν ἧσιν
Ὅσσα πατὴρ ἔθελε καὶ βούλετ' ἠδ' ἐκέλευσε.

Τῶν καὶ ἐνὶ κραδίῃ ξύγγραμμα πάροιθεν ἔθηκεν
Καὶ τόδ' ἀμαυρωθὲν πρὸς ἀπειθείας βροτολοιγοῦ
Αὖθ' ἀνὰ πλαξὶ νέωσε δυοῖν, ὀνύχεσσι χαράξας
Κἐν ἰδίαις προτόροιο νόου ψηφίσματα, μήτις
Αγνοίῃ φαίη πρᾶξαι τόγε, τοῦδ' ἀμελῆσαι.
Τούτων δὴ κεφάλαια κατὰ στόματος προφέρεσθαι
Πολλάκι χρὴ σοὺς παῖδας ἀπὸ φρενὸς ὧδε λέγοντας.
Παντοκράτωρ θεὸς οὐράνιος προλέγει τάδε πᾶσι.
Αὐτὸς ἐγὼ θεός εἰμι μόνος, καὶ ἀπεκτὸς ἐμεῖο
Οὐδείς ἐστι θεὸς, σὺ δ' ἐμοὶ μέμνησο λατρεῦσαι
Μούνῳ, μὴ δὲ παρὲξ θεῖον τοῦδ' ἄλλο σέβιοστε.
Κύριός εἰμι σέθεν. μὴ τοὔνομα βάζε ματαίως
Μαψ ἐπὶ χείλεσ' ἑλὼν ἐμὸν οὔνομα αἰὲν ἄχραντον.
Σάββαθ' ἑορτάζειν ἁγναῖς μνήσθητι χέρεσσι,
Καὶ καθαρᾷ μᾶλλον τηρῶν φρενὶ ἱερὸν ἦμαρ.
Εὐδαίμων δ' ἐπὶ γῆς ἵν' ἔῃς πολλοὺς τ' ἐνιαυτοὺς
Ζώης μακρόβιος, πεφύλαξο τοκῆας ἀτιμᾶν,
Ἀλλ' αἰὲν περικῆρι τίειν ϖουδάσσον, ὅπως καὶ
Εὖ σέο τῶν παίδων πατὲρ ὀψιγόνων σέ τις εἴδῃ.
Μὴ φόνον ἐργάζῃ. μοιχείας ἁγνὸς ἔησθα,
Μὴ κλέψῃς. μὴ μαρτυρίαν ψεύδεος ἐπένεγκον.
Μὴ τοῦ πλησίον ἱμείρῃ ποτὲ σεῖο γυναικός,
Ὄμμασι κιβδήλοισιν ὁρῶν καὶ ἐπίφρονι θυμῷ
Ἐγκισσῶν. μηδ' αὐτ' ἐθέλῃς πάντων τι γενέσθαι
Σοὶ κείνων θεὸς ὅσσα τεῷ ποτ' ἔδωκε πολίτῃ,

οὐ

οὐ δόμον, οὐκ ἀγρούς, βοῦν, παιδίσκην, θεράποντα.
Πάντων γὰρ πρώτιστα κακῶν ἐπιθυμίη ἐστί,
Καὶ κατὰ δὴ τάδε τηρηθέντα κριτὴς θεὸς ἔσται,
Ἡμεῖς δ' οἱ πλάνοι κενεοφροσύνῃσι νόοιο
Τυφλοὶ καὶ χωλοί, μήτ' εἰς καλὸν αὐτ' ἀτενίσαι
Μήτε τρέχειν δυνάμεσθ' ἀρετῆς ὁδὸν ὀρθοκέλευθον.
Ἀλλ' ἡμῖν εὖ βούλεθ' ὅμως ὅδε καίπερ ἀλιτροῖς,
Εἰ μὲν ἀποστρεφόμεσθα κακοῦ μετὰ δ' αὖ μελόμεσθα
Ὅττι θεοῦ πρότερον σαρκὸς τιθέμεσθα θέλημα,
Συγγνώμην τ' ἀγαθὸς μετὰ ποιεῖται νοέουσι.
Οὐ γὰρ φησὶ βροτῶν ἐθέλειν μόρον, ἀλλ' ἵνα πάντες
Ἀϊδίου μετέχωσι βίου ζώοντες ἄμεινον.
Ταῦτ' ἄρα τοι ξυνέντες, ἠδὲ τεῷ ἐνὶ κάτθεο θυμῷ,
Μηδέ τ' ἄχος μελέτω στῆσιν φρεσὶ μηδέ τι τάρβος,
Ἔλπεο δ' ἐκφυγέειν τε κακὸν καὶ βέλτιον εὑρεῖν.
Τῶν καὶ ἑὸν φίλον υἱὸν ἀπ' οὐλύμποιο καρήνων
Σοὶ ἀγαθὰ φρονέων προέηκεν μάρτυρα εἶναι,
Ὅς καί σ' οὐ κακὸν ὀσσόμενος παρὰ δ' ἧκε τιθήνας.
Παρθενικῆς ἱερῶν κατὰ γαστέρ' ἀμύμονος ἐσδύς.
Ἡ δ' ὑποκυσαμένη τέκεν ἀθανάτου θεοῦ υἱόν.
Πνεύματος ἐξ ἁγίου πατρὸς μεγάλοιο ἰότητι
Οὐδέ τιν', ἣ θέμις ἐστὶ βροτῶν ποτε ἀνδρὶ μιγεῖσα
Ἀλλ' ἐπεὶ οὖν προφέωσδ' ἤγεν θεὸς ὃν φίλον υἱόν,
Μήτηρ μὲν καλέσασκεν Ἰησοῦν πατρὸς ἐφετμῇ
Τὸν πάντων σωτῆρα βροτῶν, τὸν χριστὸν ἀληθῆ.

Ὡς ἄρα θειότοκος γόνος ἑβραίων ἵκετο γαῖαν
Θνητὸν ἔχων δέμας ἠδὲ φυὴν ἄλλ' ὥσπερ οἱ ἡμεῖς
Ἀγγελιῶν πατρὸς μεμνημένος αἰὲν ἐφοίτα,
Ἀρνύμενος ψυχὰς μερόπων ζωῆς τε χατίζων
Ἡμετέρας, ἔχε γὰρ θάνατος καὶ μοῖρα κραταιή.
Τῷ καὶ ἵνα ῥύσῃ ὑπεμένατο κῆρα μέλαιναν,
Σταυρωθείς τε ἑὸν βίον ὤλεσεν, ὥστε σαῶσαι
Ἀνθρώπων θνητῶν δειλῶν γένος ἐξ ἀΐδαο.
Οἷ καταβησάμενος δῆσ' αὐτὸν καὶ θεράποντα
Ἀργάλεον μόρον ὄντ' ἐχθρὸν πάντεσσι βροτοῖσι.
Δῆσε δ' ἐν ἀρρήκτοις δεσμοῖς τά τε τεύχε' ἔσυλα,
Καὶ ξίφε' ἠδ' ἰοὺς στιβαρῆς κατέαξε χέρεσσι,
Τάς τ' ἀνόμους πράξεις ἀσεβῶν θ' ὁρμήματα ἔργων,
Οἷς πρὸς ἀνθρώπων ἀκορέστως φῦλ' ὀλέκοντο.
Οὕτως ἀνθρώπων τε φονεὺς καὶ δεῖμ' ἀϊδωνεύς
Καὶ θάνατος πρὸς τοῦδε δάμη βίῃ ἀμεγάρτῳ.
Αὐτὸς δ' ὅτε τάφῳ ἐνὶ νεκροῦ σῶμα τριταίου (s),
Κρύψ' ἐχθροῖς μέγα χάρμα φίλοισι δὲ πένθος ἄλα-
Ἀμφότεροι γὰρ ἔφαν τόνδ' οὐκέτ' ἐσαιγὶ ἰδῆσαι,
Ἐκ τότ' ἄρ' οὖν θανάτου πυλέων στυγνοῦ τ' ἀχέροντος
Ζωὸς ἀνέστη ἑῶν, καὶ γὰρ θεὸς αὐτὸν ἔγειρε,
Ἡμῶν θ' ἡγεῖσθαι χ' ἡμῖν βασιλευέμεν αἰεί.
Τῷ καὶ ἀπ' αἰθερίης ὧν πατρὶ παρήμενος ἕδρης
Πάντα κατασκοπιᾷ τε καὶ αὐτῷ πάντα μέμηλε.
Τοῦτον γοῦν, φίλε παῖ, τόσσον σ' ἀγαπῶντα δίωκε,

Ἠδ' ἐφέπου καλέοντι· σὲ δ' αὖ ὅδε πάντα διδάξει
Ἀλλά σε χρὴ πράττειν, βροτέων γὰρ ἀπ' ἦν δ' αὐγῶν ὀρ-
Οὐδείς πω κτίσει πάντων ὅσα δῆτ' ἐγγίνονται, (γεων
Ἀλλ' ὅδ' ἑοῖ πιστοὺς ἐπ' ἐφέλκει καὶ μεταπλάττει,
Εἰς κραδίην ὃν πνεῦμα βαλὼν θεῖόν θ' ἅγιόν τε.
Τοῦ δ' ἄπο θαρσυνόμεσθα μένος τ' ἔχομεν φρεσὶν ἠύ
Ἠδ' αὐτὸν τολμῶμεν ἁμαρτωλοί περ ἐόντες,
Ἡμέτερον πατέρα κράξαντες τέκνα καλέεσθαι,
Αὐτοῦ γάρ τ' ἐσμὲν λαός τ' ἔθνος τ' ἀγαπητόν,
Αὐτός θ' ὅσ' εἰς ἀγέλην πρόβατ' εἰς θ' ἓν πῶυ ἔκλεισεν.
Τοῦ μόνον αὐτοῦ μεῖνον ἀκουσάμενος θεοῦ ὄσσαν,
Οὐδ' ἄλλον τὸν δ' ἔσσετ' ἔπος ποτέ γ' ὅττι κεν εἴπῃ.
Ἐξ ἄρα σοῦ βάλε πάντα φόβον καὶ τάρβεα θυμοῦ
Καὶ μούνῳ πίστευε λόγῳ θεὸς ὅντιν' ἐνίσπῃ.
Κεῖνος δ' οὐ μὲν ἄνευθε μένων ἀλλ' ἄγχι παραστὰς
Παντόθ' ὅπου φύλακός γε δέῃ σεῦ κήδε' ἀπωθεῖ.
Ὃς δὴ καὶ πετεηνὰ δὶ αὐγαλέοιο νομεύων
Ἠέρος ἔνθα καὶ ἔνθα ποτώμενα, ὧδε κυβερνᾷ
Ὥστε τροφὴν εὑρεῖν, καὶ νήπια τέκν' ἀτιτάλλειν,
Στρουθία τε ψαρούς τε κολοιούς τε κόρακάς τε.
Μήδε τις ἰξευτὴς μάλα περ πεπνυμένος ἐλθὼν
Τοῦ γε θεοῦ ἀέκοντος ἀπ' αἰθέρος εἶχε κατασπᾶν
Τῶνδ' ἓν ἀτιμοτάτων, θεὸς ἣν χεῖρ' ὅτταν ὑπερσχῇ,
Ἀλλ' ὅγ' ὑμᾶς φιλέει, ἐλθεῖν τε πρὸς αὐτὸν ἀνώγει.
Ἠΐ δὲ καὶ ὅσσοις λειμῶνες τηλεθόωσι.

Καλοὶ μυδαλέοι θέρεος ζαθεῆ ὑπὸ αἴγλῃ
Ἄνθεσι, τοῖς τε ἴοις καὶ πορφυρέοισι ῥόδοισι,
Καὶ λευκοῖσι κρίνοισι καὶ ἱμερόεσσ' ὑακίνθοις.
Τίς δ' ἄρ' ἄπω βασιλεὺς ὃς ἐν ἀνθρώποισι κέκαστο
Πλούτῳ καὶ δυνάμει, τοῖσπερ γανόωσιν ἄνακτες,
Τῶν δ' ἕν ἴσην ἐσθῆτ' ἐπιειμένος ἐν θρόνῳ ἧστο;
Καὶ τάδε τοῦ θέρεος γαίης φθίνοντος αὖ οὔδας
Πάντα μαραίνονται· τά γε μὴ βροτοὶ ἔφθαν ἄραντες
Ὡς μὲν φύλλα θεὸς κοσμεῖ τάδ' ἐόντ' ἀμενηνά,
Τῆς δέ τε σεῖο τριχῶν κεφαλῆς θεὸς οἶδεν ἀριθμόν
Καὶ σοι ἀεὶ περιμέμβλωκεν νύκτας τε καὶ ἦμαρ.
Τίπτ' οἴῳ ἢ ἐ μόρον κακὸν ἢ ἔτι ἄλλο δέδοικας;
Τοιοῦτον πάσαις ἐνὶ πομπὸν ὁδοῖσι κιχήσας.
Θάρσει. ζήσεις γὰρ καὶ ἐν ἀΐδαο δόμοισιν.
Οὐδὲ μελαγχλαίνου πέδαν κῆρες θανάτοιο
Τοσσοῦτόν σε δύνήσονθ' ὡς μὴ δεσμὸν ἀλύξαι.
Ἤτοι γὰρ χρόνος ἐσθ' ὅθ' ἑὴν ἐς σάρκα ἕκαστος
Δύσεται ἐκ νεκρῶν ζωὸς κακὸς ἠδὲ καὶ ἐσθλός.
Ἐσθλ' ἵν' ἐγερθέντες βίον ἄφθορον αἰὲν ἔχωσι,
Νικηταὶ κόσμου τ' ἀΐδος τ' ἐρέβους τε μόρου τε,
Οὐκ οἶοι, ἀλλὰ δὲ χειρὸν θεοῦ υἱὸν Ἰησοῦν.
Τοὺς δέ κακοὺς νὺξ κυκλώσει ἔρεβός τε σκότος τε.
Αὐτὸς δ' ὦ φίλοι αὐτὲ κεινεῖ οὕτως ὁ φιλήσας,
Αἰθέρος ἐκ προφανεὶς νεφέων πυρόεντος ὁμίχλης
Χερσὶ κεραυνὸν ἔχων, σὺν πλήθεϊ οὐρανιώνων.

Ἔνθα διακρινθέντας ἑὸν ποτὶ δῶμα κατάξει
Αὐτῷ πιστεύσαντας, ἑῷ τ' ἐπὶ ἐμβεβαῶτας,
Δειδίοσιν ἐχθροὺς, κακίαν τ' ἀπὸ πᾶσαν ἀμύνων.
Τῶνδε μετ' οὐ τέλος οὐδὲ χαρᾶς ἐς' οὐδὲ πόνοιο.
Οἱ δ' ἀγαθ' ἕξουσιν τιμὴν καὶ δόξαν ὀπίσσω
Οἷς εὐεργεσίῃσι γέρας καὶ κῦδος ὀπήδει,
Οἱ δ' ἀσεβεῖς κλαύσουσι κακῶν γ' ἕνεχ' ὅσσα ἔοργαν.
Οὐδ' ἔτι παυσωλὴ ἀχέων ἔσετ' οὐδ' ἀλεωρή.
Ταῦτ' οὖν βάλλεο φρεσὶ τεῇς καὶ μήποτε λήθη
Σεῦ ἄπο αἱρείτω, μηδ' αὖ περὶ τῶν δ' ἀπορήσῃς.
Μῦθος γὰρ χαλεπὸν, ψεῦδος φάσκειν θεοῦ αὐδήν.
Τοῦτο γε μὴν ἔσετ' οὐθ' ἁλιόν γ' ἔπος οὔτ' ἀτέλεστον.
Ἐνδ' ἄρα τῷδε βίῳ θεὸς μένετ' ἐντὸς ὁμίλου,
Ἔνθα λόγος θεοῦ οὐράνιος κηρύσσεται αἰὲν
Ἀψευδὴς, ἀμετάβλητος, θεὸς αὐτὸς Ἰησοῦς
Ἥτ' αὐτοῦ διδαχὴ σομάτων σωτήριος ἠχεῖ
Πρεσβυτέρων ἄπο. καὶ μετὰ λαοῖς ἱερὰ δίδονται
Σημεῖ' εὐνοίας πατρὸς βασιλῆος ἀνάρχου.
Αὐτοῦ θ' υἱέος ἐκ γενετῆρος ἀειγενέταο,
Ἀΐδιόν τε διὰ πνεῦμ' ἅγιον πιστῶν παράκλητον.
Πρῶτον μὲν γνώσῃ παλινόρσου λοῦτρα βίοιο,
Καὶ γένεσιν θνητοῖσιν ἄνωθε ῥιζούμενον ὕδωρ
Νάματος ἀγλαοποιοῦ, ἁμαρτονίβοιο, διαυγοῦς.
Δεύτερον αὖ δύναμιν κλειδοῦχον, τῇ ἔπι κεῖται
Ἀνθρώποισιν ὄλυμπον ἀνοίγειν ἠδ' ἀποκλεῖσαι.

Καὶ τρίτον οὐράνιον δεῖπνον, τοῦ κύριος αὐτὸς
Ἑστιάων τε τροφή τε πάρεστι, δίδοι γὰρ ἔδεσθαι
Σῶμ' ἴδιον (μέγα θαῦμα βεβήλοις) αἷμά τε πίνειν
Τοῖς ὧδε ταῦτ' ἀχθεῖσιν ἐν ἐκκλήτῳ συνομίλῳ.
Ἔνθα μὲν ὅστις ἁμαρτήσειε κατὰ δάκρυα λείβων
Ἐκ κραδίης θρήνοισι κατεῖπεν, τὸν δ' ἀπολῦσαι
Ῥῆμα θεοῦ πιστῶν αὖθις κοινωνὸν ἔθηκεν.
Ἔνθαδε πᾶς τις ποιεῖτ' εὐχὰς ἠδὲ δέησεις,
Κύριος ὡς ἐκέλευσε καὶ ἐξεδίδαξε μαθητάς,
Ὥστε προσεύχεσθ' ὧδε. πατὴρ ὁ ὢν ἐν ὀλύμπῳ
Τοὔνομα σεῖ' ἁγιασθήτω, πάτερ ἡμέτερ' αἰεί.
Ἐρχέσθω σέθεν ἀρχέβιος βασίλει' ἀπέραντος.
Καὶ τὸ θέλημα γενηθήτω τεὸν, ὡς ἐν ὀλύμπῳ
Οὕτω καὶ γαίης ἔπι πανταχοῦ. ἄρτον ἐπ' ἦμαρ
Βόσκων σῆς ἀγέλην παρέχ' ἡμῖν ἄφθονον αὐλῆς.
Πάντως δ' ἡμετέρας ἄφες ὦ πάτερ ἤπιε ὀφειλάς,
Καὶ γὰρ ἰδοὺ τόδε ποιοῦμεν πρὸς σοῦ πέλας ἡμεῖς.
Μηδ' ἡμᾶς πείραζε κακοῖς μογεροὺς περὶ ἐόντας
Ῥῦσον δ' ἐκ καμάτων θ' ἡμᾶς ἐκ τοῦ τε πονηροῦ,
Ὦ πάτερ, ὦ βασιλεῦ ἔνδοξ' ἀρετῇ δυνάμει τε.
Οὕτως οὖν τις ἐπιστρωφάσθω. τοῦ δ' ἄρ' ἔπειτα
Ὄλβος ἀπειρέσιος ζωή τ' αἰώνιος ἔσται,
οὐ δὲ βλάβην τι δύναιτο κακόν ποτ' ἐνεγκέμεν οὐδέν,
Ἵλεων εὑρόντ' αἰῶνος κόσμοιο θ' ἅπαντος
Κύριον, ἀρχηγὸν, βασιλῆα, δὲ υἱέος, ἄντερ

Μεσσοῦντην ἔχομεν πρὸς ἐκεῖνον μούνον, ἰησοῦν
Ἐλθόντ' εἰς χθόνα θνητὸν ἀπ' ἀθανάτοιο γενέθλης
Εἵνεχ' ἁμαρτωλῶν, ἵνα τοι σώσειεν ἀλιτρούς.
Χαῖρε δὲ ἄμβροτε χεῖρε βροτῶν μόνε σῶτερ ἰησοῦ,
Χαῖρε καὶ ἡμετέρας δύνους ἀπόπαυε μερίμνας.

Ἰωαχεῖμος Καμεράριος.

ΤΟΙΣ ΕΝΤΥΧΟΥΣΙ ΤΩ ΒΙΒΛΙ'Ω ΤΟΥ'ΤΩ.

Οὐδεὶς σκοπὸς ἄλλος προὔκειτο τῇ δὲ τῆς πραγματείας σπουδῇ, εἰ μὴ τοῦ τὴν τῆς οὐρανίου ἀληθείας γνῶσιν, κατὰ τὰς ἱερὰς τῶν γραφῶν, καὶ τὴν ὀρθόδοξον τῆς καθολικῆς ὑπὸ τοῦ ἥλιον ἐκκλησίας συνάδουσαν καὶ ὁμόφρονα παράδοσιν, γνωρισθῆναι ὅτι πλείστοις. καὶ αὐτῆς ἐκείνης τῆς θείας ἐκκλησίας περὶ τῶν τοιούτων ξυγγραμμάτων τὴν διάγνωσιν εἶναι μόνης, εἰκός τε δεῖ καὶ ἡμεῖς ὁμολογούμενοι βουλόμεθα, ταῦτα τὰ ἡμέτερα ὑπὸ τὴν ἐκείνης δοκιμασίαν καὶ κρίσιν ὑφιέντων. ὅτι μὲν οὖν ἐπιμελὲς ἡμῖν ἐγένετο κατὰ τὸ δυνατὸν ἑλληνίσαι τῇ ἑρμηνείᾳ, αὐτό φασιν τὸ ἔργον δείξει, εἰ δέ τι καὶ καθερ-

θώκαμεν, γνώσονται δηλαδὴ οἱ ἀναλεξάμενοι. ὧν δεόμεθα φιλανθρωπευσαμένους αὐτοὺς συγγνώμην νέμειν τοῖς τε παροφθεῖσι τῶν πραγμάτων, καὶ τῇ τῆς φράσεως ἀφελείᾳ καὶ ἴσως δήπου καὶ ἀκυρολεξίᾳ, ὥσπερ δὲ τὸ ἑλληνίζειν εἰς ἀκρίβειαν, πρὸς τὸ μὴ σφάλλεσθαι τῇ γνώμῃ καὶ συνέσει περὶ τῶν ὑποκειμένων τῇ διαλέξει, ἀναγκαῖον ἡγούμεθα, οὕτω τὸ ἀκαλλώπιστον τοῦ περὶ τοιούτων πραγμάτων λόγου, καὶ πάνυ γε περιασπούδαστον εἶναι νομίζομεν. ἐπεὶ δὲ τὸ δεύτερον ἀναγινωσκόμενοι τὰ γραφέντα, κατεφωράσαμεν σφάλματά τινα τυπογραφικὰ καὶ τῶν ἡμετέρων γ' ἔσθ' ἃ καθεωράκαμεν διορθώσεως δεῖσθαι δοκοῦντα, ἐξεθήκαμεν ἔλεγχον ἐνταυθοῖ τῶν διαγραφησομένων, δι' ἐν λέξεως ἀριθμητικῆς τοῦ ἑκάστοτε ἀντιβληθησομένους. ἀντιβολοῦμεν δὲ τοὺς εὐσεβεῖς καὶ φιλολόγους τῶν ἀναγνωστῶν μὴ φείδεσθαι ἐπισημηναμένους καὶ αὐτοὺς ἔτι δόξει, καὶ δὴ καὶ ἕτερα καλλίω τούτων καὶ πολυωφελέστερα εἰσενεγκεῖν τῇ ἐκκλησίᾳ χριστοῦ. ὁ δὲ σωτὴρ καὶ ἀγαθουργὸς καὶ φιλάνθρωπος θεὸς κύριος ἡμῶν ἰησοῦς χριστός, δῴη αὔξην καὶ προχώρησιν ἀνεμπό-

διστον

διστον τῇ τῆς ἀληθείας ὑγιεῖ διδαχῇ, ἐν θεο-
σεβεῖ ὁμονοίᾳ τῶν τε προεστώτων καὶ τοῦ
λαοῦ, ἵνα δοξασθῇ αὐτὸς ἀεὶ σὺν τῷ ἀϊ-
δίῳ πατρὶ καὶ πνεύματι ἁγίῳ, εἷς, μό-
νος, ἀΐδιος, ἀθάνατος, ἰσχυ-
ρὸς, ἅγιος, ἐλεήμων θε-
ὸς, εἰς αἰῶνας τῶν
αἰώνων, ἀ-
μήν.



ΤΕ΄ΛΟΣ.

Αναγνωστέον μετὰ τὴν ἐπιγραφὴν, ἐν χριστῷ ἰησοῦ, ἐν χάρτῃ 19. στίχῳ δ'. κάτωθεν βδελύττονται.

Χαρ. 25. στίχῳ ι'. ἄνωθεν ποδαπῶν ἐν στίχῳ ιγ'. ὄντως ἄν.

Χ. 27. σ. η'. κατ. συμφέρον

Χ. 30. σ. ι'. κατ. ὑπομνημ.

Χ. 33. σ. β. ἄν. τραυμάτ. ἐν σ. ζ'. διαγοθεύσι

Χ. 34. σ. η'. ταῦτα. καὶ σ. ιε'. χρόνοις

Χ. 36. σ. ι'. ὧν ἄλ.

Χ. 38. σ. ε'. τῶν ἀνθρώπων, ὥσπερ νευροσπαστουμένους, φασὶ, συγ. ἐν σ. ς'. κάτ. ἐπεὶ γὰρ

Χ. 39. σ. ια'. ἄν. ἁμαρτάνοντος

Χ. 44. σ. θ'. καταδυναστευομένων

Χ. 46. σ. ια'. κάτ. παρέρχω.

Χ. 47. σ. δ'. εὐθὺ λυ.

Χ. 49. σ. δ'. τίς

Χ. 51. σ. δ'. οὕτως,

Χ. 58. σ. ι'. ἐνδιατρίψειν

Χ. 59. σ. η'. ἐπὶ γῆ

Χ. 65. σ. δ'. ἄν. ὀφεῖ.

Χ. 69. σ. ιβ'. οἱ πόλλοι,

Χ. 73. σ. β'. θλίψ. η'. καὶ σ. δοκεῖν δεῖς.

Χ. 76. σ. ε'. ἀμηχ.

Χ. 79. σ. η'. λογισμοῖς,

Χ. 81. σ. ιδ'. σφαλλώμεθα.

χ.83.ϛ.ια΄. κάτ. νόμιμα

χ.84.ϛ.ἐσχάτῳ, ἀρκοῦν.

χ.87.ϛ.θ΄. κάτ. ἐπικουρίαν

χ.88.ϛ.ια΄. τηλικοῦτοι

χ.90.ϛ.ι΄. ὄντως οὖσιν,

χ.95.ϛ.η΄. ἄν. ὡς ἔοι. καὶ ϛ.β΄. κάτ. ζημίαν

χ.96.ϛ.ιδ΄. ἄν. εὖ τοῦτο καὶ ϛ.γ΄. κάτ. ἀμύντου

χ.98.ϛ.θ΄. ἄν. κατηγορῶν. καὶ ϛ.ιγ΄. θαυμασόντες ὡς

χ.104.ϛ.ιβ΄. γὰρ κ' ὅτι καὶ ϛ.ιδ΄. πολυθεΐας καὶ ϛ.ε΄. κάτ. εὐορκ.

χ.107.ϛ.ι΄. ἄν. διαρρήδην

χ.115.ϛ.γ΄. τούτου

χ.128.ϛ.η΄. κλοπὴν καὶ ϛ.ϛ΄. κάτ. ἀνθρώπινον

χ.131.ϛ.ιβ΄. πάντως

χ.133.ϛ.ε΄. ἄν. ἀνδρείως καὶ ϛ.ι΄. κάτ. εὐαρ.

χ.139.ϛ.ιϛ΄. ἄν. ἐκτέον

χ.140.ϛ.η΄. κάτ. τὸν λόγον τιμᾶν ὡς θε.

χ.141.ϛ.θ΄. ἄν. τοῖς ἀϊδίοις

χ.143.ϛ.ι΄. κάτ. συννοοῦντ. καὶ ϛ.δ΄. ταῦτα

χ.144.ϛ.ι΄. ἄν. γένομ.

χ.145.ϛ.β΄. αὐτ.

χ.146.ϛ.θ΄. κάτ. ἡμῖν

χ.150.ϛ.θ΄. καὶ τὴν

χ.151.ϛ.α΄. συγγνωμ.

χ.152.ϛ.δ΄. ἄν. ἄμυνα,

χ.154.s.ί. προσωτηθέντ.
χ.155.s.ζ'.δήπου καὶ s.ιδ'. ἐν ὑμῖν
χ.162.s.s'. μὲν τοῦ εἰς τὴν
χ.165.s.δ'.κατ. ἀπατ.
χ.171.s.θ'. ἀκαθαρσίαις
χ.172.s.ή.ἀνόσιον
χ.174.s.γ'.διαφθορ.
χ.175.s.ή. δούλοις καὶ ὑπηκόοις
χ.178.s.ια. αὐτὸν περὶ
χ.180.s.θ'. κατ.κατειλημμ.
χ.182.s.δ'. ὅτι μὴ καλ.
χ.194.s.ιγ'.ἀν. ἀξιώρ.
χ.196.s.θ'.κατ.ὀνόμ.καὶ γ'.ταῦτα,
χ.200.s.ή. μεγίστης τιμωρίας
χ.212.s.s'. ἀν.εἰρωνου.
χ.227.s.δ'. συμφωνεῖ μὲν ἠρέμα πως
χ.244.s.ά. κανόνα
χ.252.s.ἐσχάτῳ.ὧν δικ.
χ.255.s.θ'.νόμου.
χ.260.s.β'.παράσχοι
χ.279.s. γ'. κατ. τὸ καταλαβεῖν τὴν βλάστην δυν.
χ.285.s.ί.ἀδίς.
χ.315.s.ιβ'. ἀδίσα.
χ.322.s.ί.λόγον.
χ.328.s. ιβ'. ἀν. ἀποκηρυχθ. καὶ s.s'.κατ. ἀφέσεως τῶν

χ.329.s.ι.κανονίζοντες
χ.349.s.ἐσχάτῳ.αἰωνίου κοινωνίας
χ.356.s.ἐσχάτῳ. ὡμολ.
χ.393.s.ιβʹ. ἀν.τὸν περὶ καὶ s.sʹ.κάτ.ἀγνώ.
χ.395.s.γʹ.ἀν. δεηθῆσεται
χ.397. s. ι. τὰ δʹ ἡμ. καὶ s. ιβʹ. ἐπιγινώ=
σκειν.πε.
χ.401.s. sʹ. ἤγουν ὑποκριτικὴ καὶ μηδ. καὶ
s.θʹ. ἢ μὴ οὐ.
χ.402.s.θʹ.ἀκροατας.καὶ s. ζʹ. κάτ.συναρε=
σκείας
χ.403.s.ιβʹ.ἀν. καὶ εἰδοειδ.
χ.410.s.θʹ.ψυχολέτου
χ.423.s.sʹ.κάτ. λέγει,
χ.435.s.ἐσχάτῳ. θετέον
χ.453.s.ε.ἀν.παυθῆναι
χ.457.s.η.πάντων
χ.461.s.ιβʹ.κατ.τὴν καθʹ ἡμ.

Τέλος, δόξα τῷ θεῷ.